*Βύζαντος, μὴ δυνηθεὶς προσορμῆσαι τῇ πόλει ἄρτι τοῦ βασιλέως αὐτῶν Βύζαντος μεταλλάξαντος καὶ τοῦ δήμου παντὸς ἐν ἀγωνίᾳ τυγχάνοντος πρὸς τὸν καλούμενον Ἀνάπλουν ἀφίκετο, ἔνθα καὶ διατρίψας Ἑστίας τὸν τόπον ὠνόμασεν.* **23** (21). *Μικρῷ γε μὴν ὕστερον διαβὰς ἐν τῇ πόλει καὶ τοὺς βαρβάρους ἀπωσάμενος δεύτερος αὐτὸς ἐστρατήγησε τοῦ δήμου τῶν Βυζαντίων. Καθ' οὓς δὴ χρόνους καὶ δρακόντων πλεῖστα γένη ἐπεφοίτησεν τῇ πόλει, ὡς τοὺς οἰκοῦντας αὐτὴν διαφθείρεσθαι· οὓς δὴ τῇ τῶν καλουμένων πελαργῶν ὀρνίθων ἐπιφορᾷ διεχρήσαντο Ποσειδῶνος αὐτοῖς ὥς φασι συνεργήσαντος.* **24** (22). *Οὐ μετὰ πολὺ δὲ καὶ τῶν ὀρνίθων αὐτοῖς ἐναντία φρονούντων καὶ θανάτων αἰτίαν ἐπαγόντων τούς τε ἁλισκομένους αὐτοῖς ὄφεις πρὸς τὰς τῶν ὑδάτων δεξαμενὰς ἀκοντιζόντων καὶ τοῖς γε πολίταις ἐν ταῖς λεωφόροις ἀφανῶς ἐπιβαλλόντων ἐν ἀφασίᾳ διετέλουν.*

---

§ 24 sqq Fragmentum de VII turribus et de Apollonio Tyaneo (v. ad § 13): *Ὅτι ἐνοχλουμένων ὕστερον τῶν Βυζαντίων* (*Καὶ ὕστερον ἐνοχλουμένου τοῦ Βυζαντίου* Vat.) *ὑπὸ τῶν ὄφεων διαφθειρόντων αὐτοῖς* (*αὐτὰ* Vat.) *τὰ ὕδατα ὁ Τυανεὺς Ἀπολλώνιος ἀπὸ λίθου ξεστοῦ τρεῖς ἀνέστησε πελαργούς, οἵτινες οὐκ ἐῶσιν* (*εἴων* Vat.) *ἐπιφοιτῆσαι τῇ πόλει πελαργούς* (*τοὺς ὄφεις* Vat. qui his verbis finem facit). *Ἐκεῖνοι γὰρ πνίγοντες τοὺς ὄφεις πρώην ἠκόντιζον νεκροὺς κατὰ τῶν δεξαμενῶν.* Tzetzes chil. II 60 v. 929: *Καὶ πελαργοὺς ἐγγλύψας δὲ πώποτε μαρμαρίνους | ἐκ Βυζαντίου πελαργοὺς ἐξήλασε μακρόθεν | ὄφεις νεκροὺς δεξαμεναῖς ῥιπτοῦντας Βυζαντίων | καὶ τῷ φαρμάκῳ κτείνοντας τοὺς πίνοντας ἀθρόως.* Cf. etiam v. 946 sqq. Eandem historiam alii quoque scriptores tradunt

---

1 *μὴ δυνηθεὶς* — 2 *Βύζ.* om. Ang (homoiotel.) *προσορμίσαι* K 4 *ἔνθεν* P 6 *δεύτερος* om. P, *δεύτερον* AB (*δεύτερος οὗτος βασιλεὺς τῶν βυζαντίων ὑπῆρξε* G) 9 *αὐτὴν*] *αὐτῇ* AB 10 *ὀρνίθων* om. Ang K *διεχειρίσαντο* AB (*οὓς ὁ Ποσ. δι' ἐπιφορᾶς πελαργῶν ἐξηφάνισε* G) 11 *συνεργ. ὡς φασίν* Ang *οὐ* secludit Orelli ne temporum ratio turbetur 12 *θανάτου αἰτίαν* Ang G, *θάνατον ἔτι* (sic) AB 13 *αὐτοῖς* om. Ang AB (*παρ' αὐτῶν* G) 15 *ἐπιβαλλ.*] *ἐφαλλομένων* K

**25** (23). *Ἀνὴρ δέ τις τῶν ἐκ Τυάνων, τοὔνομα Ἀπολλώνιος, ἐκ λίθου ξεστοῦ τρεῖς ἀνεστήσατο πελαργοὺς ἀντιπροσώπως ἀλλήλοις ὁρῶντας, οἳ καὶ μέχρι τῶνδε διαμένουσι τῶν χρόνων οὐ συγχωροῦντες ἐπιφοιτῆσαι τῇ πόλει τὸ τῶν πελαργῶν γένος.* **26** (24). *Ἐπὶ δὲ τοῖς εἰρημένοις Δίνεω τοῦ στρατηγοῦ μεταλλάξαντος Λέων τὴν τῶν Βυζαντίων ἀριστοκρατίαν ἐδέξατο· ἐφ' οὗπερ Φίλιππος ὁ τῶν Μακεδόνων βασιλεύς, ὁ Ἀμύντου παῖς γεγονώς, πολλὴν ἐπαγόμενος δύναμιν ἐπολιόρκει τὴν πόλιν διώρυξί τε καὶ παντοίοις πολεμικοῖς μηχανήμασι τοῖς τείχεσι προςπελάζων:* **27** (25). *Καὶ δὴ ἂν ταύτην ἐξεῖλε ῥᾳδίως νυκτὸς ἐπιλαβόμενος ἀσελήνου καὶ ὄμβρου καταρραγέντος ἐξαισίου, εἰ μή τις αὐτοῖς τοῦ θείου γέγονε συμμαχία τοὺς κατὰ τὴν πόλιν κύνας πρὸς ὑλακὴν ἀναστήσαντος καὶ νεφέλας πυρὸς τοῖς ἀρκτῴοις ἐπαγαγόντος μέρεσιν. Ἐξ οὗπερ οἱ δῆμοι διεγερθέντες καὶ θερμῶς τοῖς πολεμίοις συνενεχθέντες ἤδη τὴν πόλιν ὑπὸ τῷ Φιλίππῳ γενομένην ἐρρύσαντο ἀναλαβόντες τοὺς διαφθαρέντας πύργους τοῖς ἐκ τῶν τάφων παρακειμένοις λίθοις καὶ ἀνυφάναντες τὰς ἐπάλξεις τοῦ τείχους· οὗ δὴ χάριν Τυμβοσύνην τὸ τεῖχος ἐκάλεσαν λαμπαδηφόρον Ἑκάτης ἀναστήσαντες ἄγαλμα. Αὖθίς τε πρὸς*

---

L. 21. Cf. Steph. Byz. s. v. *Βόσπορος· . . . ἡ Ἑκάτη φωσφόρος οὖσα δᾷδας ἐποίησε νύκτωρ τοῖς πολίταις φανῆναι*

---

2 *ἀντιπροσώπους* $A_1$ (fort. recte), *ἔν τε προσώποις* B, *ἄντε προσώποις* $A_2$, *ἀντιπρόσωπον* G 3 *ἀλλήλους* Ang AB *ὁρῶντες* Ang 4 *τῇ πόλει* om. Ang AG 6 *λέων τις τῶν Βυζ. τὴν ἀριστ.* AB 7 *ἀριστοκρ.*] *ἀρχὴν* G 8 *ὁ* ante *Ἀμύντου* om. Ang AB 9 *παντοίοις* om. Ang K 10 *πολεμικαῖς μηχαναῖς* Ang K 11 *ῥᾳδίως* om. P, *ἀνεῖλε* vel *καθεῖλε ῥᾳδίως* K 14 *κύνας* hic om. Ang K *ἀναστήσαντα κύνας* Ang, *ἀναστήσαντος κύνας* K *νεφέλας πρὸς τοὺς ἀρκτῴους ἀγαγόντος τόπους* A 15 *μέρεσιν*] *τόποις* Ang BG 16 *ἐπεγερθέντες* K 17 *ὑπὸ τὸν φίλιππον* AB *ἐρύσαντο* P 19 *ἀνυφάναντες*] *ἀνοικοδομήσαντες* AB (*διὰ νυκτὸς ἀνακτίσαντες* G) 20 *τὸ τεῖχος τυμβοσύνην* Ang K, *Τυμβοσίνην* Heyne 21 *αὖθις δὲ* K

*ναυμαχίας τραπέντες περιφανῶς τοὺς Μακεδόνας ἐνίκησαν. Καὶ τούτῳ τῷ τρόπῳ διαλυθέντος τοῦ πολέμου Φίλιππος παραχωρεῖ Βυζαντίοις.*

28 (26). *Ἐπειδὴ δὲ καὶ Λέων τὸν βίον μετήλλαξεν, Χάρης ὁ τῶν Ἀθηναίων στρατηγὸς σὺν ναυσὶ τεσσαράκοντα εἰς συμμαχίαν τῶν Βυζαντίων ἐλθὼν πρὸς τὸν κατὰ Φιλίππου πόλεμον κατέλαβε τὴν ἄκραν τῆς Προποντίδος, ἥτις μεταξὺ κεῖται Χρυσοπόλεως καὶ Χαλκηδόνος, καὶ ἐν ἐκείνῳ προσορμήσας τῷ τόπῳ ἀπόπειραν ἐλάμβανε τοῦ πολέμου.* 29 (27). *Ἔνθα δὴ τὴν ἑπομένην αὐτῷ γυναῖκα νόσῳ βληθεῖσαν ἀποβαλὼν κατέθηκεν ἐν τάφῳ ἀναστήσας αὐτῇ βωμὸν καὶ κίονα σύνθετον, ἐν ᾧ δάμαλις δείκνυται ἐκ ξεστοῦ συγκειμένη λίθου. Οὕτω γὰρ μᾶλλον ἐκείνη τὴν ἐπωνυμίαν ἐκέκλητο, ἥτις διὰ τῶν ἐγγεγραμμένων στίχων μέχρι τῶν καθ' ἡμᾶς διασώζεται χρόνων.* 30 (28). *Εἰσὶ δὲ οἱ στίχοι οὗτοι·*

*Ἰναχίης οὐκ εἰμὶ βοὸς τύπος οὐδ' ἀπ' ἐμεῖο*
*κλήζεται ἀντωπὸν Βοσπόριον πέλαγος.*
*Κείνην γὰρ τὸ πάροιθε βαρὺς χόλος ἤλασεν Ἥρης*
*ἐς Φάρον· ἥδε δ' ἐγὼ Κεκροπίς εἰμι νέκυς.*

§ 30. Epigramma exstat ap. Dion. Byz. p. 36 W, Anth. Pal. (et Plan.) VII 169, Constantin. Porph. de them. II 12, Ps.-Symeon Logoth. p. 729 Combefis (in Scriptor. post Theophanem). Cf. Inscriptiones Graecae metricae ed. Preger n. 190.

1 *ναυμαχίαν* G, *συμμαχίαν* AB 4 *ἐπειδὴ δὲ*] *ει* et *ὴ* in rasura P, *ἐπεὶ δὲ* K 5 *Χάρης*] *ησ* in rasura P *στρατηγὸς*] *βασιλεὺς* A 9 *προσορμίσαντες* et *ἐλάμβανον* A 10 *ἔνθεν* P 12 *σύνθετον* om. AB, *συνθεὶς* Ang G 13 *λίθου ἀνακειμένη* P, *συγκειμένη λίθου* Ang BG (*ἐξῆστου κειμένου λίθου* A) 13 *μᾶλλον* om K 14 *ἥτις*] *ὅπερ καὶ* Ang K *διὰ τῶν ἐγγεγρ. ἐκεῖσε στίχων ἀριδήλως ἐμφαίνεται* (huiusque etiam G) *μέχρι τῶν καθ' ἡμᾶς διασωζομένων* (sic) *χρόνων* B 15 *διασώζεται*] *αι* in ras. P 16 *οἱ στίχοι* om. Ang 17 sqq. In A verba epigrammatis misere corrupta sunt (e. gr. 17 *καρχείης οὐκ εἰμί*, 20 *ἔπαφοναδε δεγὼ κριπίς*) 20 *ἐσ πάφον* PG, *ἐσ πάρον* Ang *ἅδε δ'* AG, *ἃ δὲ* Ang *κέκροπος* G

*Εὐνέτις ἦν δὲ Χάρητος· ἔπλων δ' ὅτε πλῶεν ἐκεῖνος*
*τῇδε Φιλιππείων ἀντίπαλος σκαφέων·*
*Βοίδιον οὔνομα δ' ἦεν ἐμοὶ τότε· νῦν δὲ Χάρητος*
*εὐνέτις ἠπείροις τέρπομαι ἀμφοτέραις.*

**31** (29). *Τοῦ δὲ Χάρητος εἰς Ἀθήνας ἐκπλεύσαντος Πρωτόμαχος τὴν στρατηγικὴν ἀρχὴν διαδέχεται, ὃς τοὺς ἐπαναστάντας Θρᾷκας καταδουλώσας τοῖς ὅπλοις ἐν τῷ καλουμένῳ τῆς πόλεως Μιλίῳ χάλκεα ἀνέθηκε τρόπαια.* **32** (30). *Κατοιχομένου δὲ καὶ τούτου Τιμήσιος ἀνὴρ τῶν ἐν Ἀργείοις τραφέντων πρῶτον μὲν κατὰ τὸν Εὔξεινον προσαγορευόμενον Πόντον πρὸς τῷ λεγομένῳ Ἐφεσιάτῃ (ἔνθα ποτὲ Ἐφέσιοι ἀποικίας πέμψαντες καὶ πόλιν οἰκοδομεῖν πειραθέντες αὖθις τοῦ Βυζαντίου ὑπήκουσαν λογίου·*

*ἔνθα δύο σκύλακες διερὴν μάρπτουσι θάλασσαν,*
*ἔνθ' ἰχθὺς ἔλαφός τε νομὸν βόσκονται ἐς αὐτόν)*

*ἀντικαταστῆσαι πόλιν ἐπιχειρήσας καὶ διαμαρτὼν τῆς ἐλπίδος συνοικίζεται Βυζαντίοις· καὶ στρατηγὸς τοῦ παντὸς ἀναδειχθεὶς δήμου πᾶσαν ὁμοῦ τὴν πόλιν εἰς τὸ μεῖζον καὶ*

---

1 *ἦν*] nota marginalis in P: *ἀντὶ τοῦ ἤμην ἀττικῶς*   *ὅτ' ἔπλωεν* B   3 *βοιίδιον* B   *οὔνομα — τότε*] *δ' ἤκουον ἐγὼ τότε* B, *δὲ καλεῦμ' ἂν ἐγώ ποτε* Ang G, *δὲ καλεώμην ἐγώ τε τότε* A   *ἦεν*] *ν* in rasura P   *χάρητ'* Ang   6 *στρατιωτικὴν* A   7 *καταδουλωσάμενος* BG   10 *γραφέντων* P (*ἀπὸ τῶν ἀργείων* G, nil ultra)   *πρῶτα* Ang A   *προσαγορ.* om. BG, *πόντον προσαγορ.* Ang A   11 *πρὸς τὸν λεγόμενον* (*καλούμενον τόπον* BG) *ἐφεσάτην* (*ἐφασάτην* $A_2$ G, *ἐφισάτην* $A_1$) K   *ἐφεσάτῃ* Ang; cf. Dion. Byz. 100: Ephesiorum portus   12 *ἀποικίαν* AG   *πειρασθέντες* Ang   post *αὖθις* inserit B: *μετὰ τοῦ τοιούτου Τιμησίου*   13 *βυζαντίων* Ang   *ἐπήκουσαν* Ang B, *ἐπήκουσεν* A, *ἤκουσαν* G   *λογίου*] *χρηστηρίου* B   14 quattuor oraculi versus sine codicum auctoritate exhibent Codini edd.   *διερὴν*] Ang K, *πολιὴν* P   15 versum om. BG   *ἔνθα* Ang A   *ἰχθῦς* P, *ἰχθύς τ'* Meursius   *νομὴν* $A_1$   *βόσκονται τὸν αὐτόν* Ang A   17 *καὶ στρατηγὸς δὲ* AB, *καὶ στρατηγός τε* Ang   18 *ἀποδειχθεὶς* Ang, *ἀποδεχθεὶς* G   *εἰς τὸ μεῖζον ὠφέλιμον* A, *εἰς τὸ μεῖζον καὶ περιφανέστερον* BG

ὠφέλιμον μετερρύθμισεν, νόμους τε περὶ τῶν καθ' ἡμέραν συμβόλαιά τε τιθέμενος καὶ ἔθη καθιστὰς πολιτικά τε καὶ ἥμερα, δι' ὧν ἀστείους τε καὶ φιλανθρώπους τοὺς πολίτας ἀπέδειξεν· **33** (31). ἱερά τε θεῶν πλεῖστα τὰ μὲν αὐτὸς ἀνεστήσατο, τὰ δὲ καὶ πρὶν ὄντα ἐπεκόσμησεν· τὸν γὰρ πρὸς τῇ ἄκρᾳ τῆς Ποντικῆς θαλάσσης κείμενον ναόν, ὃν Ἰάσων ποτὲ τοῖς δώδεκα θεοῖς καθιέρωσε, κατηρειπωμένον ἀνήγειρε καὶ τὸν ἐπὶ τῷ Φρίξου λεγομένῳ λιμένι τῆς Ἀρτέμιδος οἶκον ἀνεκαίνισεν. **34** (32). Ἐπὶ δὲ τούτῳ Καλλιάδης στρατηγῶν τοῦ Βυζαντίου ἄριστά τε πρὸς τοὺς ὀθνείους τε καὶ ἐμφυλίους πολεμίους ἀγωνισάμενος τὸ περιβόητον τοῦ Βύζαντος ἄγαλμα κατὰ τὴν καλουμένην Βασιλικὴν ἀνέθηκε καὶ ἐπέγραψεν οὕτως·

Τὸν κρατερὸν Βύζαντα καὶ ἱμερτὴν Φιδάλειαν
εἰν ἑνὶ κοσμήσας ἄνθετο Καλλιάδης.

---

§ 34. Epigramma ex Hesychio sumpsit Anth. Plan. 66 Jac.: *Καλλιάδης στρατηγὸς Βυζαντίου τὸ περιβόητον τοῦ Βύζαντος ἄγαλμα κατὰ τὴν καλουμένην Βασιλικὴν ἀνέθηκεν ἐπιγράψας οὕτως· Τὸν κτλ.* Cf. Inscr. gr. metr. ed. Preger n. 165.

---

1 *μετερύθμισεν* P 1 sq. *νόμους καθημέραν συντιθέμενος συμβόλαιά τε καὶ ἔθη καθιστῶν* BG, *νόμους τε περιόντας καθημέραν συντιθέμενος συμβασιλεῦσι* (*συμβασιλέων* $A_2$) *καὶ ἔθιμα καθιστάμενος* A, *νόμους περιὼν καθημέραν συμβολαίων τιθέμενος καὶ ἔθη καθιστάμενος* Ang 2 *συμβολαίων* (om. *τε*) P Ang; corr. ex BG 2 sq. *πολιτικὰ καὶ ἥμερα* Ang A (*τε καὶ ἥμερα* om. BG) 4 *ἀνέδειξε* Ang AB 5 *διεκόσμει* Ang, *διεκόσμησε* AB (*διακοσμῶν* G) 6 *προποντικῆς* A, *προποντίδος* BG 7 *δεκαδύο* Ang *καθίδρυσε* A (*ὃν — καθιέρωσε* om. BG); de hoc templo cf. Ath. Mitteil. 1897 p. 188 et Monatsber. der Berl. Akademie 1877 p. 475 *κατεριπωμένον* P, *καὶ κατηρειπωμένον* A 8 *ἐπὶ τοῦ φρίξου* Ang, *ἐπὶ τῶ φρίξω* BG; de hoc portu cf. Dion. Byz. 99, Steph. Byz. s. v. *Φρίξος* 11 *πολέμους* P Ang K 14 *κραταιὸν* K *φιδαλίαν* Ang 15 *εἰν ἑνὶ κοσμ. ἄνθ.*] *ἐν ἑνὶ κοσμ. ἄνθ.* Ang, *ἣν ὡς οἰκὸς ἀνέθετο* $A_1$, *ἣν ἐνενὶ ἀνέθετο* $A_2$, *ἐνθάδε ἔστησε* BG, *κίονι κοσμ. ἄνθ.* Dousa; ad *εἰν ἑνὶ* cf. Kaibel Epigr. gr. 879 et Anth. Pal. V 292, 12

**35** (33). *Ἀλλὰ ταῦτα μὲν καὶ ἀριστοκρατουμένων καὶ δημοκρατουμένων τῶν Βυζαντίων, ἔτι δὲ καὶ τυραννουμένων κατὰ διαφόρους συμβέβηκε χρόνους. Ὡς δὲ τῇ τῶν ὑπάτων ἐπικρατείᾳ ἡ Ῥωμαίων ἀρχὴ πάσας ὑπερεβάλετο τὰς δυναστείας, κατεδούλωσε δὲ καὶ τὰ τῶν Ἑλλήνων ἔθνη, εἰκότως αὐτῇ καὶ Βυζάντιοι πειθόμενοι διετέλουν.* **36** (34). *Ἐπειδὴ δὲ μετά τινας χρόνους Σεβήρου βασιλεύσαντος τῆς Ῥώμης αὐτοὶ τὴν τοῦ τυραννήσαντος τῶν ἑῴων Νίγρου προτιμήσαντες ἐλπίδα εἰς χεῖρας ἐλθεῖν ἐτόλμησαν πρὸς τὸν αὐτοκράτορα, ἀφαιρεθέντες παρ' αὐτοῦ τῶν πολιτικῶν δικαίων καὶ τῆς στεφάνης αὐτοῖς καταλυθείσης τοῦ τείχους Περινθίοις προςετάχθησαν δουλεύειν τοῖς καλουμένοις Ἡρακλεώταις.* **37** (35). *Παυσαμένου δὲ τῆς ὀργῆς τοῦ Σεβήρου αὖθις εἰς μείζονα κόσμον ἐπανῆλθον λουτρὸν μὲν αὐτοῖς μέγιστον κατὰ τὸν τοῦ Διὸς Ἱππίου βωμόν, ἤτοι τὸ Ἡρακλέους ἄλσος καλούμενον (ἔνθα τὰς Διομήδους αὐτόν φασι δαμάσαντα*

---

§ 35 sqq. Hesychium legisse videtur Ignatius Selymbrianus Vita Constantini (ed. Joannu in *Μνημεῖα ἁγιολογικά*) p. 195 sqq. § 36 v. Commentar. in canon. 3 synodi 2 Cpolit. (Rhallis et Potlis II 173): . *καὶ καθῃρέθη μὲν τὰ τείχη αὐτοῦ, ἀφῃρέθη δὲ καὶ τὰ πολιτικὰ δίκαια καὶ ὑπετέθη Πειρινθίοις.* § 37. Lyd. de mens. p. 7 Wuensch: *Σεβῆρος . . κτίζει μὲν ἐκεῖσε διὰ τὸ τῆς πόλεως ἐπιτερπὲς λουτρὸν παμμέγεθες· εὑρὼν δὲ καὶ τὸν παρακείμενον τόπον τοῖς Διοςκόροις ἀνακεί-*

---

1 sq. *καὶ δημοκρατουμένων* om. Ang K 4 *ἐπιστρατείᾳ* P, *ἐπιστατείᾳ* Bekker *ἡ τηρουμένη ἀρχὴ* vel sim. K *ὑπερεβάλλετο* Ang, *ὑπερέβαλλε* K 5 *τε καὶ* G 6 *οἱ Βυζάντιοι* edd. 7 *βασιλεύοντος* K 8 *νίγερος προτιμήσαντος* Ang (locus misere corr. in K) 10 *παρ' αὐτοῦ* om. Ang K 11 *πειρινθίοις* B (*πινθορίοις* A) 13 *παυσαμένης* B post *αὖθις* inserunt BG: *τοῦτον ἔσχον εἰς βασιλέα, ὃς καὶ εἰς μείζονα καὶ περιφανῆ κόσμον ἐπανήγαγε τὸ βυζάντιον· λουτρὸν κτλ.* 14 *ἐπανῆλθε* A 15 *ἤτοι*] *ἢ* P Ang, corr. ex K *ἄλλος* P, c eadem, ut videtur, manus suprascripsit, *ἄλλον* A 15 sq. *καλούμενον ἄλσος* Ang K 16 sq. *δαμάσαντες* et *ὠνόμασαν* BG

ἵππους Ζεύξιππον τὸν τόπον ὀνομάσαι), πολυτελῶς ἐγείραντος καὶ τὸν τούτῳ πλησιάζοντα χῶρον τῆς ἱπποδρομίας τοῖς τοῦ Διὸς ἀνακειμένον κούροις ἰκρίοις τε καὶ στοαῖς διακοσμήσαντος (ἔνθα καὶ νῦν οἱ καμπτῆρες δηλοῦσι τὰ τῶν ἐφόρων γνωρίσματα διὰ τῶν ἐπικειμένων ᾠῶν τοῖς χαλκοῖς ὀβελίσκοις), ἐπὶ δὲ τούτοις καὶ στρατιωτικὰ τέλη προςνείμαντος. **38** (36). Μέχρι μὲν οὖν περιῆν Σεβῆρος καὶ ὁ τούτου παῖς Ἀντωνῖνος, ἡ πόλις Ἀντωνίνα προςηγορεύετο· ἐπειδὴ δὲ † τοῖς θείοις τῶν βασιλέων ἀπεδόθη, αὖθις τὸ Βυζάντιον ὠνομάζετο. **39.** Κωνσταντίνου δὲ τὸ Ῥωμαϊκὸν κῦρος παρειληφότος καὶ αὐτὴ Κωνσταντινούπολις ἐκλήθη, προθύμως ἀνασχομένη τὴν προςηγορίαν ἀνταλλάξαι τῇ ὑπερβαλλούσῃ τοῦ αὐτοκράτορος φιλοτιμίᾳ, θαυμαστὴν μὲν αὐτὴν ἀπεργασαμένου τῷ κάλλει, πόρρω δὲ μεταγαγόντος τὰ τείχη κατὰ τοὺς λεγομένους Τρωαδησίους ἐμβόλους, πρότερον αὐτῶν

---

μενον ἐποίησε τοῦτον ἱπποδρόμιον, ἰκρίοις καὶ στοαῖς διακοσμήσας αὐτόν, καὶ ἄλσος ἐκκόψας κτλ. § 38. Eustath. ad Dionys. 803 (p. 357, 18 Mueller in Geogr. Gr.): Ὀνομασθῆναι δέ ποτε αὐτὸ καὶ Ἀντωνίαν (sic codd. nisi quod unus habet ἀντωνυμίαν), ἕως περιῆν Σεβῆρος καὶ ὁ ἐκείνου παῖς Ἀντωνῖνος. — Huc usque (— προςηγορεύετο) Hesychium ad verbum descripsit Codinus, qui fertur; reliqua, quae tradit Hesychius, Codinus in posteriore parte libri § 43—46 et § 57 (p. 15 sqq. Bekker) recoquit. Vide alterum fasciculum.

---

1 ἀνήγειρεν BG 2 τούτῳ] αὐτῷ Ang BG (αὐτῶν A) 3 διεκόσμησαν A, διεκόσμησεν μετὰ νίγερ BG 4 καμπτοὶ B; ad rem cf. Svoronos Ἐφημερὶς ἀρχαιολ. 1889 p. 92 ἐφόδων $A_1$, ἐφοδῶν $A_2$, ἐφόρων ⟨θεῶν⟩ Menrad 6 ἐπὶ — προςνείμαντος om. BG 7 μέχρι μὲν οὗ Ang Σεβῆρος ἀπὸ τούτου παιδὸς Ἀντωνίνου ἡ πόλις κτλ. Codini edd. ex coniectura 8 ἀντωνία P, ἀντωνίνα K, ἀντωνίνου Ang, Ἀντωνινία edd., sed cf. *colonia Agrippina* et similia προςηγ.] κατωνομάζετο B, ἀντωνομάζετο G ἐπειδὴ — 13 φιλοτιμίᾳ om. K 9 ἀπεδόθησαν Lamb. („cum in numerum divorum imperatorum relati essent") 14 πόρρωθεν Ang K

*οὐκ ἔξω τῆς ἐπωνύμου ἀγορᾶς τοῦ βασιλέως κειμένων, λουτροῖς τε καὶ ἱεροῖς οἴκοις ἐπιδείξαντος φαιδροτέραν, δίκαιά τε πάντα πρὸς ζῆλον τῆς πρεσβυτέρας Ῥώμης δωρησαμένου, καθὰ καὶ ἐν τῷ Στρατηγίῳ λεγομένῳ φόρῳ, ἔνθα ποτὲ οἱ στρατηγοῦντες τῆς πόλεως ἄνδρες τὰς τιμὰς ὑπεδέχοντο, ἐπὶ λιθίνης ἀνέγραψε στήλης.* **40.** *Καὶ τῆς ἑαυτοῦ μητρὸς Ἑλένης ἐπὶ κίονος ἀνέστησεν ἄγαλμα καὶ τὸν τόπον ὠνόμασεν Αὐγουσταῖον· καὶ τοῖς ἀκολουθήσασιν αὐτῷ ἀπὸ τῆς μεγάλης Ῥώμης συγκλητικοῖς ἐφιλοτιμήσατο οἴκους, οὓς αὐτὸς κατεσκεύασεν ἐκ χρημάτων ἰδίων.* **41.** *Ἐπὶ δὲ τούτῳ [Κωνσταντίου τὴν ἀρχὴν διαδεξαμένου] καὶ ὁ τῶν ὑδάτων ὁλκὸς προσετέθη τῇ πόλει· ἀνέστησαν δὲ καὶ αἱ δύο ἀψῖδες πρὸς τῷ καλουμένῳ φόρῳ καὶ ὁ πορφυροῦς καὶ περίβλεπτος κίων, ἐφ' οὗπερ ἱδρῦσθαι Κωνσταντῖνον ὁρῶμεν δίκην ἡλίου προλάμποντα τοῖς πολίταις. Ἐπὶ δὲ τούτοις καὶ τοὺς τῆς συγκλήτου βουλῆς ἀνῳκοδόμησεν οἴκους, Σενάτα τούτους ὀνομάσας, ἐν οἷς καὶ τοῦ Δωδωναίου Διὸς ἀνέστησεν*

---

1 *προκειμένων* Ang 2 *ἀποδείξαντα* Ang 5 *ὑποδέχονται* Ang, *ἀπεδέχοντο* $A_2$B 6 *ἑαυτὸν ἐπὶ λιθίνης κτλ.* BG *αὐτοῦ* Ang K 7 *Ἑλένης* om. P 8 *αὐγουστίωνα* ABJ, *αὐγουστεῶνα* G *αὐτῷ ἄρχουσιν ἀπὸ Ῥώμης συγκλητικοῖς* AJ 10 *ἐπὶ δὲ τούτῳ τῷ χρόνῳ* Ang, *ἐπὶ δὲ τούτοις* A, *ἐπὶ δὲ τούτου* BG 11 *Κωνστ. τὴν ἀρχὴν διαδεξαμένου* om. Ang K; est glossema manifestum *καὶ τῶν ὑδάτων ὁλκὸν προσετίθει τῇ π.* A 12 *ἀνέστησαν δὲ αἱ δύο ἀψ.* P, *ἀνέστησε δὲ καὶ δύο* (*δ.* om. A) *ἀψῖδας* AB *ἀψῖδες* P 13 *πρὸς τὸν καλ. φόρον* A 15 post *πολίταις* inserit Ang: *Τούτου δὲ τοῦ κίονος τοῖς θεμελίοις τε καὶ προσβάσεσι καὶ ξύλα τίμια καὶ ἁγίων λείψανα καὶ ὅσοι τοὺς τῆς εὐλογίας ἄρτους ἔφερον κόφινοι καὶ οἱ τῶν λῃστῶν δύο σταυροὶ καὶ τὸ τοῦ ἁγίου μύρου ἀλάβαστρον πρὸς στηριγμὸν καὶ ἀσφάλειαν παρετέθησαν. εἰ δὲ καὶ τὸ Παλλάδιον, εὐτυχίας θρυλλούμενον σύμβολον, ἐκ Ῥώμης ἀνακομισθῆναι τότε ἡ σύγκλητος ἔπεισεν, ὥς φασί τινες, καὶ τοῖς θεμελίοις προστεθῆναι τοῦ κίονος, τοῦτο πάντως ἔργον ἐκείνοις ἀνδράσιν ἐστὶ πρὸς μυθώδη λῆρον εὐδαιμονίας ἐπτοημένοις.* V. praef. 17 *ἐν οἷς — ἱδρύματα* om. P *τοῦ* ante *Δωδωναίου* om. Ang

*ἄγαλμα καὶ δύο τῆς Παλλάδος ἱδρύματα καὶ τὴν τῶν βασιλείων αὐλήν.* **42.** *Πάντα δὲ κατὰ τὸν εἰρημένον τρόπον πληρώσας ὁ Κωνσταντῖνος καὶ τὴν τῶν ἐγκαινίων ἡμέραν κατὰ τὴν ἑνδεκάτην τοῦ Μαΐου μηνὸς· ἐπιτελέσας ἐν ἔτει τῆς βασιλείας αὐτοῦ εἰκοστῷ πέμπτῳ ἱπποδρόμιον θεωρήσας διέταξεν οὕτω τὴν αὐτοῦ στήλην ἐπὶ τοὺς ἐφεξῆς χρόνους τῇ τῶν γενεθλίων ἡμέρᾳ ὁρᾶσθαι μετὰ τῆς εἰθισμένης τιμῆς τῷ κατὰ καιρὸν βασιλεύοντι καὶ τῷ δήμῳ. Οὕτω μὲν οὖν ἡ Κωνσταντινούπολις πρὸς τόδε τὸ μέγεθος ἐξενήνοχεν ἐκ διαδοχῆς βασιλευομένη μέχρι τῶν καθ' ἡμᾶς χρόνων.*

---

1 *τὴν βασιλικὴν αὐλὴν* A 2 post *αὐλὴν* inserit Ang: *Ὁ δὲ βασιλεὺς οὐ μόνον οἴκους ἐν Κ/πόλει περιφανεῖς κατὰ μίμησιν Ῥώμης καὶ τὸ Καπετώλιον ἔκτισεν, ἀλλὰ καὶ θείους τε καὶ ἱεροὺς ναοὺς πολυτελῶς ἀνεδείματο, τόν τε τῆς ἁγίας Εἰρήνης ναὸν καὶ τῶν σεβασμίων καὶ κορυφαίων Χριστοῦ μαθητῶν καὶ τοῦ ἁγίου Μωκίου καὶ τὸν τοῦ ἀρχαγγέλου Μιχαὴλ τοῦ ἐν τῷ Ἀνάπλῳ καὶ τοῦ ἐν τῷ Σωσθένει, ἐν ᾧ Σωκράτης διισχυρίζεται Κωνσταντῖνον πολλὰ παράδοξα σημεῖα καὶ ἰδεῖν καὶ ἀκοῦσαι.* V. praef. 5 *εἰκοστῷ πέμπτῳ εἰκάδι ἑβδόμῃ* Ang 7 *εἰρημένης* K 10 *ἐκ διαδοχῆς θεοῦ χάριτι καὶ συνεργίᾳ βασ. κτλ.* Ang

## *Παραστάσεις σύντομοι χρονικαί.*

**1.** *Δέον γινώσκειν ὅτι ὁ ἅγιος Μώκιος πρώην μὲν ὑπὸ Κωνσταντίνου τοῦ μεγάλου παροικοδομήθη Ἑλλήνων πλήθη ἐκεῖσε κατοικούντων πολλά· καὶ ναὸν εἶναι τοῦ Διὸς ἐκεῖσε, καθ' ἣν* ⟨*καὶ ἐκ τῶν λίθων αὐτοῦ*⟩ *ἔκτισε τὸν ναόν· πίπτει δὲ ὑπὸ Κωνσταντίνου ἐν τῇ τρίτῃ αὐτοῦ ὑπατείᾳ. Ἐν δὲ ταῖς ἡμέραις Θεοδοσίου τοῦ μεγάλου ἐξορίζονται οἱ Ἀρειανοὶ τῶν ἁγίων ἐκκλησιῶν καὶ ἐλθόντες ἐν τῷ ναῷ τοῦ ἁγίου Μωκίου ἠράσθησαν καὶ παρακαλοῦσι τῷ βασιλεῖ κατοικεῖν αὐτοὺς ἐκεῖ, ὃ καὶ γέγονεν. Παρευθὺ οὖν ἀνεγείρουσι τὸν αὐτὸν ναὸν οἱ Ἀρειανοὶ καὶ δοξάζεται παρ' αὐτῶν ὁ ναὸς ἔτη ζ'· καὶ πίπτει, ὡς λόγος ἔχει, λειτουργούντων αὐτῶν ἐν τῷ ζ' ἔτει· καθ' ὃν Ἀρειανοὶ ἀπεκτάνθησαν πολλοί. Ἐν δὲ ταῖς ἡμέραις Ἰουστινιανοῦ τοῦ βασιλέως ἀνεγείρεται ὁ αὐτὸς ναὸς καὶ ἵσταται ἕως ἡμῶν· ἐν δόλῳ Μάρκελλος ἀνα-*

---

§ 1 l. 2—5 (*ναόν*) et 6—15 (*Ἐν—ἡμῶν*): Codin. II 110 (p. 72, 17 Bekker. v. app. crit.)

---

3 *πλήθη πολλὰ* est attributum vocis *Ἑλλήνων*; de eiusmodi barbarie v. Dindorf ad Malal. p. 128, 19 et 227, 5, Dobschütz Christusbilder 214**, 5 *παρὰ τῷ αἰγιαλῷ τὰ Ἀμαντίου προςαγορευόμενα*   5 *καὶ ἐκ τῶν λίθων αὐτοῦ* supplevi ex Codino   6 *Κωνσταντίου?*   9 *ἠράσθησαν*] *ἠθροίσθησαν* Alexis   12 *ὡς λόγος ἔτει* P (*ἔτι* edd.), correxi conl. § 7, 82, 85   13 *καθ' ἣν?*   15 *ἡμῶν ἐν δόλῳ· // μάρκελλος* P, 'falso Marc. etc.' vertit Banduri; pro *ἐν δόλῳ* conicit Lamb. *ὅλως* vel *σὺν θόλῳ* iungens periodo praecedenti. *ἐν δ' λόγῳ* Comb.

γνώστης φησὶν ὅτι ἐν τῷ δευτέρῳ ἔτει τῆς βασιλείας Κόνωνος τοῦ Ἰσαύρου πίπτει ὁ ναός.

2. Ὁ ἅγιος Ἀγαθόνικος ὑπὸ Ἀναστασίου τὸ πρότερον καὶ Ἰουστινιανοῦ τοῦ μεγάλου τὸ δεύτερον οἰκοδομήθη· ἐν ᾧ καὶ πατριάρχαι ἐπισκόπησαν ἐν τῷ αὐτῷ ναῷ ζ′ ἐπὶ χρόνους ν′· καὶ βασιλεῖς στεφηφοροῦσιν ἐκεῖσε. Δι' ἣν αἰτίαν μετεποιήθη † ὑπὸ θυμοῦ, οὐ γινώσκεται. Τοῦτο δὲ παρέδωκαν οἱ πρὸ ἡμῶν ὅτι καὶ παλάτιον μέγιστον πλησίον τοῦ ναοῦ τούτου ἦν· ὑπὸ δὲ Τιβερίου τοῦ πρώτου μετεποιήθη διολεσθὲν εἰς τὰ νῦν βασίλεια.

3. Τὰ τείχη τὰ πρὸς θάλασσαν ἀνακαινίζονται ἐπὶ Τιβερίου Ἀψιμάρου· ἕως γὰρ αὐτοῦ ἠμελημένα ἦσαν πάνυ. Τὰ δὲ τείχη τῆς δύσεως τῶν μεγάλων πορτῶν ἐπὶ Λέοντος τοῦ μεγάλου καὶ εὐσεβοῦς· καθ' ἣν καὶ ἐλιτάνευσαν καὶ τὸ 'κύριε ἐλέησον' τεσσαρακοντάκις ἐβόησαν καὶ ὁ δῆμος τοῦ Πρασίνου ἔκραξαν· 'Λέων Κωνσταντῖνον εἰς κράτος ἐνίκησεν'.

4. Ἐν τῇ κατωγαίᾳ πόρτῃ τῇ πληρεστάτῃ στοιχεῖον ἵστατο Φιδαλείας τινὸς Ἑλληνίδος. Ἀρθείσης δὲ τῆς στήλης θαῦμα ⟨ἦν⟩ ἰδέσθαι μέγα, τὸν τόπον ἐκεῖνον ἐπὶ πολὺ

§ 2 Codin. II 107 (p. 71, 1 B) § 3 Codin. II 109 et 108 (p. 71, 8 B) § 4 Codin. II 86 (p. 59, 3 B)

4 ἰουστιιανοῦ P 6 ἐστεφηφόρουν Band. 7 θυμοῦ] P, adulterinum esse videtur; Τιβερίου Lamb., ἀπὸ θεμελίου? cf. § 75 10 διολισθὲν edd. et Codin., sed cf. Theophan. p. 299, 17 etc. 13 τῆς δύσεως] τῆς πόλεως Lamb. Λέοντος κτλ.] scriptoris errore Leo Macelles muros instauravisse dicitur, cum id Isaurum suscepisse sciamus; cf. Banduri 2, 780 (δυσσεβοῦς idcirco scribere voluit Comb.) 15 τεσσαρ.] μ′ P 16 κωνσταντῖνος P, corr. Comb., cf. § 35; Λέων καὶ Κωνσταντῖνος .. ἐνίκησαν Lamb., Λέων Κωνσταντῖνος καὶ Θεοδόσιος .. ἐνίκησαν Codin. 18 πλησιεστάτῃ Lamb. 19 φιδαλίας P 20 ἦν suppl. Comb. ex Codino

*σείεσθαι, ὥστε καὶ τὸν βασιλέα θαυμάσαι καὶ λιτὴν ἀπελθεῖν ἐν τῷ τόπῳ καὶ οὕτως παῦσαι Σάβα τοῦ ὁσίου δι' εὐχῶν τοῦτο ποιήσαντος.*

**5.** *Ἐν τῇ λεγομένῃ Νεολαίᾳ ἵστατο γυναικεία στήλη καὶ βωμὸς ⟨μετὰ μοσ⟩χαρίδιον μικρόν· ἐν οἷς καὶ ἵπποι χρυσίῳ διαλαμπεῖς τέσσαρες· ἐπὶ ⟨δίφρου δὲ καὶ⟩ διφρελάτου θη*|⟨λείαϲ ϲτήλη⟩ ἐν τῇ δεξιᾷ χειρὶ κατέχουϲα ϲτηλίδιόν τι, ἄγαλμα διατρέχον. Τοῦτο οἱ μὲν λέγουϲι Κωνϲταντίνου καταϲκευήν, ⟨οἱ δὲ?⟩ τὴν Ζεῦξιν μόνην, τὴν δὲ λοιπὴν ἀρχαίαν εἶναι καὶ μηδὲν παρὰ Κωνϲταντίνου καταϲκευαϲθῆναι. Ἕωϲ γὰρ Θεοδοϲίου τοῦ μεγάλου θέαμα παρὰ τῶν πολιτῶν γέγονεν ἐν τῷ Ἱπποδρομίῳ, μετὰ κηρῶν καὶ λευκῶν χλαμύδων φοροῦνταϲ πάνταϲ εἰϲέρχεϲθαι τὴν αὐτὴν ϲτήλην μόνην ἐπάνω ἅρματοϲ [ἤγουν καρούχαϲ] ἕωϲ τοῦ ϲτάματοϲ ἀπὸ τῶν καγκέλλων. Τοῦτο δὲ ἐξετέλουν, ὅτε τὸ γενέθλιον τῆϲ πόλεωϲ ἑορτάζετο. Ἐκεῖ δὲ ἐν Ζώδοιϲ ἐϲτηλώθηϲαν εἰϲ τοὺϲ κίοναϲ ὁ Ἀδὰμ καὶ ἡ Εὔα καὶ ἡ Εὐθηνία καὶ ὁ Λιμόϲ.

**5a.** Ἐν τῇ λεγομένῃ λίμνῃ τοῦ Νεωρίου βοῦϲ ἵϲτατο χαλκοῦϲ παμμεγεθέϲτατοϲ πάνυ. Κράζειν δὲ ἔλεγον αὐτὸν ὡϲ βοῦν μίαν τοῦ ἐνιαυτοῦ, καὶ γίνεϲθαι παραπτώματα ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, ἐν ᾗ ἔκραξεν. Ἐπὶ δὲ Μαυρικίου τοῦ βαϲιλέωϲ ἐν αὐτῇ τῇ λίμνῃ κατεχώϲθη.

§ 5 Codin. II 87 (p. 59, 11 B)

1 *βασιλέα*] aut Anastasium aut Justinianum fuisse Sabae vita a Cyrillo conscripta docet 2 *παῦσαι*] de verbi usu intransitivo vid. de Boor in ind. ad Theophanem 4 *νεολέα* P; locus circi fuisse videtur unde *νεολαία* spectare solebat 5 *βωμὸς καρίδιον* P; corrigebam corruptelam ex homoioteleuto natam Codinum (*μετὰ μοσχαρίου*) secutus: in exemplari fuerat *βωμὸσ μετὰ μοσκαρίδιον*; de *μετὰ* cum accus. cf. § 10 et 32, de tenui pro aspirata v. index s. v. phonetica; *καὶ μοσχάριον* Lamb., *καὶ ἀρνίον μικρὸν* Comb. 6 *δίφρου δὲ καὶ* supplevi ex Codino, ubi legitur *ἐπὶ δίφρου καὶ διφρηλάτου γυναικὸς* (sc. *στήλη*); *καὶ διφρηλάτης ἐπὶ δίφρου* Lamb. 7 Post *θη* excidit folium ex codice; supplevi l. 7—p. 22, 26 ex Codino II 87—90 (p 59, 14—61, 18 B). Ad rem cf. § 38

**5b.** Τοῦ Μαυρικίου στήλη καὶ τῆς γυναικὸς καὶ τῶν τέκνων αὐτοῦ ἐν τῇ Χαλκῇ ἵσταται ἄνωθεν τῆς θεανδρικῆς εἰκόνος τοῦ Ἰησοῦ Χριστοῦ· ὑπ᾽ αὐτοῦ γὰρ κατεσκευάσθησαν. Αἱ δὲ δύο στῆλαι αἱ ἐκτεταμέναι τὰς χεῖρας ὁ εἷς τῷ ἑτέρῳ ἐκ τῆς Ἀθηναίων γῆς ἥκασιν· φιλοσόφων δέ φασιν εἶναι, ὥς φησιν Λιγύριος ὁ Ἑλληνικός.

**5c.** Μετὰ τὸ ἀποθανεῖν Μαρκιανὸν τὸν βασιλέα ἐγένετο Εὐτύχους τινὸς μαθητὴς ὀνόματι Ἄκατος, διάκονος ὑπάρχων τοῦ ναοῦ τῆς ἁγίας Εὐφημίας· ὃς ἰδὼν ἡττηθέντας τοὺς κατὰ Εὐτύχην κατέλαβε Σεραπίωνα (?) τὸ κάστρον· τοῦτο δὲ ἦν ἓν τῶν Περσῶν, Ῥήγιον τοὔνομα. Ἐμήνυσε δὲ Περιττίῳ τῷ καστροφύλακι τὰ τῆς ἀσθενείας τῶν ἐν Καλχηδόνι οἰκούντων· ὃς παρευθὺ τοῦ ἅρματος ἐπιβὰς — οὕτως γὰρ τοῖς ἐν Ῥηγίῳ καστροφύλαξι πέφυκε — μετὰ ἑβδομήκοντα χιλιάδων ἔρχεται ἐπὶ τὴν Καλχηδονίων μητρόπολιν· οἱ δὲ ἐκεῖσε προγνόντες ἔφυγον ἐν τῷ Βυζαντίῳ ἄραντες μεθ᾽ ἑαυτῶν καὶ τὰ τίμια λείψανα τῆς ἁγίας Εὐφημίας· ὅπερ αὐτὸς Ἄκατος ἀμυνόμενος διὰ τὸ μὴ συγχωρηθῆναι Εὐτύχει τὴν ἐκκλησίαν κατὰ ταύτης τὸν Πέρσην Περιττίωνα ἤγαγε. Τότε ἡρπάγη παρὰ τῶν Περσῶν ὁ Ἥλιος θεὸς ὁ λεγόμενος Κρόνος, ὃς ἵστατο ἐν Καλχηδόνι· ὃν καὶ ἀπήγαγον εἰς Περσίαν.

**5d.** Ἐπὶ Λέοντος τοῦ Ἰσαύρου πολλὰ θεμάτια παρελύθησαν ἀρχαῖα διὰ τὸ τὸν ἄνδρα ἀλόγιστον εἶναι. Τότε τὸ λεγόμενον Τρίζωδον τὸ εἰς τὰ κοῦφα τοῦ ἁγίου Μωκίου κάτωθεν ὑπάρχον ἐπήρθη· ἐν αὐτῷ ἠστρονόμουν ἕως τότε πολλοί· καὶ τύμβοι Ἑλ|*λήνων καὶ Ἀρειανῶν ὑπάρχουσι κεχωσμένοι καὶ ἄλλα εἰς πλῆθος σκηνώματα.*

**6.** *Τὸ δὲ Πάνορμον κάστρον ὑπὸ τοῦ Πανόρμου Ἕλληνος ἐκτίσθη διπλότειχον ὑπάρχον σιδήρου καὶ χαλκοῦ δίκην ἀναμεμιγμένου. Ἐν δὲ τῇ πρὸς βορρᾶν πόρτῃ τοῦ αὐτοῦ κάστρου ἵστατο στυράκιον ἰκμώδη καὶ στήλη γυναι-*

---

§ 6 l. 4—p. 23, 8 (—*νῦν*): Codin. Π 92 (p. 62, 1 B)

---

28 *Πάνορμον*] portus Cyzici significari videtur 31 *στυράκιον*] *πυργίον* vel *πυργίδιον* Comb. et Band. Sed *στυρ.*

*κεία δικέφαλος. Ἔνθα καὶ θέαμα γέγονεν· ἐμπυρισμοῦ γάρ ποτε τὸ κάστρον κατειληφότος καὶ πάσης τῆς πόλεως ἐδαφισθείσης μετὰ καὶ τῶν τειχῶν ἵστασθαι τὸ πυργίον ἐκεῖνο τῆς πόρτης, ἔνθα καὶ ἡ στήλη συνίστατο. Ἀλλὰ πολλάκις καὶ τοῦ πυρὸς προσεγγίζοντος τῷ τόπῳ ὡς ὑπό τινος διώκοντος αὐτὸ ὄπισθεν ὡς ὀργυιὰς ε΄ ὑπεχώρει τῆς στήλης. Αὕτη δὲ παρελήφθη ὑπὸ Χοσρόου τοῦ Περσῶν τυράννου καί ἐστιν εἰς Περσίδα λατρευομένη ἕως τοῦ νῦν, καθὼς ὁ Παραδείσιος διοικητὴς ἐκεῖσε κρατηθεὶς καὶ ἐκφυγὼν δῆλα πεποίηκεν ἐν τῷ χρονικῷ Ἱππολύτου τὸ τρίτον δημοσιευμένῳ. [Ζήτει ἱστορίαν ἐξαίσιον.]*

7. *Τὸ δὲ καλούμενον Σμύρνιον πλησίον τοῦ Τετραδισίου ἐμβόλου ἔχει ὑποκάτω τῆς γῆς, τὸ πρὸς βορρᾶν μέρος ὀργυιὰς ι΄, στήλας θ΄ πλησίον τοῦ ναοῦ τοῦ Θεοδώρου. Εἰσὶν δὲ αἱ στῆλαι αἱ μὲν τέσσαρες Κωνσταντίνου τοῦ μεγάλου καὶ τῆς γυναικὸς αὐτοῦ Φαύστας καὶ Ἱλαρίωνος πραιποσίτου καὶ τοῦ παιδὸς τοῦ τρίτου Κωνσταντίνου τοῦ ὁμωνύμου,*

---

§ 7 l. 12—p. 24 l. 11: Codin. II 93 (p. 62, 19 B)

---

Byzantinis esse turriculam vel 'columnam intus cavam gradibusque instructam' docet Reiske ad Const. Porph. de caer. p. 151, 14, cf. p. 601, 2, Theoph. cont. p. 140, 16, Codin. III 190 et 202 (p. 124, 11 et 127, 10 B) *ἰκμώδη*] *ἠχμᾶδι* P, correxi, de forma cf. § 43 *ζώδιον πορφυροειδῆ* (*αὐχμῶδι* Comb., *αἰχμώδη* Du Cange, *αἰχμῶδες* vel *ἡ αἰχμὴ* Lamb.) 1 *θαῦμα?* *ἐνπυρισμοῦ* P 2 *τοῦ κάστρου* P *ἐδαφηθείσης* P 9 *παραδείσιος* appellative accipit Comb.: 'vivarii comes' vel praefectus; de dioecetae munere v. Reiske ad Const. Porph. de caer. 717, 19, Du Cange Gloss. lat. s. v. Dioecetes 10 *Ἱππολ.*] cf. Hippolyt. Theb. ed. Diekamp p. 33 *δημοσιευόμενον* P 11 extrema verba seclusi 15 *τέσσαρες*] *τρεῖς* P (etiam Codini codd.) 17 Falsa tradit scriptor, sed noli corrigere (*καὶ Κρίσπου τοῦ παιδὸς Κωνσταντίνου τοῦ μεγάλου* vel *καὶ τοῦ παιδὸς Κωνσταντίνου τοῦ ὁμωνύμου καὶ ἑτέρου Κρίσπου ὀνομαζομένου* Lamb., *καὶ τετάρτη τοῦ παιδὸς Κωνσταντίνου τοῦ Κρίσπου* Comb.); inter-

ὃν Ἡρόδοτος καὶ Ἱππόλυτος χρονογράφοι λέγουσιν ἀποκεφαλισθῆναι ὑπὸ τοῦ πατρός· ὃν καὶ λυπηθεὶς ὁ πατὴρ μετενόησε καὶ ἔκλαυσεν ἐπ' αὐτῷ μ' ἡμέρας, ὡς ὁ λόγος ἔχει, μὴ λουσάμενος τὸ σῶμα, μὴ ἀναψύξας ἐν κοίτῃ. Ἐποίησε δὲ τὴν στήλην ἐξ ἀργύρου καθαροῦ βάψας αὐτὴν χρυσῷ πλείστῳ, τὴν δὲ κεφαλὴν μόνην ἐκ χρυσίου τελείου γράφουσαν ἐν τῷ μετωπιδίῳ· 'ἠδικημένος υἱός μου'. Ταύτην στήσας μετάνοιαν βάλλων ἐλιπάρει θεῷ ὑπὲρ ὧν ἐπλημμέλησεν. Αἱ δὲ λοιπαὶ ε' στῆλαι ὑπάρχουσιν Σευήρου, Ἁρματίου, Ζευξίππου, Βιγλεντίου ⟨τοῦ τὰ Βιγλεντίου⟩ κτίσαντος καὶ Ἐλευθερίου τοῦ εἰς τὸ Σινάτον τὸ παλάτιον κτίσαντος. Οὗτοι πάντες ξίφει παρεδόθησαν καὶ ὑπὸ τοῦ ἀδικήσαντος στηλωθέντες συγχώρησιν παρὰ τοῦ πλημμελήσαντος ἐδυσωποῦντο. Παρέλαβον δὲ καὶ τὰ οἰκεῖα τέκνα τοῦτο αὐτὸ ποιεῖν καὶ ἐκ τούτων πολλοὶ ἕως Οὐάλη τοῦ Ἀρειανοῦ. Οἱ οὖν Ἀρειανοὶ μὴ φέροντες τὴν ἧτταν τὴν διὰ Κωνσταντίνου ἐν τῷ εἰρημένῳ Τετραδισίῳ ἐμβόλῳ πλησίον τοῦ ἁγίου Θεοδώρου ταύτας κατέχωσαν ἕως τῆς σήμερον.

8. Ἐν δὲ τῷ Σινάτῳ ἀπετέθησαν ἡνίοχοι ἐν ζευξίπ-

§ 8 Codin. II 94 (p. 64, 3 B)

polavit locum Codinus, quem sequitur cod. Mosqu. Georgii Monachi p. 428 (cf. Patzig B. Z. VI 332) 1 Ἡρωδίων coll. § 61 Lamb. Ἱππολ.] cf. ad p. 23 l. 10 4 μηδὲ? 9 σεβήρου P ἀρμάτου P 10 τοῦ τὰ Βιγλ. ex Codino suppl. Lamb. 18 ἕως τὴν σή· P, sed cf. § 19, 23, 26 20 Hoc loco valde obscuro narrari videtur in senatu *statuas* aurigarum, quae erant ἐν ζευξίπποις (curruum genere?) sublatas et in organo astronomico positas esse; currus vero in fornice esse defossos ἀπετέθησαν] = ἀφῃρέθησαν? cf. § 11 Ἐν τῇ ἐκκλησίᾳ στῆλαι ἀφῃρέθησαν. Cui adversari videtur vis verbi in § 60 ἡνίοχοι ἐν ζευξίπποις] quales significentur aurigae nescio; 'ζεύξιπποι iunctores' Corp. Gloss. Lat. III 241, 5, 'ζεύξιππος desultor' C. Gl. L. II 46, 20; an ἐν ἑξίπποις ('ἑξάιπποι sex-

*ποις καὶ ἐτέθησαν ἐν τῷ ἀστρονομικῷ ὀργάνῳ, ἔνθα τῆς Ἀρτέμιδος καὶ τῆς Ἀφροδίτης ἵστανται στῆλαι· ἐν αἷς σκυτάλαις ἀπεκεφαλίσθη ὑπὸ τῶν Ἀρειανῶν Ἀρκάδιος ἀρχιδιάκονος τῆς ἁγίας Εἰρήνης· ἔνθα καὶ λέγουσι σείεσθαι τὰς στήλας ἕως τριῶν ἡμερῶν τοῦ θανάτου τούτου. Αἱ δὲ καροῦχαι ἐν τῷ εἰλήματι κατεχώσθησαν ἐπὶ Θεοδοσίου τοῦ βασιλέως.*

**9.** *Καὶ τοῦτο δὲ ἐμφέρεται, ὅτι οἱ δώδεκα κόφινοι δέκα ἔτη ἐν τῷ νέῳ παλατίῳ τοῦ Σινάτου πεποιήκασιν· μετὰ δὲ ταῦτα ⟨ἐν⟩ τῷ εἰλήματι κατεχώσθησαν Μητροφάνους ἐπισκόπου Κωνσταντινουπόλεως τοῦτο συμβουλεύσαντος τῷ μεγάλῳ βασιλεῖ Κωνσταντίνῳ.*

**10.** *Καὶ τοῦτο δὲ ἐμφέρεται εἰς τοὺς πολλούς, ὅτι Μητροφάνους καὶ Ἀλεξάνδρου καὶ Παύλου αἱ εἰκόνες ἐν σανίσι γεγόνασιν ὑπὸ τοῦ μεγάλου Κωνσταντίνου· καὶ ἵσταντο ἐν τῷ Φόρῳ πλησίον τῆς μεγάλης στήλης τῆς ἐν τῷ κίονι κατὰ τὴν ἀνατολήν· ἅστινας εἰκόνας οἱ Ἀρειανοὶ μετὰ τὸ κρατῆσαι τῷ πυρὶ παραδέδωκαν ἐν τῷ κορονίῳ Μιλίῳ μετὰ καὶ τῆς Θεοτόκου ἀπεικόνισμα καὶ αὐτοῦ τοῦ νηπιάσαντος σαρκὶ Ἰησοῦ, καθὰ Ἀγκυριανὸς χρονο-*

---

§ 9 l. 8—10 (*κατεχ.*): Codin. II 95 (p. 64, 9 B) § 10 Codin. II 106 (p. 70, 4 B)

---

iugae' C. Gl. L. III 302, 69 et alibi)? 1 *καὶ ἐτέθησαν* secl. Band. 2 *ἵσταται στήλη* P, correxi ex Codino *ἐν αἷς*] *καὶ* Lamb. *σκυτάλαις*] '*σκυτάλη* rutrum' C. Gl. L. III 263, 14 6 *ἐλήματι* P, *εἰλήματι τοῦ Ἱπποδρομίου* GB 8 *ἐμφένεται* P, corr. Lamb., cf. § 10, 59 10 *ἐν* suppl. Comb. (etiam Codini codd. GB) *εἰλήματι τοῦ Φόρου* GB; cf. quae tradit Constant. Rhod. 76 (*πρὸς θέμεθλα τοῦ στύλου* sc. *τοῦ πορφυροῦ*) et adn. ad Hesych. p. 17, 13 11 *συμβολεύσαντος* P 18 sq. *ὡρείῳ Μιλίῳ* Lamb. coll. § 38 19 *ἀπεικόνισμα* P] cf. § 32 adn. crit. 20 *Ἀγκυρανὸς* 'Ancyra oriundus' Lamb.

γράφος ἐν τῇ Δεκαλόγῳ αὐτοῦ ἀκριβέστερον παρὰ Ἀναστάσιον ἡμῖν παραδέδωκεν. [τὸ δ' αὐτὸ καὶ αὐτὸς Ἀναστάσιος.]

**11.** Ἐν τῇ μεγάλῃ ἐκκλησίᾳ τῇ νῦν ὀνομαζομένῃ ἁγίᾳ Σοφίᾳ στῆλαι ἀφῃρέθησαν υκζ', αἵ πλεῖαι μὲν Ἑλλήνων ὑπάρχουσαι· αἵτινες ἐκ τῶν πολλῶν ὑπῆρχον τοῦ τε Ζεῦ [καὶ τοῦ Διὸς] καὶ Κάρου τοῦ πατροιοῦ Διοκλητιανοῦ καὶ τὸ δωδεκάζωδον καὶ ἡ Σελήνη καὶ ἡ Ἀφροδίτη καὶ ὁ Ἀρκτοῦρος ἀστὴρ παρὰ δύο Περσικῶν στηλῶν βασταζόμενος καὶ ὁ νότιος πόλος καὶ ἱέρεια τῆς Ἀθηνᾶς ἀπὸ τοῦ πλευροῦ τὸν Ἥρωνα φιλόσοφον μαντεύουσα. Ἐκ δὲ τῶν Χριστιανῶν ὀλίγαι μὲν ὡσεὶ π'· καὶ δέον ἐκ τῶν πολλῶν ὀλίγας μνημονεῦσαι· Κωνσταντίνου, Κωνσταντίου, Κώνσταντος, Γαληνοῦ κυαίστορος, ⟨Ἰουλιανοῦ Καίσαρος καὶ ἑτέρου Ἰουλιανοῦ ἐπάρχου⟩, Λικινίου Αὐγούστου, Οὐαλεντινιανοῦ καὶ Θεοδοσίου καὶ Ἀρκαδίου [καὶ] τοῦ υἱοῦ αὐτοῦ, Σεραπίωνος ὑπατικοῦ καὶ

---

§ 11 l. 4 — p. 27, 4 in.: Codin. II 96 (p. 64, 12 B); Anon. Treu p. 9, 14 (Suid. s. v. Σοφία). — Eadem a Codino retractantur I 49 (p. 16, 16 B)

---

1 ἐν τῷ δεκάτῳ λόγῳ Codini codd. AMB  2 Glossema indicavi  4 ἐκ τῆς κτλ. . . Σοφίας Lamb.  ἁγία bis extat in P  5 πλῆαι P (αἱ πλεῖαι-ὑπῆρχον om. Tr. Suid.), πλεῖσται Band.  6 τοῦ τε Ἀπόλλωνος καὶ τοῦ Διὸς Lamb. ex codd. A Codini I 49  7 καὶ τοῦ Διὸς seclusi  πατρυοῦ P; Κάρου τοῦ πατρὸς καὶ Διοκλ. Lamb., Κάρου τοῦ πρὸ Διοκλ. Meursius  8 καὶ τῶν δώδεκα ζῳδίων Tr.  καὶ σελήνη ἡ ἀφροδίτης P, recte Tr. et Codin.  9 βασανιζόμενος P, recte Tr. et Codin.  10 νομάτιος P, recte Tr. et Cod.  ἱέρεια] ἡ ἐριδία P, ἱεριδία Comb. fort. recte  11 ἥρωνα P  μαντεύειν τινὰ 'alicui vaticinari' non alienum videtur esse ab hac aetate, cf. πολεμεῖν, ἐγγίζειν τινὰ § 54 et § 28, Hatzidakis Einleitung p. 220 sq.  12 ὀλίγοι P, οὐκ ὀλίγαι Lamb., sed opponi videtur p. 26, 5 αἱ πλεῖαι  13 γαλλίνου Tr.  14 Ἰουλιανοῦ — ἐπάρχου supplevi ex Tr. et Cod.  16 καὶ interpolationem esse apparet ex Tr. et Cod.  σαραπίωνος Tr. et Codini codd. aliquot

*Ἑλένης μητρὸς Κωνσταντίνου τρεῖς· ἡ μὲν μία πορφυρᾶ διὰ μαρμάρων, ἡ δὲ ἑτέρα διὰ ψηφίδων ἀργυρῶν ἐν χαλκῷ κίονι καὶ ἡ ἄλλη ἐλεφαντώδης Κύπρου ῥήτορος προσενέγκαντος· ἅςτινας Ἰουστινιανὸς μερίσας τῇ πόλει τὸν ναὸν τὸν μέγιστον ἀνεγείρει μετὰ πίστεως καὶ πόνου. Οἱ δὲ πεπειραμένοι τῶν προειρημένων περιερχόμενοι τὴν πόλιν καὶ ζητοῦντες εὑρήσουσιν οὐκ ὀλίγας.*

**12.** *Μαναῒμ στρατηγοῦ νικήσαντος Σκύθας κατὰ κράτος, στήλη ἠξιώθη τιμηθῆναι ἐν τῷ καλουμένῳ Ὡρείῳ, ὅ τινες καλοῦσι Μόδιον· ⟨ἣν δὲ καλούμενον ὡρολόγιον, ἔνθα νῦν ἵστανται κίονες καὶ ἀψὶς πρὸς τὸν οἶκον τὸν νῦν λεγόμενον Κρατεροῦ· ἔνθα ἵσταται καὶ μόδιος χαλκοῦς καὶ ὡρεῖον καὶ δύο χεῖραι χαλκαῖ ἐπὶ ἀκοντίων⟩. Τὸ δὲ Μόδιον δέον ἐστὶ μὴ παραδραμεῖν ἡμᾶς ὅτι ἐπὶ Οὐαλεντινιανοῦ ἐτυπώθη.*

---

§ 12 Codin. II 97 (p. 64, 14 B) fere ad verbum. Treu p. 9, 26 (Suidas s. v. *Μαναΐμ*): *Ὅτι Μαναῒμ τοῦ στρ. νικήσαντος Σκύθας ἔστησαν στήλην αὐτοῦ ἐν τῷ καλ. Ὡρείῳ, ὅ τινες καλ. Μόδιον· ἦν γὰρ ὡρεῖον, ἔνθα νῦν ἵστανται κίονες πρὸ τοῦ οἴκου τοῦ Κρατεροῦ· ἔνθα ἵστατο καὶ μόδιος χαλκοῦς πλησίον τῶν χειρῶν· ἦν δὲ ὁ μόδιος δίκαιον μέτρον, ὡς ἂν τῷ χωρήματι αὐτοῦ καὶ πωλῶσι πάντες οἱ σιτοπρᾶται καὶ ἀγοράζωσιν οἱ σιτῶναι καὶ τῷ ἴσῳ μέτρῳ δίδοται τὸ σιτηρέσιον· τοῦτο δὲ ἐνομοθέτησεν Οὐαλεντινιανός· πιπράσκεσθαι δὲ τὸν σῖτον μοδίους δώδεκα τῷ νομίσματι μηδενὸς ἀντιλέγοντος. Ὅθεν τις ναύτης βασιλεῖ σῖτον ἀπεμπωλῶν καὶ ἀδικῶν φωραθεὶς ἐν τῇ πράσει τὴν δεξιὰν ἀφῃρέθη χεῖρα· οἱ δέ φασιν, ὅτι μᾶλλον ἀντεῖπε τῷ βασιλεῖ ὡς ἀδίκως νομοθετήσαντι καὶ διὰ τοῦτο ἀφῃρέθη τὴν δεξιὰν χεῖρα. Ὅθεν ἐτυπώ-*

---

2 *χαρκῷ* P 4 *ἰου/////ιανὸς* P 8 *μανανᾳῆε* P, cf. Tr. Idem nomen in fragmentis Papiae ed. de Boor Texte u. Untersuchungen V 2, 170 (*τὴν μητέρα Μαναΐμου* et alibi Pape-Benseler s. v. *Μανάημος*); cf. Acta Apost. 13, 1 *Μαναήν* *νικήσαντες* P 9 *ὡρίῳ* P 10 *ἦν — 13 ἀκοντίων* suppl. ex Codino; casu excidisse docent Tr. et Suid. 14 *βαλεντινιανοῦ* P

*Τότε γὰρ καὶ ἀρχιμόδιον παρὰ τῶν ἐν Κωνσταντινουπόλει οἰκούντων ἀνηρευνήθη δεκαδύο † τοῦτο τοῦ ἀργύρου τυπώσαντος· ἀργυροῦν ⟨δὲ⟩ ἀπ' ἀρχῆς ἐτυπώθη τὸ νόμισμα. Τοῦτο δὲ καὶ Θεοδώρητος διαφατεύει τρανότατα. Αἱ δὲ χαλκαῖ χεῖραι ἔκτοτε ὑπεράνω ἐτυπώθησαν· τοῦ γὰρ βασιλέως τοῦτο τὸ κουμούλιον μόδιον νομοθετήσαντος, μὴ ἀνταίρειν δὲ τ⟨οῖς⟩ ναυτιοῦσιν προστάξαντος, κατὰ τὰ σιτηρέσια εἰς ἐξ ἀμφοτέρων τῶν ναυτῶν τῷ βασιλεῖ τ⟨ὸν⟩ σῖτον ἀπεμπωλῶν ἐν τοῖς ἐκεῖσε δίκην ἄδικον καταγγείλαντος ἐν τῷ κατωγαίῳ Μοδίῳ τὴν δεξιὰν χεῖρα ἀπώλεσεν. Ὅθεν καὶ ἐτυπώθησαν αἱ χεῖραι τοῖς λαμβάνουσιν καὶ τοῖς διδοῦσιν, ἀμφοτέρους ἐκ τῶν προστεταγμένων μὴ ἀγανακτεῖν. Ὅθεν καὶ Οὐαλεντινιανοῦ τοῦ βασιλέως στήλη ἔξαμον ἐν δεξιᾷ χειρὶ κατέχουσα ἁρπαγῆναι εἰς πάκ⟨τον⟩ διὰ τὸ καὶ αὐτὴν εἶναι ἀργυρᾶν † μικρὰν ὑπὸ ⟨τοῦ⟩ Κουρίου προτίκτορος ἐπὶ Ἰουστινιανοῦ τῷ ⟨β' ἔτει⟩.*

---

*θησαν κτλ.* ad verbum transcripsit. Cf. etiam Codin. II 51 (p. 45, 16 B) et Treu p. 21, 20

---

1 *ἀρχὴ μοδίων* Lamb. 2 *ἀνηυρέθη* Comb. p. 308 *δεκα|δύο* P. Incertum exciderint necne post *δέκα* una vel duae litterae margine subciso *τοῦτο κτλ.*] locum non expedio; quid dixerit auctor, ex Tr. apparet. Exspectamus: *δεκαδύο* (sc. *μοδίους*) *τούτου* (= *τοῦ βασιλέως*) *τῷ ἀργύρῳ* (*τὸ ἄργυρον* Byzantinis = *νόμισμα*) ⟨*πιπράσκεσθαι*⟩ *τυπώσαντος* 3 *ἀργυροῦν δὲ*] *ἀργυρὸν* P, *δὲ* supplevi ex Codino 6 *ἀντερεῖν* P, correxi coll. § 26 7 *ναυτιοῦσιν* P, derivatum est a * *ναυτιῶ* vel * *ναυτίζω* = *ναύτης εἰμί*; v. Hatzidakis p. 395 sqq. de similibus verbis *κατὰ*] *καὶ* P, corrigebam *εἰς ἐξαμφοτέρων* P (*ἀμφότεροι* = *πάντες* cf. § 17) 8 *τὸν*] exstat in folio initium litterae *τ*; reliqua abscisa sunt *ἀπεμπώλουν* P 9 *δίκην ἄδικον*] = *δίκην ἀδικίας* *καταγγείλαντος*] sc. *τοῦ βασιλέως* vel *τοῦ δικαστοῦ* 12 *βαλεντινιανοῦ* P 13 *ἔξαμον* = examen? cf. § 37; an *ἐξάγιον*? 14 *ἁρπαγῆναι*] *καὶ ἡρπάγη* Lamb., *ὥστε ἁρπαγῆναι* Comb. *εἰς πάκ* | P reliquis abscisis, item l. 15 et 16 *τοῦ* et *β' ἔτει* perierunt cum margine 15 *μακρὰν* Comb. *κυρίου* P, correxi ex Tr. et Cod.

**13.** *Μενάνδρου μάντεως Κρητῶν ἧκεν ἐν Κωνσταντινουπόλει εἰκών, ἣν ἔστησαν ἐπὶ τὸν Ἀρτοτυριανὸν οἶκον εἰς θέαν διὰ τὸ εἶναι τὴν στήλην εἰς μῆκος πηχῶν ιε´, πλάτος δὲ ⟨η´⟩· ἥντινα χυτὴν μὴ ὑπάρχουσαν, ἀλλ' ἐλατὴν Μαρκιανὸς εἰς ὀβολοὺς ἐλάσας τοῖς δημοσίοις προσέθηκεν.*

**14.** *Ἀρδαβούριος στρατηγὸς ἐπὶ Λέοντος τοῦ πάνυ ἐν τοῖς Θρᾳκῴοις μέρεσιν Ἡρωδιανοῦ στήλην εὑρὼν ἐπίκυ⟨ρτον⟩ πάνυ καὶ παχεῖαν θυμωθεὶς ὤλεσεν· ἥντινα ὀλέσας χρυσίου λιτρῶν ρλγ´ τάλαντα εὗρεν, ἃ μετὰ προθυμίας τῷ βασιλεῖ κατεμήνυσεν. Ὁ δὲ ὑπ' αὐτοῦ ἐσφάττετο καὶ ὀδυνώμενος ἔλεγεν· οὐδεὶς μολίβδῳ χρυσὸν καταμίξας ἐπὶ ζημίας † ἠνδρίζετο, οἷα παρὰ τῷ κυρτῷ τούτῳ βασιλεῖ εἰς ἐμὲ συμβέβηκεν. Ἔνθεν καὶ οἱ διερχόμενοι τῷ τόπῳ καὶ μάλιστα φιλόσοφοι οὐ τοῖς προτέροις κακοῖς τῷ θανάτῳ Ἀρδαβούριον ἔβαλλον, ἀλλ' εἵνεκεν στήλης Ἡρωδιανοῦ καταλύσεως· ὅτε καὶ Ἄσπαρ σὺν αὐτῷ τὸ πέρας ἐδέξατο. Ἄσπαρος δὲ*

---

§ 13 Codin II 98 (p. 66, 14 B) paucis discrepat; v. adn.
§ 14 Codin. II 99 (p. 67, 3 B)

---

1 *κριτῶν* P; Menander quidam, *γόης καὶ ἀπατεύων*, memoratur a Cedreno I 433, 14; 437, 7, Ps.-Pol. p. 212 H. 2 *ἔστησεν* P 4 *η´* periit cum margine, suppl. ex Codino *χυμευτὴν ὑπάρχουσαν καὶ ἀργυροελατὴν καθαρὰν* Codin. 6 Similes historias collegit Art. Graf Roma nella mem. del medio evo I 161—171 7 *ρτον* periit cum marg. 8 *χρυσίον* P, corr. ex Codino 10 *ὀδυρόμενος* Lamb. 11 *χρυσῶ* P *ἐπιζήμιας ἠνδρ.* P, *ἐπὶ ζημίας* vel *ἐπιζήμιος ἠνδρ.* Codini codd. mel., *ἐπιζήμιος ηὑρίσκετο* ex Codini codd. deterioribus vel *ἐπὶ ζημίας ἡλίσκετο* Comb., *ἐπὶ ζημίας ⟨οὕτως⟩ ἠνδρίζετο* Wuensch (poenas dans sic afflictus est), *ἐπιζήμιος ἐνομίζετο* W. Fischer; an *ἐπὶ ζημίᾳ ἠναρίζετο*? 13 *τὸν τόπον* Codin. 15 *ἐνέβαλον* Codini codd. praeter $IA_1$; de *βάλλω* pro *ἐμβάλλω* v. Usener Theodosios p. 141; an *τὸν θάνατον Ἀρδαβουρίῳ ἔβαλλον*? Cf. Passio S. Perpetuae p. 125, 5 Franchi: *κἀγὼ ἥτις ᾔδειν πρὸς θηρία με καταδικασθεῖσαν, ἐθαύμαζον ὅτι οὐκ ἔβαλλόν μοι αὐτά*

*στήλη ἐν τοῖς Ταύρου σώζεται ἕως τῆς δεῦρο κατοχυῖα ἐν ἵππῳ † αννύῳ δεξιολαβεῖ καθὼς ὁρᾶται.*

**15.** *⟨Ἐν⟩ δὲ τῷ Φόρῳ τῷ δεξιῷ τῆς ἀνατολῆς μέρει ἐδέξατο στήλας πορφυρᾶς διὰ μαρμάρων ⟨ι⟩β' καὶ σειρῆνας ιβ'· ἅςτινας σειρῆνας οἱ πολλοὶ ἵππους ⟨θαλασσίους⟩ καλοῦσι χρυσεμβάφους. Ἐπὶ δὲ ἡμῶν ἑπτὰ καὶ μόναι καθορῶνται· τὰς δὲ τρεῖς ἐξ αὐτῶν ὁ ἐν τοῖς ἡμετέροις χρόνοις ἐν τοῖς τοῦ ἁγίου Μάμαντος μετέθηκε μέρεσιν, αἱ δὲ δ' σώζονται ἕως τῆς δεῦρο.*

**16.** *Δέον γινώσκειν ὅτι ὁ σταυρὸς ὁ μεσοσυλλαβῶν ἀναγινωσκόμενος ʿἅγιοςʾ παρὰ τοῦ προστατοῦντος τῷ Φόρῳ ἀνηγέρθη· ἔνθεν καὶ ταχυδρόμων δύο καὶ αὐτοῦ Κωνσταν-*

---

§ 15 Codin. II 100 (p. 67, 19 B) § 16 Codin. II 102 (p. 68, 8 B) fere ad verbum. Treu p. 10, 15 (Suid. s. v. *Ἑλένη* et *σταυρός*): *Ὅτι ἐν τῇ ἀψῖδι τῆς καμάρας τοῦ φόρου ἵστανται δύο στῆλαι Ἑλένης καὶ Κωνστ. καὶ σταυρὸς ἐν μέσῳ αὐτῶν γράφων· εἷς ἅγιος· καὶ δύο ταχυδρόμων ὁμοίως στῆλαι· ἀνετέθησαν δὲ ὑπὸ τοῦ τὸν φόρον ἐπέχοντος. Ὅτι ἐπὶ τὸ μέρος τὸ βόρειον τοῦ φόρου ἵστατο σταυρός, ὡς εἶδεν αὐτὸν ἐν τῷ οὐρ. Κωνσταντῖνος, χρυσέμπλαστος ἐν τοῖς ἀκρ. στρ. μήλοις· ἔνθεν καὶ αὐτὸς καὶ οἱ υἱοὶ αὐτοῦ καθορῶνται χρυσέμβαφοι.* [Inde Codin. II 16 (p. 28, 11 B) et II 18 (p. 29, 9 B); v. Beiträge z. Textg. p. 36]

---

1 *κατοχῦα* P, est participium praesentis perfecti more formatum; cf. *ἧκεν ἥκασιν ἡκέναι* similia (*καθεζόμενος* Codin.) 2 | *αννύω* P; ante *α* una littera videtur cum margine periisse; *γαννύω* edd., sed *ῥαννύω* fuisse mihi ex vestigiis magis probatur; *ἐρρωμένῳ* (μεν) Codin. (*ῥωννύω*?) *δεξιολαβεῖ*] cf. Leo Gramm. p. 252, 18 Bonn. *τοῦ δεξιοῦ ἵππου οὐ ἤλαυνε; ἵππος ἀδέστρατος* vel *ἀδίστρατος* (a dextra) in Sophoclis lex. s. v. 3 *ἐν* et 4 *ι* perierunt cum margine *δεξιῷ*] Codin., *δευτέρῳ* P 4 *ἐδέξατο* P] sc. *Λέων*? *ἐδέξαντο* edd. et Codini $A_2$ 5 *θαλασσίους* addidit Lamb. ex Codino 6 *ἑπτὰ καὶ μόνοι* P, *ἑπτὰ μόνον* Comb., sed cf. § 28 et 56 et Malalas ed. Dind. ind. s. v. *καί* 10 *μεσοσυλλαβῶν*] activum pro passivo: cf. *γράφειν* § 7, 17, 26, 44a, *τοῖς προαναδεδηλωκόσι* § 17 12 *ἀνηγορεύθη* P

τίνου καὶ Ἑλένης ἐκ δεξιῶν καὶ ἐξ εὐωνύμων σώζονται στῆλαι. Τὸ δὲ προςέρχεσθαι πρὸς βορρᾶν καὶ ἀπέρχεσθαι πρὸς ἀνατολήν, σταυρὸς ἀργυρέμπλαστος ἐν τοῖς ἀκρωτηριακοῖς στρογγύλοις μήλοις ἐν αὐτῷ τῷ τόπῳ ὑπὸ Κωνσταντίνου τοῦ μεγάλου ἀνηγέρθη, ὡς ἐθεάσατο ⟨αὐτὸν ἐν τῷ οὐρανῷ⟩· ἔνθεν οἱ υἱοὶ καὶ αὐτὸς καθορῶνται χρυσέμβαφοι.

**17.** Ἐν αὐτῷ τῷ Φόρῳ καὶ ἐλέφαντος στήλη φοβερὰ ἵστατο ἐν τοῖς εὐωνύμοις μέρεσι πλησίον τῆς μεγάλης στήλης· ὃ καὶ παράδοξον ἐδείκνυτο θέαμα. Σεισμοῦ γὰρ γενομένου ποτὲ καὶ αὐτὸς πεπτωκὼς ἀπώλεσεν ἕνα τὸν ὄπισθεν πόδα. Οἱ δὲ τοῦ ἐπάρχου βοήσαντες ταξεῶται — ἔθος γὰρ τὰ τοῦ Φόρου παρ' αὐτοῖς φυλάττεσθαι — συνδραμόντες ἐγεῖραι εὗρον ἐν τῷ αὐτῷ ἐλέφαντι ἀνθρώπου ὀστᾶ ἀμφότερα ὅλου τοῦ σώματος καὶ πυξίον μικρόν, ὃ ἐν τῇ κεφαλῇ ἔγραφεν· 'Ἀφροδίτης παρθένου ἱερᾶς οὐδὲ θανούσης χωρίζομαι'. Ὅπερ ὁ ἔπαρχος τῷ δημοσίῳ προςέθηκεν εἰς νουμία τοῖς προαναδεδηλωκόσι.

**18.** Ἐν δὲ τῷ λεγομένῳ Μιλίῳ Θεοδοσίου στήλη ἵστατο

---

§ 17 Codin. II 102 (p. 68, 10 B) fere ad verbum § 18 Codin. II 104 (p. 69, 12 B); Treu p. 10, 26 (Suid. s. v. Θεοδόσιος)

---

2 τῷ δὲ προςέρχεσθαι = ἐν τῷ δὲ πρ. E. Kurtz 3 σταυρὸν ἀργυρέμπλαστον P καὶ ἐν τοῖς ἀκρωτηρίοις στρογγύλοις μῆλον Band. Globi extremis crucis partibus affixi ex argento erant 5 ἀνηγορεύθη P ἐθεάσατα P αὐτὸν ἐν τῷ οὐρανῷ ex Codino suppl. Lamb. 10 ὃ] ἔνθα Codin., οὗ Lamb. 11 ἕνα τῶν ὄπισθεν Lamb. 15 ὃ] οὗ P et Codin., correxi ex consuetudine auctoris cf. § 7, 26, 44a 16 ἱέρακος οὐδὲ θανοῦσα P; corrigebam; Ἀφροδίτη est hominis nomen. Locum variis coniecturis tentant Lamb. et Comb. (Ἀφροδίτης Παρθένου ἱερά· οὐδὲ θανούσης χωρ. Alexis) 17 νομία P 18 προαναδεδ.] forma activa pro passiva, v. p. 30, 10; spectat ad p. 29, 5

*ἔφιππος χαλκῇ· ἣν ἀνεγείρας πολλὰ σιτηρέσια τῇ πόλει προςέθηκεν.*

**19.** *Αἵ δὲ ἐν τῷ Περιπάτῳ ἔφιπποι στῆλαι γένος Γρατιανοῦ ἅπαν καὶ Θεοδοσίου καὶ Οὐαλεντινιανοῦ· ἐξ αὐτῶν καὶ κυρτοῦ Φιρμιλλιανοῦ πρὸς γέλωτα γέγονεν· ὃ καὶ σώζεται ἕως τῆς σήμερον.*

**20.** *Τὸν δὲ Ξηρόλοφον πρώην θέαμά τινες ἐκαλοῦσαν· καὶ ἐν αὐτῷ γὰρ κοχλίδαι ις′ καὶ Ἄρτεμις, συνθετὴ στήλη, καὶ Σευήρου τοῦ κτίσαντος καὶ θεμάτιον τρίπουν. Ἔνθα καὶ θυσίαι πολλαὶ παρὰ τοῦ αὐτοῦ Σευήρου γεγόνασιν· ἔνθα καὶ χρησμοὶ πολλοὶ ἐν αὐτῷ τῷ τόπῳ γεγόνασιν· καθ' ὃν καὶ κόρη παρθένος ἐτύθη· καὶ ἀστρονομικὴ θέσις εἰς λς′ χρόνους διήρκεσε.*

**21.** *Τὸ δὲ Ἐξακιόνιν τὸ λεγόμενον ἔσχε ποτὲ πτῶκα καὶ κύνα καὶ Νεβρὼδ παμμεγέθη, τὰ τρία ἀπὸ ἑνὸς σιδήρου· καὶ πολλὰ ἕτερα θεάματα ἐν αὐτῷ τῷ τόπῳ ἐσώζοντο. Ταῦτα Μαρκιανὸς παρέστειλε καὶ ἐν τοῖς τοῦ ἁγίου Μάμαντος μέρεσι προςέθηκε. Καὶ λουτρὸν δὲ ἦν εἰς μέγεθος, ἐν ᾧ καὶ πολλοὶ ἐκινδύνευον διὰ τὸ λέγειν μὴ δέξασθαι χρησμόν.*

---

§ 19 Codin. II 104a (deest in edd.); Treu p. 10, 29, Suid. s. v. *στήλη* et *Γρατιανός* (Cod. p. 53, 16 B), v. Beiträge zur Textg. p. 37 § 20 Cod. II 105 (p. 70, 1 B); Treu p. 11, 1, Suid. s. v. *Ξηρόλοφος* (Cod. p. 30, 1 B), v. Beiträge etc. p. 38

---

1 *ἐφ' ἵππον* P Tr. Suid. *χαλκοῦ* P, corr. ex Tr. Suid. 4 *βαλεντινιανοῦ* P *ἐξ αὐτοῦ* P, correxi ex Cod. 5 ὃ] ἡ Lamb., sed cf. p. 31, 10 et 15 6 *τῇ* P 7 *τὸ δὲ ξηρ.* P (cf. § 71) *θέμα* Suid. 8 *κοχλίαι* Tr. Suid.; columnae Traiani et M. Aurelii in Notitia regionum Urbis Romae c. 8 et 9 'coclides' dicuntur *ιβ′* P, *ις′* Codin. Tr. Suid. 9 *τίπουν* P 12 *καθ' ὃν καιρὸν καὶ* Suid. 13 *διαρκέσασα* Tr. Suid. 15 *ὑπὸ* P 19 *διὰ τὸ λέγειν* ⟨*τινὰς*⟩? p. 33, 5
20 *χρισμόν*? (*χρισμός* = *χρῖσμα*? multi ut ferunt periclitati sunt propter unctionem neglectam?)

**22.** Ἐν δὲ τῷ ἁγίῳ Μάμαντί ποτε ἵστατο γέφυρα φοβερὰ περὶ δώδεκα λόφους καὶ καμάρας ἔχουσα. Ποταμὸς γὰρ κατήρχετο ἐκεῖσε παμμεγέθης καὶ μάλιστα, ὡς ἔλεγον, τῷ Φεβρουαρίῳ μηνί. Ἔνθα καὶ δράκων ἵστατο χαλκοῦς παμμεγέθης διὰ τὸ λέγειν τινὰς δράκοντα κατοικεῖν ἐν τῷ γεφυρίῳ ἐκείνῳ· ἐν αὐτῷ οὖν πολλαὶ παρθένοι ἐτύθησαν καὶ προβάτων καὶ ὀρνέων πλήθη πολλὰ καὶ βοῶν. Βασιλίσκος γάρ τις ἐρασθεὶς τὸν τόπον, ὃς εἷς τῶν ἀπὸ Νουμεριανοῦ Καίσαρος ὑπῆρχε, κτίσας κατῴκησεν ἐν αὐτῷ· ἔνθα καὶ ναὸν παμμεγέθη τοῦ Διὸς ἤγειρεν. Ταῦτα δὲ Ζήνων ἐν τῷ δευτέρῳ τῆς βασιλείας καιρῷ παρέλυσε.

**23.** Ἐν τῷ Φόρῳ κάτωθεν τῆς μεγάλης στήλης ὑπάρχουσι σταυροὶ εἰς πλῆθος, τὸ σημεῖον τοῦ σταυροῦ τοῦ μεγάλου φέροντες· ἔνθα καὶ τῶν δύο λῃστῶν τῶν συσταυρωθέντων τῷ Χριστῷ ἐν αὐτῷ τῷ τόπῳ κεχωσμένοι εἰσὶν ἕως τῆς σήμερον· ἀλλὰ καὶ βίσσιον ὑελοῦν μύρου, ἐν ᾧ ὁ Χριστὸς ἠλείψατο, καὶ πολλὰ ἕτερα εἰς πλῆθος σημειοφορικὰ ὑποκάτω τοῦ Φόρου ὑπάρχουσιν, ⟨τεθέντα⟩ παρὰ Κωνσταντίνου τοῦ μεγάλου καὶ παρὰ Θεοδοσίου τοῦ μεγάλου ἀσφαλισθέντα, ἅτινα κατ' ὄνομα εἰς μῆκος τοῦ μνημονεῦσαι ἐξαγόμεθα.

**24.** Πολλὰ ἐν τῷ Στρατηγίῳ τῷ μεγάλῳ Κωνσταντῖνος

---

§ 22 Treu p. 11, 13, Suid. s. v. *Μάμας*; inde Codin. II 21 (p. 30, 14 B) § 23 Treu p. 11, 9 et Suid. s. v. *Φόρος* paucis omissis; inde Cod. II 20 (p. 30, 10 B)

---

1 *ἐν δὲ τοῦ ἁγίω* (sic) P 2 *μαρμάρας* P 7 *βασιλικὸς* P 8 *τοῦ τόπου* Tr. Suid. *εἰς τὸν* P *νουμερίου* P 11 *κατέλυσεν* Tr. Suid. 12 *ὅτι κάτωθεν τοῦ φόρου κεχωσμένοι ὑπάρχουσιν κτλ.* Tr. Suid. *στήλης*] *πύλης* P, corr. Lamb. 13 *ταυροὶ* P 15 *ἕως τῇ* P 16 *βηκίον* Tr., *βίκιον* Suid.; sed cf. Usener Acta Anastasii ind. s. v. *βίσσα* *ἐν ᾧ*] *ὃ* Tr. Suid. 18 *τεθέντα* inserui ex Tr. Suid.

ὁ μέγας ἠρέσκετο· ὅθεν καὶ νουμία Ἑλληνικὰ εἰς χάος † πλῆθος παρέδωκεν. Ὡς δὲ ἐγγράφως μὲν τοῦτο οὐχ εὕρομεν, παρὰ δὲ ἀνδρῶν τῶν ἐν πείρᾳ τῆς γραφῆς τυγχανόντων ἠκούσαμεν, ὅτι ἐν αὐτῷ τῷ Στρατηγίῳ καὶ χρυσὸς εἰς πλῆθος κατεχώσθη εἰς χάος πολύ. Καὶ οὐκ ἠπίστησα ἀκούσας, ὅτι [ἃ] καὶ ἡμεῖς καὶ οἱ πατέρες ἡμῶν ἐξέδωκαν ἡμῖν τὰ πλείω ἀγράφως καὶ οὐκ ἐγγράφως, ὡς ἴσασιν οἱ φιλομαθεῖς. Ἐν δὲ τῷ μικρῷ Στρατηγίῳ μόλιβδος πολὺς χρηματίζει, ἢ αὐτὸς ὁ μόλιβδος ἢ μολίβδου διάθεσις ἔγγραφος· ἀλλὰ καὶ χρυσίου καὶ ἀργυρίου διὰ μαρμαρ⟨ίν⟩ων γραφῶν ποίησις· τοῦτο δὲ ἐκ στίχων πινακιδίων μαρμαρίνων ἢ ἀναγνῶτες ἢ παρὰ τῶν ἀναγνωσάντων ἐρευνήσαντες ταῦτα γεγραφήκαμεν.

**25.** Ἐν δὲ τῷ ναῷ τοῦ ἁγίου Μηνᾶ ὄρυγμα εὑρέθη μέγα, ὅτε ἐκαθαίρετο, καὶ ὀστᾶ ἀνθρώπων γιγάντων εἰς πλῆθος, ἅτινα θεασάμενος ὁ βασιλεὺς ὁ Ἀναστάσιος καὶ ἐκπλαγεὶς ἐν τῇ Φόσσᾳ κατέθετο εἰς θαῦμα ἐξαίσιον.

**26.** Ἐν τῷ ναῷ τοῦ ἁγίου μάρτυρος Προκοπίου τοῦ

---

§ 25 Treu p. 11, 24, Suid. s. v. *Μηνᾶς*; inde Codin. II 22 (p. 31, 3 B) § 26 Treu p. 11, 29, Suid. s. v. *Προκόπιος*; inde Codin. II 23 (p. 31, 7 B)

---

2 ⟨*εἰς*⟩ *πλῆθος*? cf. lin. 4 et 15; pertinet ad *νουμία* Cf. Socrat. I 1, 1 *ὅσα ἢ ἐγγράφως εὕρομεν ἢ παρὰ τῶν ἱστορησάντων ἠκούσαμεν, διηγούμενοι* 3 *τῆς γραφῆς* secludit Alexis; sed *ἔγγραφον παράδοσιν* significare videtur 5 *ἠτίστησα* P 6 *ἃ* seclusi *ἡμεῖς* sc. *ἐκδιδοῦμεν τοῖς ἄλλοις* 9 *ἢ αὐτὸς . . ἢ μολίβδου* P, correxi (*καὶ αὐτὸς* Lamb.): aut plumbum ipsum aut compositio (?) plumbi litteris descripta? (*διάθεσις ἔγγρ.* idem significare videtur quod *ποίησις διὰ γραφῶν*) 10 *μαρμάρων* P, corrigebam 11 *ποίησισις* P *διὰ γραφῶν ποίησις χρυσίου καὶ ἀργυρίου*] fabricatio auri et argenti descripta in marmore *ἐκ στοιχείων*? *μαρμαρικῶν* P, correxi, cf. § 40 et 66 17 *ἐν τῇ Φόσσᾳ*] *εἰς τὸ παλάτιον* Tr. Suid., cf. § 73

*ἐν τῇ Χελώνῃ στήλη ἵστατο εὐνούχου τινός, ἣ ἐν τῷ στήθει ἔγραφεν· ὁ μετατιθεὶς θεμάτια τῷ βρόχῳ παραδοθήτω. Ἦν δὲ ἡ στήλη Πλάτωνος κουβικουλαρίου, ὃς ἐν ταῖς ἡμέραις βασιλέως Βασιλίσκου πυρίκαυστος γέγονε. Τῶν δὲ γονέων αὐτοῦ αἰτησάντων τῷ βασιλεῖ στηλωθῆναι τὸν εὐνοῦχον Πλάτωνα εἰς μνημόσυνον τοῖς ἀνταίρουσι βασιλεῖ οὐκ ἐκώλυσεν. Ἐν δὲ τῷ ἀνακαινίζεσθαι τὸν τοῦ μάρτυρος ναὸν μετετέθη εἰς τὸ Ἱπποδρόμιον· οἱ δὲ οἶκοι τοῦ αὐτοῦ εὐνούχου σώζονται ἐν τῇ Χελώνῃ ἕως τῆς σήμερον.*

**27.** *Ἐκ τῶν Ἱμερίου χαρτουλαρίου † φράσις τῶν παρὰ Θεοδώρου, ὅτε παραγέγονεν ἐν τῷ Κυνηγίῳ θέας χάριν. Πολλὰ γὰρ ἡμῖν ἐμελέσθη περὶ τοῦ ἐρευνῆσαι ἀκριβῶς περὶ ὧν παρεκάλεσας καὶ φανερῶσαι τῇ σῇ ἀρετῇ, ὦ Φιλόκαλε.*

**28.** *Ἀπελθόντων ἡμῶν ποτε ἐν τῷ Κυνηγίῳ σὺν Ἱμερίῳ τῷ προλεχθέντι ἐνδόξῳ χαρτουλαρίῳ τὰς ἐκεῖσε ἱστορῆσαι εἰκόνας, ἐν οἷς εὕρομεν μίαν στήλην μικρὰν τῷ μήκει καὶ*

---

§ 28 l. 15—p. 36, 6 et p. 36, 11—22 transscripsit Anon. Treu p. 12, 7 (Suid. s v. *κυνήγιον*) paucis omissis et mutatis. Initio addit haec: *περὶ τῶν ἐν τῷ Κυνηγίῳ στηλῶν· ἐν τῷ Κυνηγίῳ τὸ πρότερον ἐρρίπτοντο οἱ βιοθάνατοι· ἦσαν δέ τινες ἐκεῖσε στῆλαι· καὶ ἀπελθὼν Θεόδωρος ὁ ἀναγνώστης μετὰ Ἱ. χαρτ. εἶδεν ἐκεῖσε στήλην μικρὰν κτλ.* (nihilo secius pergit *ἐμοῦ δὲ θαυμάζοντος κτλ.*). Inde Cod. II 24 (p. 31, 17 B)

---

5 *τῷ βασιλεῖ*] *αἰτεῖν τινι* etiam § 64, cf. Marci Diaconi indicem 6 *ἀντεροῦσι* P 9 Fini capitis ornamentum scriba adpinxit et inferiorem paginae partem vacuam reliquit 10 *ἐκ τῶν ⟨περὶ⟩ Ἱμερίου* Heisenberg *ἡμερίου* hic et rell. locis (l. 15, p. 36, 2 et 6) P *φράσις τῶν*] an (*ἐκ*)*φρασθέντων* vel (*ἐκ*)*φραστῶν*? *ἐκ τῶν Θεοδώρου ἀναγνώστου φράσις τῶν περὶ Ἱμερίου χαρτ. ὅτε κτλ.* Lamb. 12 *ἐμελήθη* edd. 14 *Φιλόκαλε*] cf. § 28, 41, 42; nomen proprium esse mihi videtur (*φιλόκαλε* edd.) 17 *ἐν οἷς* sine vi relativa

πλατεῖαν καὶ παχεῖαν πάνυ. Ἐμοῦ δὲ θαυμάζοντος καὶ μὴ ἱστοροῦντος φησὶν ὁ Ἱμέριος· ‘θαύμαζε, ὅτι ὁ κτίσας τὸ Κυνήγιόν ἐστιν.’ Ἐμοῦ δὲ εἰπόντος ‘Μαξιμιανὸς ὁ κτίσας καὶ Ἀριστείδης ὁ καταμετρήσας’ παρευθὺ πεσεῖν τὴν στήλην ἐκ τοῦ ἐκεῖσε ὕψους οὗ τοσούτου ὑπάρχοντος καὶ δοῦναι τῷ Ἱμερίῳ καὶ παραυτὰ θανατῶσαι. Ἐμοῦ δὲ φοβηθέντος διὰ τὸ μὴ εἶναι ἕτερον ἐκεῖ ἢ μόνους τοὺς τοὺς ἡμιόνους ἡμῶν κατέχοντας καὶ αὐτοὺς ἔξω τῶν ἀναβαθμῶν ὑπάρχοντας δειλιάσας μὴ κινδυνεύσω σύρας τῷ δεξιῷ ποδί, ἔνθα τοὺς καταδίκους, ῥίπτειν ἐπεχείρουν. Δειλιάσας δὲ τὸ ἄχθος ἀφήσας ἐν τῷ στόματι τοῦ ὄχθου ἀνεχώρησα πρόσφυγος γενόμενος ἐν τῇ μεγάλῃ ἐκκλησίᾳ· καὶ καταγγέλλων τὸ πραχθὲν ἐν ἀληθείᾳ οὐκ ἐπιστευόμην ἕως εἰς ὅρκου βεβαίωσιν ἐλθεῖν με διὰ τὸ τότε καὶ τοῦτο μόνον τηρῆσαί με τὸ κατόρθωμα. Οἱ οὖν οἰκεῖοι τοῦ τελευτήσαντος καὶ οἱ τοῦ βασιλέως φίλοι σὺν ἐμοὶ ἐπορεύθησαν ἐν τῷ τόπῳ καὶ πρὸ τοῦ τὸ πτῶμα τοῦ ἀνδρὸς προσεγγίσαι τὸ πτῶμα τῆς στήλης ἠτένιζον θαυμάζοντες. Ἰωάννης δέ τις φιλόσοφός φησιν, ὅτι ‘μὰ τὴν θείαν πρόνοιαν οὕτως εὑρίσκω ἐν τοῖς Δημοσθένους συγγράμμασιν ὑπὸ τούτου τοῦ ζωδίου ἀποκτανθῆναι ἔνδοξον ἄνδρα’. Ὃς καὶ παρευθὺ τῷ βασιλεῖ Φιλιππικῷ πληροφορήσας κελεύεται καταχῶσαι τὸ αὐτὸ ζώδιον ἐν τῷ αὐτῷ τόπῳ· ὃ καὶ γέγονεν διὰ τὸ μὴ δέχεσθαι κατάλυσιν. Ταῦτα, Φιλόκαλε, μετὰ ἀληθείας ἐρευνῶν εὔχου μὴ εἰςελθεῖν εἰς πειρασμὸν καὶ ταῖς ἀρχαίαις στήλαις καὶ μάλιστα ταῖς Ἑλληνικαῖς πρόςεχε θεωρῶν.

---

2 *φησὶν Ἡμέριος καὶ αὐτὸς θαυμάζων, ὅστις ὁ κτίσας κτλ.* Lamb. *μὴ θαύμαζε* cod. G Codini ex coniectura 3 *μαξιμῖνος* Tr. et Suid. 5 *οὗ*] *οὐ*? (*οὗ τοσούτου ὑπάρχ.* om. Tr. Suid.) 7 *τοὺς τοὺς*] cf. Usener Theodosios p. 173 sq. 14 *ποτε* P *καὶ τοῦτο μόνον*] cf. adn. p. 30, 6 16 *τῷ πτώματι* Lamb., sed cf. adn. p. 26, 11 20 *ἀποκτανθῆναι*] *τεθνηξόμενον* Tr. Suid. 22 *τῷ αὐτῷ ζωδίῳ* P 23 *καταλύσεως* P, corrigebam

*Θεοδώρου ἀναγνώστου ἔτι συντομία γυναικῶν.*

**29.** *Βερίνης γυναικὸς Λέοντος τοῦ μεγάλου πλησίον τοῦ ἁγίου Ἀγαθονίκου ἄνωθεν τῶν βάθρων ἐν κίονι χαλκῇ· ἔτι τῆς αὐτῆς ἐν τῷ Ἀνεμοδουρίῳ πρὸς νότον πλησίον τῆς ἁγίας Βαρβάρας. Ἀλλ' ἡ μὲν πρώτη ἐν τῷ ἁγίῳ Ἀγαθονίκῳ ἔτι τοῦ ἀνδρὸς αὐτῆς ζῶντος ἔστη· ἡ δὲ ἄνωθεν τῆς ἁγίας Βαρβάρας μετὰ τὴν τελευτὴν Λέοντος τοῦ ἀνδρὸς αὐτῆς καὶ φυγὴν Ζήνωνος τοῦ γαμβροῦ αὐτῆς, ὅτε Βασιλίσκον ἔστεψε τὸν ἀδελφὸν αὐτῆς κράζοντος τοῦ Πρασίνου μέρους· 'Βερίνης ὀρθοδόξου Ἑλένης πολλὰ τὰ ἔτη'· ἦν γὰρ ὀρθόδοξος πάνυ.*

**30.** *Εὐφημίας ⟨γυναικὸς⟩ Ἰουστίνου τοῦ Θρᾳκὸς ἐν τοῖς Ὀλυβρίου πλησίον τῆς ἁγίας Εὐφημίας, ἥτις ἐκκλησία ὑπ' αὐτῆς ἐκτίσθη, στήλη ἐν ἀναβάσει μικρὰ πάνυ χρυσέμβαφος ὑπάρχουσα.*

**31.** *Εὐδοξίας γυναικὸς Ἀρκαδίου μεγάλη πάνυ καὶ Πουλχερίας θυγατρὸς αὐτῆς καὶ ἑτέρων δύο θυγατέρων αὐτῆς, ἀμφοτέρων ἀργυραῖ· ἔτι τῆς αὐτῆς Εὐδοξίας ἐν κίονι χαλκῇ καὶ ἑτέρα ἐν τοῖς Αὐγουστείοις, δι' ἣν ὁ Χρυσόστομος ἐσκευάσθη.*

---

§ 29 l. 3—10: Treu p. 12, 26 sqq. (Suid. s. v. *Βηρίνα*): *Βηρίνης τῆς γυναικὸς τοῦ μεγ. Λ. δύο στῆλαί εἰσι· μία μὲν βορειοτέρα τοῦ ἁ. Ἀγαθ. μετὰ τὴν ἄνοδον τῶν ἀναβαθμῶν· ἑτέρα δὲ κατὰ τὸ μέρος τῆς ἁ. Βαρβ.· καὶ ἡ μὲν τοῦ ἁ. Ἀγαθ. γέγονε ζῶντος Λέοντος, τῆς δὲ ἁ. Βαρβ. μετὰ τελευτὴν αὐτοῦ, ἡνίκα Βασ. τὸν ἀδ. αὐτῆς ἔστεψε φυγόντος Ζήνωνος τοῦ γαμβροῦ αὐτῆς.* Inde Codin. II 25 (p. 33, 1 B)  § 30 Treu p. 13, 1 (Suid. s. v. *Εὐφημία*): in brevius coactum; inde Codin. II 26 (p. 33, 8 B)

---

1 *ἔτι* = item  *συντομία* = *ἱστορία σύντομος*? Exspectamus ⟨*στῆλαι*⟩ *ἐν συντόμῳ γυναικῶν*  3 *βερήνας* P 4 Post *κίονι* sive subaudias sive addas ⟨*στήλη ἐστὶ*⟩, cf. § 31  9 in voce *βασιλίσκον* P extremam litteram ex *σ* mutavit 10 *βερῖνας* P  12 *γυναικὸς* om. P  19 *αὐγουστίοις* P (*αὐγουσταίοις* Comb., *ἐν τῷ αὐγουστείῳ* Lamb.) Basis cum titulo huius statuae etiam exstat (CIG IV 8614)  20 *ἐσκευάσθη*] in-

**32.** Ἀρκαδίας γυναικὸς Ζήνωνος τῆς δευτέρας ἐν τοῖς πλησίον μέρεσιν τῶν βάθρων τῶν λεγομένων Τόπων ἐν τοῖς τοῦ ἁγίου Ἀρχιστρατήγου· ἔνθα Ζήνων ἔκρινε τοὺς μετὰ Βασιλίσκου καὶ σέκρητον τὸν τόπον πεποίηκεν. Ἔτι τῆς πρώτης αὐτοῦ γυναικὸς Ἀρεάδνης μετὰ καὶ αὐτοῦ Ζήνωνος ἐν τῇ βασιλικῇ πύλῃ.

**33.** Ἐν αὐτῇ τῇ Χαλκῇ πλησίον ἄνωθεν Πουλχερίας τῆς ἀοιδίμου, ὡς ἐν τῷ Περιπάτῳ ἐν τῷ παλατίῳ ἐμπρὸς ὑπάρχοντι.

**34.** Ἄνωθεν τῆς Χαλκῆς ἐν τῷ Μιλίῳ τῷ πρὸς ἀνατολὴν Κωνσταντίνου καὶ Ἑλένης ἄνωθεν τῆς καμάρας· ἔνθα καὶ σταυρὸς ⟨καὶ ἡ Τύχη⟩ μέσον τοῦ σταυροῦ τῆς πόλεως.

**35.** Ἐν τῷ αὐτῷ Μιλίῳ Σοφίας τῆς γυναικὸς Ἰουστίνου τοῦ μετὰ τὸν μέγιστον Ἰουστινιανὸν καὶ Ἀραβίας θυγατρὸς αὐτῆς καὶ Ἑλένης ἀνεψιᾶς Σοφίας εὐμορφοτάτης πάνυ κεχρυσωμένη.

**35a.** Ἀρκαδίου καὶ Θεοδοσίου υἱοῦ αὐτοῦ ἐν τοῖς πλησίον Θεοδοσίου στήλης τοῦ πατρός, ἀμφότεραι ἔφιπποι· ὅτε

---

§ 32 Treu p. 13, 4 περὶ τῆς Ἀρκαδίας εἰς Ἀρκαδιανάς (Suid. s. v. Ἀρκαδία); inde Codin. II 27 (p. 33, 10 B) § 33 Treu p. 13, 10 (Suid. s. v. Πουλχερία); inde Cod. II 28 (p. 34, 1 B)
§ 34 Treu p. 13, 14 (Suid. s. v. Μίλιον): ἐν τῇ καμάρᾳ τοῦ μιλίου στῆλαι Κωνστ. καὶ Ἑλένης· ἔνθα κτλ.; inde Cod. II 29 (p. 35, 3 B) § 35 Treu p. 13, 17 (Suid. s. v. Μίλιον): paucis discrepant, v. infra; inde Codin. II 30 (p. 35, 11 B)
§ 35a l. 1 et 2 Treu p. 13, 20 (Suid. s. v. Μίλιον); inde Cod. II 38 (p. 38, 10 B)

---

sidiis vexatus est; cf. Cramer Anecd. II 110, 94, Ps.-Polyd. p. 166 et 170 Bianc.; eodem sensu usurpatur συσκευάζειν ab Malala; σκευή = insidiae Theophan. 4 βασιλίσκον P (cf. p. 26, 6) 8 ὡς πρὸς τὸν περίπατον τὸν ἐν τῷ παλατίῳ Tr., πλησίον τοῦ παλατίου ὡς πρὸς τὸν περίπατον Suid. 12 ante μέσον in P est rasura 7—8 litterarum; supplevi ex Tr. ('καὶ ἡ τύχη τῆς πόλεως μέσον τοῦ σταυροῦ') 18 στήλη P (πλησίον τῆς στήλης Θεοδ. τοῦ μεγ. Tr.) ἐφ' ἵπποις P Treu; corr. ex Suid., cf. § 19. 80

*καὶ σιτηρέσια ἐδόθη πολλά, ἐξαιρέτως δὲ τῷ Πρασίνῳ μέρει κράζοντος τοῦ δήμου· ‘Ὁ γόνος Θεοδοσίου Κωνσταντῖνον ἐνίκησεν’.*

**36.** *Ἐν τῷ παλατίῳ τῷ τριβουναλίῳ Εὐδοκίας γυναικὸς Θεοδοσίου, τοῦ ἔγγονος Θεοδοσίου, Μαρκιανοῦ τε καὶ Κωνσταντίνου· ἔνθα καὶ ὀρχήσεις πλεῖσται ἕως Ἡρακλείου τοῦ τε Πρασίνου καὶ Βενέτου μέρους γεγόνασιν.*

*Περὶ θεαμάτων.* B(ekker p.) 166

**37.** *Θέαμα α'. Τὸ ἐν τῇ Βασιλικῇ † σειρᾷ τῇ χρυσορόφῳ ἀνδρείκελον ἄγαλμα ὑπάρχον χρυσέμβαφον (ἔνθα τὸ*

---

§ 36 Treu p. 13, 23 (Suid. s. v. *στήλη*): paucis discrepant, v. infra; inde Cod. II 32 (p. 36, 12 B) § 37 l. 9—p. 41, 13: Treu p. 13, 28 sqq. (Suid. s. v. *Βασιλική*) non paucis discrepans: *Τῷ* (an *Ἐν τῷ*?) *ἐν τῇ Βασιλικῇ χρυσορόφῳ ὀπίσω τοῦ Μιλίου ἦν ἀνδροείκελον ἄγ. χρυσέμβαφον· ἔνθα ἦν τὸ ἔξαμμον* (*ἕως* add. Suid.) *Ἡρακλείου τοῦ βασ.· καὶ γονυκλινὲς Ἰουστινιανοῦ τοῦ τυράννου· ἐκεῖ ὁ Τέρβ. ἐδημηγόρησεν. Ἐν οἷς ἐλέφας ἵστατο παμμεγέθης, ὑπὸ Σευήρου κατεσκευασμένος. Ὅρος δὲ ἦν πρὸ τοῦ μέρους τῶν ἀναβαθμῶν, ἔνθα καὶ σχολὴ φυλ. ὑπῆρχεν* (*σχολὴ φυλ. πολλή·* Suid.) *ἔμενε δὲ ἐκεῖσε ἀργυροκόπος ἐν πλαστοῖς ζυγοῖς τὴν πρᾶσιν ποιούμενος. Καὶ τοῦ οἰκήματος αὐτοῦ πορθουμένου ἠπείλει τῷ τὸν ἐλ. φυλάττοντι θάνατον, εἰ μὴ τοῦτο κρατήσει. Ὁ δὲ θηροκόμος οὐκ ἐνεδίδου. Ὃν φονεύσας ὁ ζυγοπλ. δέδωκε βορὰν τῷ ἐλέφαντι. Τὸ δὲ θηρίον ἀτιθ. ὃν καὶ αὐτὸν ἀνεῖλε. Καὶ ὁ Σευῆρος ἀκούσας τῷ θηρίῳ θυσίας ἤνεγκεν. Ἐν αὐτῷ δὲ τῷ τόπῳ παρευθὺ καὶ ἀνετυπώθησαν τό τε θηρίον καὶ ὁ θηροκόμος. Ἔνθα καὶ*

---

1 an *ἐδόθησαν* secundum consuetudinem auctoris? *πρασίνων* P 2 *ἔγγονος* Comb. *Κωνσταντίνου* P 4 *ἐν τῷ τριβουναλίῳ τοῦ παλατίου* Tr. Suid.; sed cf. § 15 *ἐν τῷ Φόρῳ τῷ δεξιῷ μέρει*, § 44b, 48, 54 5 *τοῦ ἐγγόνος* P (*ἐγγόνου* edd., sed cf. de Boor ind. Theophan.), om. Tr. et Suid., qui eius loco *καὶ αὐτοῦ* praebent, ut quattuor statuae sint 6 *πλείσταις* P 9 *σειρᾷ τῆς χρυσορόφου* P, *κινστέρνῃ τῇ χρυσορόφῳ* Lamb., *τῇ χρυσορ.* (*σειρᾷ* secl.) Comb., cf. p. 40, 6 et 14. An *ἐν τῇ βασ. στοᾷ τῇ χρυσορ.*? (cf. Procop. hist. arc. 14 p. 90, 3 Bonn. et infra p. 40, 16) 10 *ἀνδρείκελον*] § 64 *ἀνδροείκελον*

ἔξαμον Ἡρακλείου τοῦ βασιλέως κατεσκευάσθη), τὸ γονυκλινὲς, Ἰουστινιανοῦ ἐστὶ κατὰ τὸ δεύτερον ⟨αὐ⟩τοῦ τὴν Κωνσταντινούπολιν τυραννήσαντος, καὶ πλησίον αὐτοῦ τῆς γυναικὸς αὐτοῦ, ἀδελφῆς Ἰβουζήρου Γλιαβάνου, μετὰ τὴν ἧτταν Τι- B 167 βερίου τοῦ Ἀψιμάρου· ὅτε καὶ | Φιλιππικὸς ἐν αὐτῷ τῷ τόπῳ τῆς χρυσορόφου Βασιλικῆς ἀπεδοκιμάσθη, Τερβέλι τοῦ Βουλγαρίας ἐκεῖσε πολλάκις καθίσαντος καὶ Γλιαβάνου Χαζάρι· πάκτα οὖν οὐκ ὀλίγα ἐκεῖσε ἐδόθησαν, ἔνθα αὐτοῦ τοῦ τυράννου καὶ τῆς γυναικὸς τὰ ἀγάλματα. Ἐν οἷς ἐλέφας ἵσταται παμμεγέθης· ὡς οἱ θηριοδεῖκται ἡμῖν ἐβεβαίωσαν, μὴ γίνεσθαι ἐπάνω αὐτοῦ τὸ μέγεθος τῶν ἐλεφάντων, τῶν δὲ μεγάλων ἕως οὕτως. Οὗτος ὁ ἐλέφας ὑπὸ Σευήρου τοῦ Κάρου Ἕλληνος ἐτυπώθη θέαμά τι κατὰ τὴν παράδοσιν. Ἐν γὰρ τῇ αὐτῇ χρυσορόφῳ Βασιλικῇ τὸν ἐλέφαντα παραμένειν εἰς θέαμα ἐξαίσιον· ὅρον γὰρ εἶναι πρὸ τοῦ μέρους τῶν ἀναβαθμῶν τῶν οβ′ ἔλεγον· ἔνθα καὶ σχολὴ φυλαττόντων πολλή. Ἐν αὐτῷ δέ φασι τῷ ἐλέφαντι παραμένειν τῷ τόπῳ ἐκείνῳ Καρκινήλου ἀργυροκόπου ἐν πλαστοῖς ζυγοῖς·

Ἡρ. ἐλατρεύθη πολλὰς θυσίας σεξάμενος, ὃς ἐν τῷ Ἱπποδρομίῳ μετετέθη. Ἐπὶ δὲ Ἰουλιανοῦ ὑπατικοῦ ἀπὸ Ῥώμης ἦλθεν ἐπὶ τὸ Βυζάντιον καὶ εἰσήχθη ἐν ἀπήνῃ καὶ νηὶ καὶ στηλῶν (sic) ι′. Inde Codin. II 41 (p. 39, 5 B)

1 ἔξαμμον Tr., cf. p. 28, 13 ἕως Ἡρακλείου Suid. (cf. supra p. 39, 6) 2 κατὰ] μετὰ P, τοῦ κατὰ τὸ δεύτερον τὴν κτλ. Comb. τοῦ P, corrigebam 4 ἠβουζήρου γλιαβάνου P (v. l. 7), Βουσήρου vel Βουζήρου edd. (nomen Βουζηνός anno 1401 occurrit in Actis et Diplom. ed. Müller et Miklosich II 493) 5 τοῦ] υἱοῦ P, corr. Lamb. 6 τερβελὶ P, correxi 7 πλιαβάρου P 9 ἐλέφαος P 10 θηριοδίκται P (θηριοδέκται edd.); cf. Du Cange gloss. lat. s. v., C. Gl. Lat. III 272, 5: 'θηριοδήκτης marsus' 12 σεβήρου P 13 καροῦ P, cf. § 57 θεάματι P, corr. Lamb.; an ⟨εἰς⟩ θέαμά τι coll. p. 41, 11? 15 φόρον Comb. προτου P, πρώτου Lamb. et Comb., πρὸς τοῦ Band., cf. Treu 17 πολλὴ] πόλιν Lamb. Ἐν αὐτῷ δὲ κτλ.] eodem loco atque elephantus 18 καρκινήλω ἀργυροκόπω P, correxi coll. Tr. πλατῦς P

*ὥστε ⟨τῷ⟩ διατρέφοντι τὸν ἐλέφαντα, φασίν, ⟨θάνατον⟩ ἀπειλεῖν, ὅτι κατεπορθεῖτο τούτου τὸ οἴκημα· καὶ πολλάκις διαβεβαιωσαμένου θάνατον τῷ θηριοτρόφῳ, εἰ μὴ τοῦτον κρατήσει· αὐτὸς δὲ διὰ † τὰς βαγύλας ἐλαιοφόρους κρατῆσαι οὐκ ἐνεδίδου· ὃν καὶ φονεύσας ὁ αὐτὸς ζυγοπλάστης τῷ ἐλέφαντι εἰς βρῶσιν προέθηκε· τοῦ δὲ θηρίου ἀτιθάσου ὄντος, καὶ αὐτὸν ἐξανήλωσεν. Ὃ καὶ Σευῆρος ἀκούσας θυσίας τῷ θηρίῳ οὐκ ὀλίγας προςήνεγκεν. Ἐν αὐτῷ γὰρ τῷ τόπῳ παρευθὺ καὶ ἀπετυπώθησαν. Ἔνθα καὶ Ἡρακλῆς ἐλατρεύθη παμπόλλας θυσίας δεξάμενος· καὶ ἐν τῷ Ἱπποδρομίῳ μετετέθη εἰς θέαμά τι μέγιστον· τὸ δὲ πρότερον ἀπὸ | Ῥώμης* B 168 *ἐπὶ Ἰουλιανοῦ ὑπατικοῦ ἐπὶ τὸ Βυζάντιον εἰςήχθη μετὰ καρούχας καὶ νηὸς καὶ στηλῶν δώδεκα. Αὕτη φησὶν ἡ ἱστορία τοῦ θεάματος Σευήρου ἡ ξένη γέγονεν ἐπὶ Ἀνθίμου ὑπάτου· οὗτινος τὰ Ἀνθίμου κατὰ τὴν κέλευσιν Νουζαμήτου ὑπάρχου, τοῦ ἀπὸ Περσῶν, ἀντὶ πάκτων ἐχρηματίσθησαν, ἐν ταῖς ἡμέραις Βύζα καὶ Ἄντη· ὃ καὶ ἕως τῆς σήμερον τοῖς φιλοσοφοῦσιν ἐν πείρᾳ προτέθειται θέαμα.*

**38.** *Θέαμα β΄. Τοῦ ἐν τῷ ὠρέῳ Μιλίῳ Ἡλίου.* *Ἐν τῷ ὠρέῳ Μιλίῳ Ἡλίου Διὸς ἅρμα ἐν τέτρασιν ἵπποις*

---

§ 38 Treu p. 14, 15 sqq. (Suid. s. v. *Μίλιον*): *Ὅτι ἅρμα ἡλίου ἐν δ΄ ἵπποις πυρ. ἱστάμενον* (*ἱπτάμενον* Suid.) *παρὰ δύο στ. ἐκ παλ. τῶν χρ. ὑπῆρχεν ἐν τῷ ὡραίῳ μιλίῳ· ἔνθα εὐφη-*

---

1 *τῷ* suppl. Lamb. *τῷ ἐλέφαντι* P ⟨*θάνατον*⟩ suppl. ex Anon. Treu 2 *ὅτε?* *κατεπορθήτω* P (*καὶ ἐπορθεῖτο* Comb.) 3 *τοῦτο* P Tr. 4 *διὰ τοὺς βαιούλους ἐλαιοφόρους* Lamb. (qui conf.); locum non expedio (*ἐν λεωφόροις?*) 7 *σεβῆρος* P 13 *ταύτη* P *φασὶν* edd., sed cf. Malal. ind. s. v. *φημὶ* et § 68 15 *ἀνθιμίου* (*ἀνθίμου* l. 14) P. Dubium utrum Anthimus an Anthemius nominatus sit consul ille ficticius.
16 Post *ὑπάρχου* addunt edd. '*τῆς πόλεως*' nullo nixi testimonio 17 *ἀντί* P. Byzas et Antes (cf. infra p. 42, 3 et 48, 5) heroes ex nomine urbis *Βυζ-άντιον* ficti *ὃν* P 18 *προτέθηνται* P 20 *τῶν ἐν τῶ ὠρέω* (paulo post *ὡραίω* P) *μιλίω ἡλία* P, corr. Lamb.

*πυρίνοις, ἱπτάμενον παρὰ δύο στηλῶν, ἐκ παλαιῶν χρόνων ὑπάρχον· ἔνθα Κωνσταντῖνος ὁ μέγας εὐφημίσθη μετὰ τὸ νικῆσαι Ἀζώτιον καὶ Βύζαν καὶ Ἄντην, κράζοντος τοῦ Βενέτου μέρους*

*ʽεἶλες παλίνορσον ἱμάσθλην,*
*ὡς δὲ δὶς ἡβήσας μαίνεαι ἐν σταδίῳ᾽,*

*τοῦ δὲ Πρασίνου μέρους λέγοντος ʽοὐ χρήζομέν σε, λωβέ· οἱ θεοὶ ἀνώτεροι αὐτοῦ εἶλον᾽· τοῦ δὲ Ἡλίου ἅρματος κατενεχθέντος ἐν τῷ Ἱπποδρομίῳ, δορυφορούμενον εἰςῄει στηλίδιον καινόν, παρὰ Κωνσταντίνου κατασκευασθέν, ὑπὸ Ἡλίου φερόμενον, Τύχη πόλεως· ἐν βραβείοις πλείστοις εἰς τὸ στάμα εἰςῄει καὶ ἔλαβεν ἆθλα παρὰ τοῦ βασιλέως Κωνσταντίνου,*
B 169 *καὶ στεφανωθὲν ἐξῄει | καὶ ἐτίθετο ἐν τῷ Σινάτῳ ἕως τῶν ⟨ἐπιόντων⟩ γενεθλίων τῆς πόλεως. Ὑπὸ δὲ Ἰουλιανοῦ διὰ τὸν χαραχθέντα σταυρὸν ἐν αὐτῷ, βοθύνῳ, ὅπου τὰ πλεῖστα θεάματα, καὶ αὐτὸ παρεδόθη. Τοῖς δὲ πίναξιν ἐάν τις ἐρευνήσει ἀκριβῶς τοῦ Φόρου, ἐπὶ πλεῖον θαυμάσοι.*

---

*μίσθη Κωνσταντῖνος μετὰ τὸ νικῆσαι Ἀζώτιον· ἐπειδὴ καὶ Βύζας ἐκεῖσε εὐφημίσθη· κατενεχθὲν δὲ τὸ ἅρμα ἐν τῷ ἱπποδρ., δορυφορ. στηλ. καινὸν παρὰ Κ. κατασκ. ὑπὸ ἡ. φερ., Τύχη πόλεως εἰς τὸ στάμα εἰςῄει καὶ στεφανωθὲν ἐξῄει· ἐτίθετο δὲ ἐν τῷ σεν. ἕως τῶν ἐπιόντων γεν. τῆς π.· διότι δὲ ἐπὶ κεφαλῆς αὐτοῦ σταυρὸν ἐχάραξεν Κωνσταντῖνος, Ἰουλιανὸς αὐτὸ βοθύνῳ κατέχωσεν.* Inde Codin. II 42 (p. 40, 1 B)

---

1 *ἱπτάμενον* P et Suid., *ἱστάμενον* Treu; neutrum placet, exspectamus *βασταζόμενον* (cf. p. 26, 9) 2 *ὑπάρχων* P *μετὰ τῶν ἐκεῖσε* P 5 sq. Anthol. Pal. XV 44, 5: *δήμου μὲν βοόωντος εἶλες κτλ.* Est epigramma monumenti positi in honorem Porphyrii aurigae; quod monumentum inferioris aetatis fabulatores ad Constantini Magni victoriam rettulisse videntur *παλίνορσον καὶ ἱμάσθλην* P 6 *μαίνε* P *σταδίοις* Anth. 8 *αὐτοῦ εἶλεν* P, *αὐτοὺς εἶλον?* 11 *βραβεῖον* ʽinsigne honoris᾽ Reiske ind. Const. Porphyr. de caer. 13 *σηνάτω* P 14 *ἐπιόντων* om P 15 *βυθίνω* P

**39.** *Θέαμα γʹ. Τῶν ἐν τῷ Φόρῳ. Βαλμασὰ κεντυρίων φίλος εἰδώλων πάνυ κατέαξε τὸ εἴλημα τοῦ † πύρου ὡρολογίου, θέας χάριν, ὡς ἔλεγεν· ὡς δὲ ἐν τῷ δοκεῖν μᾶλλον, ἕνεκα τοῦ κλέμματος· καὶ τοῦτο ποιήσαντος, ἔκλεψε τὸ Παλλάδος εἴδωλον ἀργυροῦν. Καὶ τὰ βαλάντια Ἀσκληπιοδώρου εὑρέθησαν τῶν τριῶν λιτρῶν καὶ ἡ κορωνὶς Κλεοπάτρης, κατασκευασθεῖσα σμαράγδινος πάνυ ἀλάβαστρος. Τοῦτο γνοὺς ὁ βασιλεὺς Κωνσταντῖνος τῷ αὐτῷ κεντυρίωνι Βαλμασὰ ἐπετίμησεν ἄξιον θανάτου. Τοῦ δὲ ἀναισχυντοῦντος καὶ θεοὺς ἐπικαλουμένου, ἀπετμήθη εἰς ἓν τῶν σκαλίων τοῦ αὐτοῦ Φόρου, ἔνθα τὰ ἄριστα τὰ πρῶτα ὑπῆρχον. Τὸ δὲ ἐν τῇ δευτέρᾳ καμάρᾳ γεγονὸς ἄθεσμον οὐ σιωπήσωμεν· τὸ τοῦ μοιχοῦ Μαξεντίου εἴδωλον ἐκεῖσε προσεκυνεῖτο λατρευόμενον, καὶ τοῖς πολλοῖς εἰδωλολάτραις ἀγνοούμενον θεὸς ἱππόσυνος ἐλατρεύετο· διὸ Κωνσταντῖνος αὐτὸ μὲν κατέβαλε, τοὺς δὲ τοῦτο τολμήσαντας ξίφει ἀπεκεφάλισεν. Ἔνθα καὶ Ἄρειος μετὰ ταῦτα τὸν μιαρὸν θάνατον ὑπέστη, χείρονα Ἑλλήνων βλασφημῆσαι ἀποτολμήσας ὁ δείλαιος | μετὰ λιτῆς* B 170 *καὶ τιμῆς ὁ ἄθλιος τὸν θρόνον Κωνσταντινουπόλεως βασι-*

---

§ 39 Exiguam partem (l. 16 sqq.) exhibet Anon. Treu p. 14, 26 sqq.: *Ἔνθα Ἄρειος τὸν αἴσχιστον ὑπέστη θάνατον· ἀπὸ τῆς καμάρας ὡσεὶ κθʹ παλαιστὰς ἐτυπώθη ὑπὸ τοῦ θεοφιλοῦς Θεοδοσίου Ἄρειος ἐν μαρμάρῳ (μαρμαρίνῳ?) ἀναγλύφῳ γειτνιῶντι τῇ γῇ καὶ σὺν τῇ τοῦ Ἀρείου τοῦ Σ. Μ. Εὐ. πρὸς αἰσχύνην αὐτῶν, ὡς ἂν οἱ παρερχόμενοι κόπρον καὶ οὖρα καὶ ἐμπτύσματα ἐπιρρίπτωσιν αὐτοῖς.* Inde Codin. II 43 (p. 40, 10 B)

---

2 *φόρου* Lamb., an *πύργου τοῦ*? 4 *ἕνεκα*] Lamb., *ἕως* P *ποιήσας* Lamb. 5 *παλάδης* P, corr. Lamb. 6 *ἡ κορωνὶ εκλεοπάτρις* P, corr. Lamb. *Κλεοπ.*] Cleopatra regina in alchymistarum numero erat; v. Berthelot Coll. des anc. alch. II ind. 7 *σμαρ. πάνυ ⟨καὶ⟩ ἀλαβάστρινος*? 8 *τὸν αὐτὸν κεντυρίωνα* Lamb. 12 *σιωπήσομεν* edd. 14 sq. non sanus locus esse videtur; an *ἀγνοούμενος* = *ἄγνωστος*? (Maxentii statua ut ignotus deus eques colebatur?) 16 sq. *τοῦ τολμήσαντας* P 17 *μορὸν* P, corr. Lamb. 18 *ἀποτολμήσαι* P

*λικῇ χειρὶ καθαρπάσαι βουλόμενος. Ἀλλ' οὐκ Ἀλέξανδρος ὁ πολὺς ἐν θεογνωσίᾳ τοῦτο παρεσ . . . . . ἕως τῷ ὀλεθρίῳ θανάτῳ τοῦτον παρέδωκεν. Ἐν αὐτῷ οὖν τῷ τόπῳ τῷ ἀπὸ τῆς καμάρας ἕως κθ' παλαιστὰς ἔχοντι ἐπὶ θεοφιλοῦς Θεοδοσίου ἀπετυπώθη Ἄρειος ἐν μαρμάρῳ συγγειτνιῶντι τῇ γῇ, καὶ σὺν αὐτῷ Σαβέλλιος, Μακεδόνιος, Εὐνόμιος, πρὸς αἰσχύνην τοῖς διερχομένοις † σφετερίζειν τούτοις καὶ κόπρους καὶ οὖρα καὶ ἐμπτύσματα καὶ ἀτιμίαις ὀνειδίζεσθαι τοὺς τὸν τοῦ θεοῦ υἱὸν ἀτιμάσαντας. Ἅτινα καὶ καθορῶνται σῶα ἕως τῆς σήμερον τοῖς τὰ γεγραμμένα παρ' ἡμῶν μετὰ φιλοσοφίας καὶ πόνου διερευνῶσιν.*

**40.** *Θέαμα δ', τὸ ἐν τοῖς Ἀρτοπωλίοις † πύροις ὑπάρχον. Κυνάριον ἀπὸ μαρμάρου, οὔθατα πλεῖστα † ἐν τῇ νεμέσει περιφέρον ὡσεὶ κ' [ουθ' μυρμήκοι] † λατρεύειν . . . χείρουν, τοῖς θεωρεῖν κατὰ πᾶν ἐθέλουσιν τοῖς πᾶσι*

§ 40 l. 12—p. 45, 5 et p. 45, 10 sqq. = Treu p. 15, 1 sqq.: *Ἐν τοῖς Ἀρτοπωλίοις κυνάριόν ἐστιν, οὔθατα ἕως τῶν κ̄ φέρον· ταῶνες δὲ καὶ ἀετοὶ καὶ λέαιναι λαγωοί τε καὶ κριῶν κάραι καὶ στρουθῶν καὶ κορωνῶν καὶ τρυγόνος μιᾶς καὶ γαλέας καὶ δαμά-*

1 *καταρπάσαι* P 2 in P lacuna 5—6 litterarum, *παρέσχεν* Lamb., exspectamus *παρέβλεψεν*, *παρεχώρησεν* simile 3 *τοῦτο* P 4 *ἕως*] cf. § 59 *ἕως λ' (στήλας)*, Treu p. 15, 2 *ἔχων* P 7 *⟨ὥστε⟩ τοὺς διερχ. ἐφεδρίζειν τούτοις καὶ κόπρῳ καὶ οὔρῳ καὶ ἐμπτύσματι* Lamb.; an *τοὺς διερχομένους ἐπιρριπίζειν* (cf. Tr.) *τούτοις καὶ κόπρους κτλ.*? *κόπροις* P 12 *ἀρτοπωλέοις πύροις* P, an *πυροῖς*? (*πυροὶ* = horreum triticarium?) cf. p. 45, 6; *φόροις* Comb. 13 *κιονάριον* Lamb. qui statuam Naturae innumeris mammis et animalium capitibus circumdatam esse putat *ἀφ' μαρμάρου* P *ἐν τῇ νεμέσει* P, non expedio (*ἐν . . μέσῃ*?). 14 *ὡς εἰκουθ' μυρμήκοι λατρεύειν . . . χείρουν* P (ante *χείρουν* lacuna trium litterarum); *ὡσεὶ μυρμήκια* (verrucas), *λατρεύειν ἐπιχειροῦν* vel *ὡσεὶ τέκνοις μυρίοις δαιτρεύειν ἐπιχειροῦν* Lamb. Initio certe legendum coll. Tr.: *ὡσεὶ κ'*; *ουθ' μυρμήκοι* glossa esse videtur ad *οὔθατα* ex margine in textum transposita (*οὔθατα μυρμήκια*). Reliqua non expedio (⟨ὃ⟩ *λατρεύειν ἐπεχείρουν*?) Neque quae sequuntur verba mendo carere videntur

*προέκειτο· ταοῦ δὲ καὶ ἀετοῦ καὶ λεαίνης λαγωοῦ τε καὶ κριῶν κάραι, καὶ στρουθῶν καὶ κορωνῶν καὶ τρυγόνος μιᾶς καὶ γαλέας καὶ δαμαλίδες † ἐμαοῦσαι καὶ Γοργονίδες δύο, ἀμφότεραι ἐκ δεξιῶν καὶ ἐξ εὐωνύμων, ἡ μία τῇ ἑτέρᾳ κατ' ὄψιν βλέπουσα, ἀπὸ μαρμάρων ἀναγεγλυμμέναι † τὰ φυραθέντα κάτω τῶν αὐτῶν † πυρῶν ἤτοι Ἀρτοπωλίων θέας τοὔνεκεν, Κωνσταντίνου δρᾶμα. Ἀλλὰ καὶ Βούλγαρος ὑπὲρ | βοὸς † κατάραος ὑπάρχων, ὡς τῇ γῇ διορύττειν ἐθέλων,* B 171 *τοῖς ὁρῶσι θέαμά τι μέγιστον. Διέκειτο δὲ τοῦτο ἕως ⟨ἐ⟩τῶν πολλῶν καὶ μέχρι Ζήνωνος ἀρκέσαι τὴν ἱστορίαν. Γαληνὸς δέ τις ἰατρὸς καὶ φιλόσοφος ὑπάρχων, ὡς αὐτὸς ἐδίδαξεν ἀπὸ χρονογράφων, ⟨ἐκεῖσε⟩ περαιωθεὶς ἐβεβαιώθη τὰς Γοργονίδας τὰς μαρμαρίνους, ἅτε τὴν μίαν ἐκ δεξιῶν, ἅτε δὲ καὶ τὴν ἐξ εὐωνύμων, ἱερογλυφικά τινα καὶ ἀστρονομικὰ ἐχίδνια συλλαβούσας, τῶν βασιλέων γράφειν τὰς ἱστορίας,*

---

*λεως καὶ γοργόνες δύο, μία ἐκ δεξιῶν καὶ ἡ ἑτέρα ἐξ εὐωνύμων, ἡ μία τῇ ἑτέρᾳ κατόψιν βλεπόμεναι, ἀπὸ μαρμάρων γεγλυμμέναι· ἵσταντο μέχρι Ζήνωνος. Γαληνὸς δέ τις, ἰατρὸς καὶ φιλ. ὑπ., ἐκεῖσε περαιωθεὶς τὰς Γοργόνας ἔλεγεν ἱερογλ. καὶ ἀστρ. ὄντα τῶν βασιλέων γράφειν τὰς ἱστορίας, Κωνστ. τοῦ μεγ. τυπώσαντος· τοῦ δὲ αὐτοῦ Γ. ἐπὶ πλεῖστον συχνάσαντος καὶ τοῖς ἀναγν. προσέχ., τὰ μέλλοντα συμβαίνειν Ζήνωνι παρὰ Βηρίνης καὶ γελάσαντος, Καλλ. τις συρφετὸς τῷ γένει, κάπ. δὲ τῇ τέχνῃ, μετὰ τὴν ἐπάνοδον Ζήνωνος διαβάλλει εἰς αὐτὸν τὸν Γαληνόν· ὁ δὲ Ζήνων τοῦτον ἀνῃρήκει.* Inde Codin. II 46 (p. 41, 14 B)

---

1 *πρόκειτο* P 3 *γάλας* P, *καὶ μυὸς καὶ γαλῆς* Lamb. *ἐμαοῦσαι*] an *ε´ μυκοῦσαι* (= *μυκώμεναι*)? 5 *ἀναγεγλυμμένων* P, corr. Lamb. *τὰ φυραθέντα*] exspectamus *ἀσφαλισθέντα, στοιχειωθέντα* simile 6 *πόρων* Lamb., cf. p. 44, 12 7 *βούλαρος* P, corr. Lamb., cui adversatur Comb., nomen proprium *Βούλαρον* esse ratus 8 *καθαρὸς* Band., an *ὑπὲρ* (*ἐπὶ*?) *βοὸς καὶ ἀρότρου ὑπάρχων*; cf. statuas Reinach Répertoire II 556 *ἐθέλειν* P, correxi 9 *τῶν* P, correxi 15 *συλλαβῶν* P, corr. Comb., i. e. anguibus cinctas, v. indicem s. v. Genera verbi. Erant igitur *βασιλογράφια*, qualia tradunt non-

*Κωνσταντίνου τοῦ μεγάλου τοῦτο ποιήσαντος. ⟨Τοῦ δὲ αὐτοῦ Γαληνοῦ ἐπὶ πλεῖστον συχνάσαντος⟩ καὶ τοῖς ἀναγνώσμασιν τούτου προσέχοντος, τὰ μέλλοντα συμβαίνειν Ζήνωνι παρὰ Βερίνης προσέχων ἐγέλασε. Καλλίστρατος δέ τις, συρφετὸς μὲν τῷ γένει, κάπηλος δὲ τῇ ἀξίᾳ, ἐμβατεύοντι τῇ ἱστορίᾳ τῶν Γοργονίδων Γαληνῷ καὶ μάλιστα συχνῶς μετὰ τὴν ἀνάκαμψιν Ζήνωνος τὴν ἀπὸ Ἰσαυρίας τὸ δεύτερον — φατριασθεὶς ὁ αὐτὸς Γαληνὸς παρὰ τοῦ αὐτοῦ Καλλιστράτου τοσούτους ἐμπαιγμοὺς ἐπ' ἐνιαυτοῦ καὶ βολίδας ὑπέμεινεν, ὥστε μέχρι τέλους [τὸ πέρας] ἐν τῇ αὐτῇ Ἀρτοπωλίων καλενδίᾳ, ἐν αὐτοῖς τοῖς ζῳδιακοῖς τετραπόδοις καὶ πετεινοῖς, σελεντίου ὑπάρχοντος ξίφει ἀποκεφαλισθῆναι, κράξαντος τοῦ Πρασίνου μέρους καὶ τοῦ ὄχλου ʽδικαία ἡ κρίσιςʼ. Ἀριστείδης δὲ φιλόσοφος ἐπέθηκεν ὄνομα τῷ τόπῳ τοιόνδε, ὃ καὶ φαίνεται ἕως τῆς σήμερον, ʽΓαληνοῦ θηρία, ἀδικία † νενομένω Ζήνωνιʼ. Καὶ τυπώσας τὴν γραφίδα ἀπέδρα ἐν Χερσῶνι, καὶ ἐσώθη ἕως τῆς σήμερον.*

B 172 **41.** | *Θέαμα ε'. Τὸ ἐν τοῖς Ἀμαστριανοῦ. Καρακάλλου τοῦ πραιποσίτου θεαμάτιον ἤτοι εἰδωλεῖον τῆς Βυ-*

---

§ 41 Pauca decerpsit Anon. Treu p. 15, 18 sqq.: *Περὶ τοῦ Ἀμαστριανοῦ. Ζεὺς ἥλιος ἐν ἅρματι μαρμαρίνῳ καὶ Ἡρακλῆς ὁ ἀνακείμενος· ἔνθα ποταμὸς ὁ ἀπὸ Λύκου λατρευόμενος· καὶ ἐν αὐτῷ χελῶναι μεσταὶ ὀρνίθων καὶ δράκαιναι ιη'· ἐγίνοντο δὲ ἐκεῖσε δαιμόνων ἐπιστασίαι.* Inde Codin. II 52 (p. 45, 11 B)

---

nulli codd.; cf. Nic. Chon. p. 405, 20 schol., cod. Hierosol. Sabbait. n. 422 (*βασιλογράφιν*), Neues Archiv der Gesellschaft für ältere deutsche Gesch. XV (1890) 155 sqq. (Vasilographus) 3 *τοῦτο* P, corr. Lamb. 4 *βερήνης* P 5 fortasse inserendum ⟨*ἐπιβουλεύει*⟩ *ἐμβατεύοντι κτλ.* 7 Et *φρατριάζειν* et *φατριάζειν* (= insidiari) Byzantinis in usu est 10 *τὸ πέρας* seclusi *ἀρτοπωλίω* (sic P) *καλενδίᾳ*] sanumne sit dubito. Cf. ʽcalenda: locus ubi territorium aliquod incipitʼ Du Cange Favre s. v. (saec. XIII) 11 *Σελεντίου ὑπ' ἄρχοντος* edd. 14 *τοιῶδε* P, correxi 15 *νεμομένη* Comb., *νενοημένη*? 17 *ἐσώθη*] sc. *ἡ γραφίς* 19 *θεμάτιον*? cf. p. 32, 9 et 35, 2

*ζαντίων πόλεως πρωτεῦον ἀπὸ Τραιανοῦ, ⟨ὡς⟩ Μεκᾶς καὶ Γλαῦκος· ἐξ ὧν Θεόδωρος χρονογράφος ἀναρρωσθεὶς ἀναγνώσμασιν. Ζεὺς Ἥλιος ἐν αὐτῷ τῷ τόπῳ ἐν ἅρματι μαρμαρενδέτῳ· † Διὸς σκυταλίδης, Ἀριστείδης, Ἡρακλῆς ὁ ἀνακείμενος, ἡνίοχος θεῶν ἐπιγράφων ‘Ἀπόλλων παγκρατής’. Ἔνθα ὁ ποταμὸς † ὁ κύτλου, ἀέτιος ὁ ἀπὸ Λύκου [μυκο]λατρευόμενος· ἐν αὐτῷ χελῶναι μεσταὶ ὀρνίθων· ἐν αὐταῖς δράκαιναι ιη′, Κουκοβύτιος φιλόσοφος εἰδώλων πρωτοστάτης καὶ θύτης γυναικὸς καὶ δύο τέκνων, μητρὸς Ἀγλαΐδης καὶ ἀδελφῆς Γραφεντίας. Ἐν αὐτῷ τῷ τόπῳ δαιμόνων ἐπιστασίαι καὶ πτώσεις, ἅτε βασιλέων, ⟨ἐγίνοντο⟩ τοῖς φιλοσοφοῦσι· μάλιστα ἐὰν πόρνοι εἶεν τῇ γλώττῃ ἢ τῇ σπορᾷ οἱ βασιλεῖς ὀλέθριοι. Διὰ τοῦτο τῷ γυμνῷ προσεχέτωσαν ζωδίῳ, καὶ σιδηρέαν βοτάνην σὺν κοχλίδι περιξέσαντες καὶ τοῖς μυκτῆρσιν ὀπτήσαντες † γαλουχεῖτε τοῖς φίλοις τοῦ ἄνακτος· † καὶ ἣν γνωστὰ ἐκ τούτων ἴσως θέλεται εἰς αὐτοὺς γενέ-*

---

1 *προτεύων* P, *προτερεῦον* Comb.; corrigebam *ὡς* dubitanter supplevi 2 *ἀναρρωσθεὶς*] *ἀναγνωρισθεὶς* Comb., *ἀναρρηθεὶς* E. Kurtz (nomen ducens ex . .) 3 *μαρμαρενθέτω* P, correxi, cf. Anon. post Leon. Gramm. 348, 2 *ἁμάξας σιδηρενδέτας*; *χρυσόδετος* et *χρυσένδετος* (Pauly-Wissowa s. v.). Etiam *μαρμαρενδύτω* licet scribere coll. *λιθένδυτος* p. 50, 22 ubi videsis. *μαρμαρείῳ ἐτέθη* vel *μαρμαρείῳ λευκῷ* Lamb. 4 *Διοσκουρίδης?* *ὁ ἀνακείμενος*] i. e. accubans velut statua musei Chiaramonti 5 *ἐπὶ δίφρων, Ἀπ. παγκρ.?* *παγκρατῆς* P, *παγκρατιαστής* Comb. 6 *Κύτλου* et *Ἀέτιος* pro propriis nominibus accipiunt edd. 7 *μυκο* dittographia interpolatum esse videtur (cf. p. 48, 14). Ad rem cf. Malalas p. 264 8 *Κουκοβύτιος*] *καὶ Ἀκούντιος* edd. nescio unde; fort. *Κουκουβύτιος* scribendum; cf. *Κουκουζέλης* aliaque nomina; de Cobida vel Cubidio (v. Zach. v. Lingenthal Gesch. d. gr.-röm. Rechts p. 11) cogitavit W. Fischer 9 *⟨ἀλλὰ καὶ⟩ μητρὸς κτλ.?* 11 *ἅτε βασιλέων* appositio vocis *δαιμόνων* (Comb.) *ἐγίνοντο* suppl. ex Anon. Tr. 15 *γαλουχεῖται* P, fort. *γαλοῦ* vel *γαλῆς* (sc. *μυκτῆρσιν*) *χεῖτε τοῖς φίλοις* 16 *καθ’ ἣν γνωστὰ ἐκ τούτων ἴσως θέλει τὰ εἰς αὐτοὺς γενέσθαι ὑμῖν?* *ἣν* Comb

*σθαι ὑμῖν. Πολὺς δὲ ἄργυρος καὶ μάλιστα δηναρίων κατέχωσται κάτωθεν, ἅτε δὴ καὶ θησαυρὸς χρυσίου. Ὅτι θέατρον*
B 173 *† ὑπάρχον καὶ τοῖς πολλοῖς βλέπειν ἐν ἡμέρᾳ | Διὸς θυσίας καὶ θαυμάζουσιν· σεισμοῦ δὲ γενομένου ἀποθανεῖν ἐν αὐτῷ τῷ πέλματι ὡς ἐπὶ Βύζα καὶ Ἄντη, πρὶν Κωνσταντῖνος τῇ πόλει † ἀλλὰ τῇ Ῥώμῃ θεὸν γινώσκων ἐφαίνετο. Οἱ δὲ ἵπποι καὶ αἱ κιννύρες Γαλινδουχίου τοῦ δουκός· ἅτινα καθορῶνται ἐν τῷ † πυρὶ Ἀρτεμισίῳ ἕως τῆς δεῦρο. Ὅθεν, Φιλόκαλε, πολλοὺς κόπους διὰ τὴν σὴν ἀρετὴν ὑπομείναντες οὐδὲν ἠγανακτήσαμεν.*

**42.** ⟨*Θέαμα ϛ'.*⟩ *Περὶ τοῦ Βοός. Τὸ δὲ ἐν αὐτῷ τῷ Βοῒ θέαμα τρανῶς σοι ὑποδείξομεν, ὅπερ πλειστάκις δι' ἐπιστολῶν ἡμῖν ἐσήμανας δῆλόν σοι γενέσθαι, ὦ Φιλόκαλε.* ⟨*Ὑπὸ δὲ*⟩ *Οὐαλεντινιανοῦ τοῦ πραιποσίτου Κώνσταντος ἐν τῷ Ἱπποδρομίῳ οἰκοδομηθῆναι γινώσκομεν. Κάμινος δὲ*

---

§ 42 lin. 15—p. 49, 9 = Treu p. 15, 22 sqq.: *Περὶ τοῦ βοός. Κάμινος ἦν ἐκεῖ ἐκτισμένη παμμεγέθης βοὸς ἔχουσα κεφαλήν· ἔνθα οἱ κακοῦργοι ἐτιμωροῦντο· ὅθεν καὶ Ἰουλιανὸς προφάσει τῶν καταδίκων πολλοὺς ἐν αὐτῷ χριστιανοὺς κατέκαυσεν· ἦν δὲ ἡ κάμινος βοὸς τύπος παμμεγεθεστάτου θέαμα, οὗ κατὰ μίμησιν καὶ ἐν τῷ νεωρίῳ βοῦς ἀπετυπώθη· ἦν δὲ ὁ βοῦς ἡ κάμινος ἕως Φωκᾶ, ἀλλ' ὑπὸ Ἡρακλείου ἐχωνεύθη λόγῳ νουμμίων.* Inde Codin. II 53 (p. 46, 1 B)

---

1 *ὑμῖν*] *ὕμνον* Comb. 3 sq. *ὑπάρχων* P. Quae sequuntur, non minus obscura sunt; exspectamus *ὅτι θέατρον ὑπάρχον* (vel *ὑπῆρχεν*) *καὶ τοὺς πολλοὺς βλέπειν .. καὶ θαυμάζειν* *θυσίαις* P 5 *ἄντι* P 6 *ἄλλῃ τῇ Ῥώμῃ* Comb., *τῇ ἄλλῃ Ῥώμῃ?* *θεὸς* P 7 *κιννύρα* vel *κινύρα* musicae instrumentum est; *κιννυρίδες* 'quod Hesychius exponit *τὰ μικρὰ ὀρνιθάρια*' Lamb. *παλινδουχίου* vel *μεγαλινδουχίου Δουκὸς* Comb. (cf. l. l. p. 310); nomen *Γολινδούχ* occurrit in Actis SS. Mai IV 170 B (Theophil. Simoc. 5, 12, 1), 13. Juli III 509 sq. 8 *πυρὶ* P, *πόρῳ* vel *φόρῳ* Comb. *Ἀρτεμισίου* loci nomen alibi quod sciam non traditur; an *Ἀμαστριανῷ* vel *Ἀρτοπωλίῳ?* 11 *θέαμα ϛ'* suppl. Bekker 13 *σήμανας* P 14 *ὑπὸ* suppl. Lamb. *βαλεντινιανοῦ* P *κώνσταντάντος* P

*παμμεγέθης μεγάλη ἕως ἡμῶν διασωθεῖσα, ἔνθα Ἰουλιανὸς ὁ θεοστυγὴς προφάσει τῶν καταδίκων πολλοὺς ἐν αὐτῇ Χριστιανοὺς κατέκαυσε. Ἦν δὲ ἡ κάμινος φέρουσα βοὸς χαλκοῦ παμμεγεθεστάτου θέαμά τι, οὗπερ κατὰ μίμησιν ⟨καὶ βοῦς⟩ ἐν τῷ Νεωρισίῳ λιμένι κατετυπώθη. Τῷ δὲ αὐτῷ βοΐ τῷ χαλκῷ ἕνεκεν καύσεως παρηκολούθησέ τι μῶμον ἕως Φωκᾶ τοῦ ἀναξίου· καὶ μετὰ τὸ καυθῆναι τὸν αὐτὸν Φωκᾶν ὑπὸ Ἡρακλείου χωνευθῆναι τὸν βοῦν εἰς σκουλκαταμεῖον καὶ εἰς τὸν Πόντον περάσαι ἕνεκεν στρατολογίας | (ἦν δὲ τὸ* B 174 *σκουλκάτον ἐν τῷ Πόντῳ) † σταθμῶν τοῦ ἀργυρίου κδʹ διὰ τὸ εἶναι αὐτὸ χυτόν. Ὅπερ καὶ ἐνταῦθα σώζεται ἕως τῆς σήμερον τοῖς ὁρῶσιν εἰς λαιμία χωνευτὰ σκυθρωπὰ πάνυ.*

**43.** *⟨Θέαμα⟩ ζʹ. Ἐκ τοῦ † Μιλίου θεάματος τοῦ † ὀφικίου Διοσκόρου· ἐκ τῶν καθ' ὥραν ἐπὶ Μαυρικίου Αὐγούστου. Ὅτι τὸ Σινάτον τὸ λεγόμενον τοῦ Φόρου οὐδὲν ἄλλο ἐτυμολογεῖται ἢ μόνον Σινάτου οἰκοδομήσαντος τὸ Σινάτον· καὶ τὸ ἐν αὐτῷ τρίλιθον ζώδιον ἤτοι τρικέφαλον πορφυροειδῆ, ὃ ἔλεγόν τινες Κωνσταντῖνον τὸν μέγαν μέσον,*

---

4 *ὅπερ* P ⟨*καὶ βοῦς*⟩ inseruit Lamb. 5 *κατεπόθη* P 8 *εἰς ἀκουλκαταμίον* P, correxi; *σκοῦλκα* = excubiae (Du Cange gloss. graec. et Du Cange-Favre s. v. sculca, Theophyl. Sim. 6, 9, 14, cf. *προσκουλκάτορες* Malal. p. 330, 2); 'in aerario excubiarum' 10 *κουλκάτον* P; *σκουλκάτον* = *σκοῦλκα*? (cf. *φοσσάτον* et *φόσσα*) ⟨*ὑπῆρχε δὲ* sc. *τὸ θέαμα*⟩ *σταθμῶν*? 11 ⟨*χρυσὸν*⟩ *χυτόν* Comb., *χρυσεγχυτόν* Band. 12 *λεμία* P; *λαιμίον* (a *λαιμός*) significat effigiem collo tenus ut *στηθάριν* imaginem pectore tenus; cf. Malal. p. 265, 1, Acta et Diplom. V p. 323 sq., Typicon Stramnitzae ed. Omont in Mélanges Weil p. 309 sqq., Synops. Sath. p. 149, 20 *τὰ νομίσματα τούτων* (sc. *τῶν εʹ βασιλέων*) *τοὺς τύπους φέροντα πενταλαίμια ὀνομάζοντο* 13 *θέαμα* suppl. Lamb. ζʹ] *ζη* P, corr. Lamb. *ἐκ τοῦ βιβλίου τοῦ θεάματος* Lamb.; neque enim de Milio agitur in insequentibus 14 *καθόραν ἐπὶ* P 16 *σινᾶ τοῦ* P, corr. Lamb. 17 *τὸν σινᾶτον* P, correxi 18 *πορφυροειδὲς* Lamb.; sed cf. p. 22, 31 *ἰκμώδη* an *Κωνσταντῖνον τὸν τοῦ μεγάλου*?

*Κωνστάντιον εὐώνυμον, Κώνσταν ἐν τοῖς δεξιοῖς μέρεσιν, εἰς πόδας ἀρκούμενον δύο, εἰς δὲ χεῖρας ἕξ· ξένον τοῖς ὁρῶσι θέαμα, ἄλλος ἀλλοχόθεν ὁρῶν, καὶ ἡ κεφαλὴ μία. Ἐμπυρισμοῦ δέ ποτε γενομένου ἐν αὐτῷ τῷ τόπῳ καὶ πάντων ἐκεῖσε ἀσχολουμένων, ὡς εἰπεῖν, κλαπῆναι τὸ θαυμάσιον ἐκεῖνο ἐπὶ Θεοδοσίου τοῦ μικροῦ υἱοῦ Ἀρκαδίου, ὃς εὐθὺς διὰ ταχυδρόμου ἐν τοῖς διαστατοῖς καὶ ἐν τοῖς θαλαττίοις μέρεσι μετὰ ἀπειλῆς ⟨. . . .⟩, εἰ μὴ φάνειεν τὸ θέαμα· καὶ οἱ τοῦτο τολμήσαντες οὐκ ἰσχύσαντες εἰς τὴν ἰδίαν πατρίδα ἀπενεγκεῖν, φθαζόμενοι δὲ τῷ δρόμωνι τῷ βασιλικῷ ἀποποιησάμενοι ἑαυτοὺς τό τε θέαμα καὶ ἑαυτοὺς ἐν τῷ βυθῷ*
B 175 *ῥίψαντες | κατεποντίσθησαν· ὡς πολλῶν πλοίων καὶ σαργάνων ἐλθόντων καὶ κολυμβητῶν τινων διὰ τὸ ἀδημονεῖν τὸν βασιλέα, δῶρά τε εἰς πλῆθος ταττομένου καὶ ὡς φʹ κεντηναρίων μεθ' ὅρκων φρικτῶν βεβαιουμένου τοῖς μέλλουσιν αὐτὸ ἐκβάλαι ἐκ τῆς θαλάσσης, οὐκ ἴσχυσέ τις. Τότε ὀργισθεὶς ὁ αὐτὸς Θεοδόσιος καὶ τὸν Σινάτου οἶκον τῷ πυρὶ παραδέδωκεν ὑπὸ τεσσάρων κιόνων βασταζόμενον. Καὶ μετέθηκεν τὴν στήλην Ἑλένης μητρὸς Κωνσταντίνου καὶ αὐτοῦ καὶ τῆς γυναικὸς αὐτοῦ Φαύστης, θυγατρὸς Διοκλητιανοῦ, ἐν τῷ αὐτῷ Σινάτῳ· αὐτοῦ μὲν καὶ τῆς γαμετῆς χαλκεγχύτων ὑπαρχόντων καὶ μέρος λιθενδύτων, αὐτῆς δὲ ἐκ πορ-*

---

2 *ἀρκούμενον*] vix genuinum 3 *ἄλλον* Comb. *ὁρῶντι*? 7 *διαστατοῖς*] quid sit, nescio, cf. *διάστημα* Theophan. p. 146, 12; an *διαβατοῖς*? 8 *ἀπελῆς* P, lacunam indicavi; excidisse videtur *ἐκήρυξε* vel *ζητεῖν ἐκέλευσε* vel simile quid 10 *δρόμῳ* P, corrigebam 12 *σαργάνων*] de accentu vide Krumbacher Studien zu Romanos p. 259 et Berl. philol. Wochenschr. 1899 p. 646, Hippol. Theb. ed. Diekamp p. 10, 2 14 *δῶρα δὲ* P, corr. Band. *ταττόμενον* P, corr. Lamb. *ὡς*] *ἕως*? 20 *θυγατρὸς ⟨Μαξιμιανοῦ τοῦ Ἑρκουλίου, γαμβροῦ⟩ Διοκλ.* suppl. Lamb. 21 *Σινάτῳ*] mirum quod in senatu, quem modo combustum esse narravit, statuas positas esse dicit 22 *λιθενδύτων*] cf. *ἀργυρένδυτος* infra in H. Soph. § 28; *χρυσίον* et *ἀργυρίον ἐνέδυσε* ibid. § 21 et 22 *αὐτῆς δὲ ⟨τῆς Ἑλένης⟩*?

φυροῦ μαρμάρου † περιφέρουσα· ἅτινα καὶ σώζονται ἕως τῆς δεῦρο.

*Παπία.*

**44.** Ἐν τῷ λεγομένῳ Στατῆρι, ὅπερ λέγεται Μόλιον, ἀλωπὸν εἶναι ἐκ μαρμάρου Πηγανουσίου εἰς μῆκος ὀργυιὰς ε', πλάτος δὲ ὀργυιὰς δύο ἥμισυ, πρὸς νότον ἐν τοῖς ἀνακτορικοῖς οἴκοις, πρὸς δὲ βορρᾶν πρὸς τὸν παλαιὸν νεών· ὅπερ ἐν τῷ στήθει ἔγραφεν δι' ἐμπλαστῶν χρυσέων καὶ ἀργυρέων γραμμάτων ''Ἀφροδίτη Σελήνη'· ἐδόθη Πέρσαις εἰς πάκτον ἐπὶ Ἀναστασίου βασιλέως ἀντὶ σταθμῶν χιλίων χρυσοῦ.

**44a.** Καὶ τοῦτο δὲ ὁ αὐτὸς Παπίας ἐδίδαξεν ἐκ τῶν αὐτοῦ συγγραμμάτων, ὅτι αἱ γοργονοειδεῖς [† δεματερίδε γυναικοειδεῖς] κε|φαλαὶ ἐν τῇ Χαλκῇ πύλῃ, πρὸς μὲν τὸ B 176 πρόσθεν περιπατοῦντι εὐωνύμως, πρὸς δὲ τὸ ὄπισθεν δεξιῶς, τῆς Ἀρτέμιδος θεᾶς ἐκ τοῦ ναοῦ Ἐφεσίων ἥκασιν ⟨ὀκτώ⟩· τὰ μὲν τέσσαρα ἐν τοῖς Ταύρου μέρεσιν, ἐν τοῖς παλαιοῖς

---

§ 44a l. 13 — p. 52, 10 neglegentius excerpsit Anon. Treu p. 15, 30 sqq.: Ὅτι ἐν τῇ χαλκῇ πύλῃ γοργονοειδεῖς γυναικοειδεῖς κεφαλαὶ ἐκ τοῦ ναοῦ τῆς Ἀρτέμιδος τοῦ ἐν Ἐφέσῳ ἥκασιν ὀκτώ· καὶ αἱ μὲν δ' ἐν τοῖς τοῦ Ταύρου μέρεσιν ἐν τοῖς παλαιοῖς παλατίοις προσεπάγησαν Κωνσταντίνου καὶ Ἰουλιανοῦ καὶ τῆς γυναικὸς αὐτοῦ καὶ τῶν υἱῶν αὐτοῦ καὶ Γάλλου, τὰ δὲ δ' ἐν τῇ Χαλκῇ εὐωνύμῳ μέρει· ἔνθα καὶ σταυρὸς ὑπὸ Ἰουστινιανοῦ πέπηγεν καὶ Βελισαρίου καὶ Τιβέρειος ὁ κυρτοειδὴς Θρᾷξ καὶ Ἰουστῖνος ὁ πρῶτος λεπτοειδὴς καὶ τῶν συγγενῶν αὐτοῦ ἑπτά, αἱ μὲν ἀπὸ μαρμάρου, αἱ δὲ χαλκαῖ. Inde Codin. II 28 (p. 34, 5 B)

---

1 περιέχουσα Comb., an περιφεροῦς ut duabus illis statuis partim aeneis partim marmoreis opponatur? 4 μόλιον] an μῶλον? (cf. Theophan. ind. verb.) 7 νεὸν P, cf. § 57 9 σελένα P ἐδόθη ⟨δὲ⟩? 12 πατίας P 13 δεματερίδε (i. e. δειματοειδεῖς?) et γυναικοειδεῖς glossae esse videntur ad γοργονοειδεῖς 16 ἥκασι· τὰς μὲν τέσσαρας P, corrigebam (subaudiendum est γοργόνεια)

*παλατίοις προςπηχθέντα Κωνσταντίνου, ἔνθα καὶ Ἰουλιανοῦ καὶ τῆς τούτου γαμετῆς, ἀλλὰ καὶ Κωνσταντίνου τοῦ μεγάλου καὶ τῶν υἱῶν αὐτοῦ καὶ Γάλλου καθορῶνται ἀγάλματα· τὰ δὲ τέσσαρα ἐν τῇ προειρημένῃ πύλῃ εὐωνύμῳ μέρει· ἔνθα καὶ σταυρὸς πεπηγὼς ἐπὶ Ἰουστινιανοῦ τοῦ πάλαι καὶ Βελισαρίου ⟨καὶ ἄλλων στῆλαι⟩ καινουργηθεῖσαι ἵστανται· ἐν ᾗ καὶ αὐτὸς Βελισάριος καθορᾶται χρυσέμβαφος, ἡλιοκέφαλος, καὶ Τιβέριος ὁ κυρτοειδὴς Θρᾷξ καὶ Ἰουστῖνος αὐτόθι ὁ πρῶτος λεπτοειδής, ἐπίφορος κατ' ἰδέαν πάνυ, καὶ τῶν συγγενῶν ἑπτά, αἳ μὲν ἐκ μαρμάρου, αἳ δὲ καὶ χαλκαῖ, ἐκ τῶν ζωσμάτων ἐπιγινωσκόμεναι ἀκριβῶς τοῖς παριοῦσι.*

**45.** *Πολλὰ τῇ βασιλίδι Πουλχερίᾳ Λέων ὁ μέγας ἐμακάριζεν· ὅθεν καὶ μνήμην αὐτῆς τῆς τελειώσεως ἐπετέλει, καὶ ἐν τῷ τάφῳ αὐτῆς αὐτὸς ἱστόρησε τὸ ταύτης ἴνδαλμα. Καὶ ἐν τοῖς βασιλείοις δὲ θεωρῶν αὐτὴν ἐν ἱστορίᾳ τὸν βίον ὅλον αὐτῆς ἐμακάριζεν. Μαρκιανοῦ δὲ στήλην καὶ Πουλχερίας ὁ αὐτὸς Λέων ἐν τοῖς Θεοδοσιανοῦ ἐμβόλοις μεταστήσας τῇ βασιλίδι πόλει προςέθηκεν.*

**46.** *Ἰουλιανοῦ χαραγὰς Θεοδόσιος ὁ μέγας ἠμαύρωσε· μεθ' ὧν καὶ τὴν τούτου στήλην ἔξω τῆς Χαραγῆς ἑστηκυῖαν θεασάμενος ἠρυθρίασε, καὶ τοῖς συνοδεύουσιν ἐπύθετο, τίνος* B 177 *ἂν εἴη | τὸ χάραγμα. Τῶν δὲ Ἰουλιανοῦ φησάντων, εὐθὺς ἐκεῖνον εἰπεῖν ὅτι μέλαν ἄνθρωπον τὴν στήλην τεθέαμαι καὶ πάνυ ἠρυθρίασα· καὶ παραυτίκα ταύτην κατέαξε, καὶ δόγμα προέθηκεν, ὅτι ὅπου ἐὰν εὑρεθείη ἐν χαραγαῖς νουμίων τὸ*

---

4 *τὰς δὲ τέσσαρας* Comb. *ἐν τῆς προειρημένης πύλης εὐων. μέρει* Lamb., sed cf. § 15. 36. 48 5 *τοῦ πάνυ* Comb. 6 *καὶ νουργηθῆσαι* P, *καὶ Ναρσοῦ στῆλαι* Lamb., *καὶ ἄλλων στῆλαι* supplebam 9 *ἐπίφοβος*? 11 *ζωσμάτων*] *γραμμάτων*? *παροῦσι* P, corrigebam 20 *Χαραγῆς*] officinae monetarum; cf. Const. Porph. de caer. p. 11, 12 et schol. p. 8 23 *μέλανος ἀνθρώπου στήλην* Lamb. 25 *εὑρεθῇ ἢ* P; de optativo cum coniunctivo iuncto v. Büttner-Wobst Zonaras III p. 175, 14

τοιοῦτον ὑπόδειγμα καὶ μὴ τῷ δημοσίῳ καταμηνυθῇ, δημευθεὶς ὁ τοιοῦτος ἐξόριστος Κωνσταντινουπόλεως γένηται.

**47.** Πολὺς ἦν Ἰουλιανὸς ἐν μαγγανείαις· ὅθεν καὶ τοῖς εἰδώλοις εἰς στήλας βασιλικάς, φασίν, ἐξεικόνιζε καὶ προσκυνεῖσθαι ταύτας ὡς βασιλέων εἰκόνας ἠνάγκαζεν· μεθ' ὧν καὶ ἐν τῇ Νικομηδέων μητροπόλει τὸ τοῦ Ἀπόλλωνος ἄγαλμα χρυσέγκαυστον κατασκευάσας καὶ τῆς θεᾶς Ἀρτέμιδος νόμοις ὁμοίοις ἐνομοθέτει προσκυνεῖσθαι, ὡς αὐτοῦ φησιν εἶναι καὶ τῆς γαμετῆς τὰ ἰνδάλματα· ὅθεν καὶ ἄπειρον πλῆθος κλαπὲν εἰς εἰδωλολατρείαν κατέπεσεν.

**48.** Ἐν τοῖς Πανεάδος μέρεσι τῇ ἐπονομαζομένῃ Καισαρείᾳ τῆς Φιλίππου διερχομένου Ἰουλιανοῦ, τὸ τῆς αἱμορροούσης ἴνδαλμα θεασάμενος καὶ αὐτοῦ τοῦ Ἰησοῦ τὸν ἀνδριάντα ὡς ἔλεγον ὑπ' αὐτῆς κατασκευασθέντα· ἐν οἷς κεκυφυῖα ἡ γυνὴ καὶ τῇ δεξιᾷ χειρὶ τοῦ κρασπέδου τοῦ ἀνδριάντος Ἰησοῦ ἁπτομένη· μέσον που βοτάνης εἶδος, ἀλεξητήριον φάρμακον πρὸς πᾶσαν νόσον ἐπιτήδειον ἐκφυὲν καὶ τυφλοὺς ὥς φασι τοὺς ἐκ κοιλίας μητρὸς ἐξελθόντας ἰάσασθαι (τοῦτο δὲ καὶ Εὐσέβιος ὁ Παμ|φίλου καὶ ὁ Διακρινό- B 178
μενος ἀκριβέστερον μέμνηται) — ταῦτα Ἰουλιανὸς θεασάμενος ἐπύθετο τὸ μυστήριον, καὶ μαθὼν Ἰησοῦ εἶναι τὸν ἀνδριάντα κατέκλασεν· ὡσαύτως δὲ καὶ τῆς Βερονίκης, ὡς ὁ Διακρινόμενος μέμνηται καλεῖσθαι τὴν αἱμόρρουν· καὶ τὸ φυτὸν δὲ κατέκαυσε καὶ Διὸς εἴδωλον καὶ Ἀφροδίτης ἐν τῷ τόπῳ ἀνατεθεικὼς καὶ ἑαυτόν· ἐν οἷς καὶ ναὸν οἰκοδομήσας ἐπέγραψε τάδε· ʿθεῷ Διῒ παντεπόπτῃ· Ἰουλιανὸς Πανεάδι εἰς δῶρον ἄγειʾ. Ἔνθα καὶ Μαρτύριος ἐπίσκοπος πολλὰ ἐξου-

---

3 τὰ εἴδωλα? 5 ταύταις P 7 χρυσέγκαστον P 9 κλαπτὲν P, κλαπὲν Lamb. (= κλοπιμαίως?) 11 De variis de Veronica narrationibus cf. Dobschütz Christusbilder p. 197 sqq. et 250* sqq Καισ. τῇ Φιλίππου Lamb.; sed cf. Theophan. 49, 9, Cedr. 534, 8; 535, 3, Sozom. 5, 21 12 αἱμορρούσης P 16 ⟨καὶ⟩ μέσον? ποῦ P 19 Euseb. hist. eccl. 17, 18 25 ἑαυτοῦ Comb.

θενήσας αὐτὸν ἐκάη πλησίον τοῦ ναοῦ, ὡς ἔλεγον, εἰς θυσίαν θεοῖς.

**49.** Ἰουλιανοῦ βασιλεύοντος, πρὶν ἢ τὴν Ῥώμην καταλαβεῖν, στήλην ἐν Βυζαντίῳ τούτου ἀνέστησαν ἐν τοῖς Κωνσταντινιανοῦ ἐμβόλοις· καὶ ὁ στρατηλάτης δὲ Δημόφιλος χαίρων τῇ τῶν εἰδώλων θρησκείᾳ ἐν πορφυρῷ κίονι ταύτην ἀνέθηκεν· † μέγας θεοσεβὴς ὑπάρχων Ἰουλιανός. Διὰ τοῦτο ἢ μόνον ἐβασίλευσεν, καὶ ἐν Ῥώμῃ καὶ ἐν Ἀντιοχείᾳ εἰκόνας αὐτῷ ἔν τε σανίσι καὶ χαλκουργήμασι μεγίστοις ἀνέθετο.

**50.** Γρατιανὸς μετὰ τὸ γῆμαι ἐν Ῥώμῃ παρεγένετο καὶ ἑαυτὸν καὶ τὴν γαμετὴν ἐν ἀργυραῖς στήλαις εἰς ἄλλο θέαμα τῇ Ῥώμῃ προέθηκεν.

**51.** Οὐαλεντινιανοῦ τοῦ νεωτέρου ἐν τοῖς Λεοντίου ἐμβόλοις ὑπῆρχε στήλη θαυμάσιος, ἔνθα Ζήνων τὰς ἐποψίας ἐποιεῖτο. Ζήνων Οὐαλεντινιανοῦ τὴν στήλην θεασάμενος ἀτυχεῖν ἔφησε τοὺς μὴ εἰκόσιν εἰς μνήμην καθορᾶσθαι Καίσαρας.

B 179 **52.** | Ἐν τῷ Βοῒ Κωνσταντίνου φοσσάτον παρεσκευάσθη μέγιστον, καὶ πόλεμον αὐτῷ Βύζας παρετάξατο, καὶ ἀπέθανον Ἕλληνες, ὡς ὁ Σωκράτης φησίν, εἴκοσι χιλιάδες. Παρευθὺ δὲ ἐν αὐτῷ τῷ Βοῒ σταυρὸς ἀργυροῦς κεχρυσωμένος ἐτυπώθη καὶ Κωνσταντίνου καὶ Ἑλένης εἰκόνες, ἀμφοτέρων αἱ χεῖρες τὸν σταυρὸν κατέχουσαί φασι τὸν θεόδουλον.

---

4 *ἀνέστησεν* P, corr. Comb. 7 Ante *μέγας* in P tantum spatium relictum est quantum in capitum initiis; forte *ἐπιγράψας* inserendum est *ὑπάρχει?* 8 *εἰ μόνον* P, corr. Band. 8 sq. *ἐβασίλευσεν* sc. *Ἰουλιανός* 10 *ἀνέθετο*] *ἀνέθεντο?* 12 *ἀλλότριον?* 13 *προέθηκεν*] cf. § 59. 64 (*προςέθηκε* § 17. 18. 21. 45) 15 *ἐποψίας ποιεῖσθαι* vectigalia et tributa inspicere, cf. de Boor Theophan. ind. s. v. 17 *καθορωμένους* vel *καθορᾶσθαι ⟨μέλλοντας⟩?* 19 *φωσάτον* P 22 *ἀργυρὸς* P

24 *φασὶ τὸν θεόδουλον* (*θεόδουλ* in rasura) P in initio § 53 exhibet. In fine § 52 ponit Comb. scribens *φησὶ τῶν θεοδούλων* (sc. *Κωνστ. καὶ Ἑλ.*). Immo ad *σταυρὸν* pertinere videntur

**53.** Ὅτι τὰ λεγόμενα Κοντάρια βίγλαν εἶχον ἕως ἔτη ζ'· καὶ ἐν αὐτῷ τῷ τόπῳ πόλεμος ἕως ἔτη β' καὶ ναὸς εἰδώλων μικρὸς πάνυ, ὃν ἔλεγον Γαληνοῦ εἶναι· ὃν καθελὼν Κωνσταντῖνος τῆς Θεοτόκου οἶκον ἀνήγειρε καὶ ἑαυτὸν ἐγχαράξας καὶ τὴν μητέρα καὶ Ἰησοῦν καὶ τὴν Παρθένον πανηγυρικὰς ἑορτὰς ἐπετέλει εἰς ἡμέρας ιβ'.

**54.** Ἐν τοῖς Βιγλεντίου ὑπῆρχεν ἡ ὀχυρωτάτη βίγλα Κωνσταντίνου, ἣν πρὸ τῆς ὀπτασίας ⟨ἔξω⟩ τῆς πόλεως ἔστησεν· ἐκεῖ γάρ, ὡς ἔλεγεν, καὶ τὸν σταυρὸν περὶ δειλινὸν ὀφθαλμοφανῶς ἐθεάσατο. Ἐν αὐτῷ δὲ τῷ τόπῳ τοῖς Βιγλεντίου Σευῆρος Γάζους κατῴκισεν, οὓς καὶ πολεμήσας Μαξιμῖνος στρατηγὸς Κωνσταντίνου ὡσεὶ ὀκτὼ χιλιάδας ἀπέκτεινεν. Καὶ τότε οἱ λοιποὶ καταβάντες τῶν ἵππων καὶ τὰ ξίφη κλάσαντες τοῖς ποσὶν Μαξιμίνου ἐγκυλινδούμενοι σωτηρίας τυχεῖν ἱκέτευον· καὶ τυχόντες ἐκ τῶν ἰδίων χαλκουργημάτων Κωνσταντίνῳ στήλην ἀνέθεντο.

**55.** Ἐν τῷ Φόρῳ μ' ἡμέρας Κωνσταντῖνος ἐδοξάσθη καὶ εὐφη|μίσθη παρὰ τοῖς μέρεσι καὶ παρὰ τοῖς ἄρχουσι B 180 τῆς αὐτῆς πόλεως. Κανονάρις δὲ φιλόσοφος ἐν ὑψηλῷ τόπῳ ἀνελθὼν μετὰ τὸ πεσεῖν τοὺς ὄχλους μεγάλῃ φωνῇ

---

§ 53 Treu p. 16, 9 sq.: *Τὰ λεγ. Κοντάρια* β ί γ λ α *ἦν* μ ε γ ά λ η τ ὸ π ρ ό τ ε ρ ο ν κ α ὶ *ἕως ζ'* ἐ τ ῶ ν ἐ φ υ λ ά τ τ ε τ ο ἐ κ ε ῖ σ ε *καὶ πολέμου γενομένου ἐκεῖσε δύο ἔτη ναὸς* ᾠ κ ο δ ο μ ή θ η *εἰδώλων μικρὸς ὑπὸ* Γ α λ λ ί ν ο υ· *ὃν καθελὼν K. τῆς θεοτόκου ναὸν ἤγειρεν καὶ ἐνεχάραξε τὸν Χριστὸν καὶ ἑαυτὸν καὶ τὴν μητέρα αὐτοῦ καὶ ἐπετέλεσε πανήγυριν ἡμέρας δώδεκα.* Inde Codin. II 66 (p. 51, 12 B) § 54 Anon. Treu p. 16, 15 sq. nihil nisi prima verba (usque *Κωνστ.*) excerpsit. Inde Codin. II 67 (p. 52, 3 B)

---

3 *ὃν ἔλ.*] *ὡς ἔλ.* P, corr. Band. *Γαλλιηνοῦ* Lamb. 6 *εἰς*] *ἕως* Comb., *ὡς* Band. 7 *ἰσχυρωτάτη* Tr. *βίγλη* P 8 Post *ὀπτασίας* inseruit Comb. ⟨*τῆς τοῦ σταυροῦ ἐπὶ*⟩, ego *ἔξω* vel *πρὸ* excidisse puto 9 *ἔλεγον* Lamb. 20 *παῦσαι* Lamb., *σιωπῆσαι*?

ἔκραξεν· ʽὑπὲρ προγόνων μὴ φρόνει, ὁ τῶν προγόνων καθαιρέτης.ʼ Ὃν ὁ Κωνσταντῖνος μετακαλεσάμενος συνεκρότει καὶ παρεκάλει τοῦτον παύσασθαι ἑλληνίζειν. Ὁ δὲ ἰσχυρᾷ τῇ βοῇ ὑπὲρ προγόνων καὶ ἀποθνήσκειν ἑλόμενος ἐκαρατομήθη ἐν τοῖς αὐτοῖς Βιγλεντίου ἐμβόλοις εἰς φόβον τῶν καταληφθέντων Γάζων.

**56.** Ἡ στήλη ἡ ἐν τῷ Φόρῳ πολλὰς ὑμνῳδίας ἐδέξατο. Ἐν αὐτῇ τὸ πολίτευμα καὶ Ὀλβιανὸς ἔπαρχος καὶ οἱ σπαθάριοι, οἱ κουβικουλάριοι καὶ μόνον καὶ σιλεντιάριοι μετὰ κηρῶν λευκῶν ὀψικεύσαντες, λευκὰς στολὰς ἀμφότεροι περιβεβλημένοι, ἀπὸ τὸ καλούμενον ἀρτίως Φιλαδέλφιν, τότε δὲ Προτείχισμα καλούμενον (ἐν οἷς καὶ πόρτα ἦν τὸ πρότερον ὑπὸ Κάρου κατασκευασθεῖσα) ἀνήνεγκαν ἐποχουμένην εἰς καρούχαν· ὡς δὲ ὁ Διακρινόμενός φησιν, ὅτι ἐκ τῆς καλουμένης Μαγναύρας. Ἐν οἷς ἐν τῷ Φόρῳ τεθεῖσα καὶ πολλάς, ὡς προείρηται, ὑμνῳδίας δεξαμένη εἰς Τύχην τῆς πόλεως προσεκυνήθη παρὰ πάντων, ἐν οἷς καὶ τὰ ἐξέρκετα· ἔσχατον πάντων τότε ὑψοῦτο ἐν τῷ κίονι, τοῦ ἱερέως μετὰ τῆς λιτῆς παρεστηκότος καὶ τὸ ʽΚύριε ἐλέησονʼ πάντων βοώντων ἐν ρʹ μέτροις. Πολλὰ οὖν ὁ Διακρινόμενος ἄνωθεν τοῦ κίονος φάσκει πράγματα τεθῆναι, ἔνθα ἡ στήλη

§ 56 lin. 11 usque ad finem Treu p. 16, 19 sqq.: Ὅτι νῦν τὸ Φιλ. τὸ παλαιὸν ἐπὶ Κωνσταντίνου προτείχισμα ἦν καὶ πόρτα ὑπὸ Κάρου κατασκευασθεῖσα· ἐκεῖ ἵστατο πρῶτον ἡ στήλη τοῦ φόρου, ἣν ἀπὸ τοῦ Φιλαδελφίου εἰς καροῦχαν ἤνεγκαν, ὡς δὲ κτλ. non paucis omissis, sed re non discrepans. Inde Codin. II 48 et 49 (p. 43, 19—44, 11 B)

6 καταλειφθέντων Lamb. (cf. p. 55, 13 οἱ λοιποί) 8 ἐν αὐτῇ] ἣν αὐτὴν Menrad 9 κουβικουλάριοι Lamb. (qui magistratus saepe iungitur cum silentiariis); idem conicit σπαθαροκουβικουλάριοι; κουδικέλλιοι P, qualis magistratus nusquam memoratur καὶ μόνον] cf. § 15 καὶ μόναι, indicem Malalae etc.; καὶ μὴν Comb. 11 ἀπὸ τοῦ κτλ. Lamb. 15 ἐν οἷς] ᾗ (ἣ cod.) Tr. 17 ἐξέρχετα P, corr. Lamb. (sc. προσεκύνησαν αὐτήν) 20 ἐν ρʹ μέτροις] ἑκατοντάκις Tr.

*ἵσταται, ἐν οἷς καὶ χαραγὴ βασιλικὴ Κωνσταντίνου ἡ λεγομένη σωτηρίκιος, χίλια κεντηνάρια. Τότε εὐφημίσθη ἡ πόλις κληθεῖσα Κωνσταντινού|πολις, τῶν ἱερέων βοώντων· ʽεἰς* B 181 *ἀπείρους αἰῶνας εὐόδωσον ταύτην, Κύριεʼ. Καὶ οὕτως μετὰ πολλῆς δορυφορίας ἐμμέτρως μʹ ἡμέρας πανηγυρίσαντες, τοῦ βασιλέως σιτηρέσια πάμπολλα τοῖς ὄχλοις χαρισαμένου, ἀπῆλθεν ἕκαστος ἐν τῇ ἰδίᾳ οἰκίᾳ. Καὶ οὕτως τῇ ἐπαύριον τὸ γενέθλιον τῆς πόλεως γέγονεν καὶ ἱπποδρόμιον μέγα, πολλὰ κἀκεῖσε χαρισαμένου, καταλείψας τὰ τοιαῦτα γενέθλια εἰς μνήμην αἰώνιον.*

57. *Ἐν τοῖς πλησίον τοῦ Ταύρου μέρεσιν Κωνσταντῖνος ὁ μέγας ἐν τῷ θέρει ἀδεῶς διέτριβεν· ἔνθα Σευήρου τοῦ υἱοῦ Κάρου ὑπῆρχε παλάτιον καὶ νεώς, εἴδωλον θεοῦ Σευήρου ὀνομαζόμενον· ἔνθα καὶ τέσσαρες συνθεταὶ καμάραι παμμεγέθεις καὶ αὐταὶ ὑπὸ Σευήρου κατασκευασθεῖσαι, πολλὰ μαντείας εἰς χρῆσιν † οἰόμισμῶν θεῶν μακάρων καὶ θεῶν Βητγάμων ἔχουσαι εἴδωλα, ἀργυρᾶ τε καὶ χαλκᾶ καὶ ἐξ ἐλεφαντίνων καὶ μαρμάρων, ὡς λόγος φέρει πολλῶν, ὡς εἶχε, φησίν, ἐν αὐταῖς ταῖς καμάραις· καὶ πόλεμος Κωνσταντίνου γέγονε καὶ Σευήρου τὸν ʽΕρκούλιον ἐνίκησε καὶ ἐν ταῖς καμάραις τὴν κεφαλὴν αὐτοῦ τε καὶ τῶν μεγιστάνων αὐτοῦ ἐπὶ ἑπτὰ ἡμέρας ἐκρέμασε· καὶ μετὰ ταῦτα τὰ εἴδωλα συγ-*

---

2 *σωτηρίχιος* P, *-ίκιος* vel *-ήσιος* Comb. (cf. p. 319) 11 *τοῦ στροῦ* (i. e. *σταυροῦ*) P, corr. Lamb. 13 *εἰδώλου* P, *εἰδώλων* Band., *εἴδωλον* Comb.; an ⟨*καὶ*⟩ *εἴδωλον*? 14 *ὀνομαζόμενος* vel *-μένου* Lamb. 15 *σεβήρου* P *πολλὰς* P, corrigebam (*πολλὰ* — *εἴδωλα*); *πολλῆς* Lamb. 16 *οἰωνισμῶν τε* Lamb., *αἰωνίων* Band., an *τῶν νενομισμένων* vel *ὠνομασμένων*? 17 *βητγάμων*] Comb. confert *Βητάγων*, nomen Saturni apud Phoenices inferosque deos significari putat *ἔχουσα* P 18 *ὡς εἶχε* (sic) *φησὶν* P; verba obscura sunt; *ὃν εὔξασθαί φασιν* Comb. 20 *Σευῆρον* Band. (*ὦ Μαξέντιον τὸν ʽΕρκ.* Lamb., *καὶ Μαξ. τοῦ ʽΕρκ.* Band.) 22 *ἡμέραις* P, corrigebam ex consuetudine scriptoris *συγκαλέσας* P, corr. Lamb.

*κλάσας εἰς μέρος αὐτουργικὰ ὑπάρχοντα ἐκ τῶν αὐτῶν μαρμάρων εἰς θέαν ἔασεν. Ἐν αὐτῷ τῷ τόπῳ ἕως Ἰουλιανοῦ ἐτιμωροῦντο κατάδικοι. Ἐν τῷ αὐτῷ τόπῳ ὑπερκειμένη πλάκα εἰς μῆκος ἄγαν καὶ ζωδίοις ἀναγεγλυμμένοις τοὺς πολέμους Κωνσταντίνου ἕως τοῦ τρίτου σεισμοῦ προέκειτο δεικνύουσα.*
B 182 *Κωνσταντίνου στήλη* | *ἐκεῖσε ἄνωθεν τῆς καμάρας τῆς πρὸς τὸ ἄνωθεν μέρος ἐτύπωτο, τὸ σημεῖον τοῦ σταυροῦ ἐν τῇ δεξιᾷ χειρὶ κατέχουσα.*

58. *Ἐν τοῖς Φιλαδελφίου τῆς καλουμένης πόρτης μέρεσιν ἐνυπνιάσθη Κωνσταντῖνος· ἐκεῖ πρῶτον πάντων τὸν τύπον τοῦ σταυροῦ ἐθεάσατο, τυπώσας αὐτὸν εἰς μῆκος καὶ πλάτος, ὡς εἶδεν, ἐν κίονι πορφυρῷ τετραπλεύρῳ, χρυσώσας αὐτόν, καὶ σημεῖον σπόγγου ἐν τοῖς ποσὶν τοῦ σταυροῦ ἀσφαλισάμενος· ⟨καὶ στήλην⟩ τῆς μητρὸς Ἑλένης καὶ αὐτοῦ καὶ τῶν υἱῶν ἐξ αὐτοῦ ⟨τοῦ⟩ τετραπλεύρου κίονος ἀνατυπώσας εἰς θρόνους ἐτίμησε. Πολλὰς ὑπατείας ὁ μέγας Κωνσταντῖνος ἐν αὐτῷ τῷ τόπῳ πεποίηκεν. Ἐν αὐτῷ δὲ τῷ τόπῳ ἐτιμήθησαν κεντυρίονες διὰ τὸ τὸν σταυρὸν βαστάζειν ἐν προτιμήσει γενόμενοι, ὑπεράνω † βαλλέριον καθίσαντες.*

---

§ 58 lin. 9—16 = Treu p. 17, 1 sqq.: *Ὅτι εἰς τὸ Φ. ἔστησεν ἐπὶ κίονος ὁ ἅγιος Κ. κεχρυσωμένον σταυρὸν κατὰ τὸν τύπον, ὃν εἶδεν ἐν τῷ οὐρανῷ, καὶ ἐκ τοῦ κίονος τοῦ σταυροῦ τοῦ πορφυροῦ αὐτοῦ στήλην· καὶ τῶν υἱῶν αὐτοῦ στήλας ἀνετύπωσε καὶ εἰς θρόνους ἐτίμησεν.* Inde Codin II 50 (p. 44, 12 B)

---

1 *αὐτουργικὰ* idola pagana Du Cange in glossario interpretatur, cum *αὐτουργοὶ* coloni i. e. pagani sint (?) an *ἐκ τῶν αὐτῶν καμαρῶν* e regione harum camerarum? cf. ind. s. v. *ἐξ* 2 *εἴασεν* Lamb. 3 *πλὰξ* Band. 7 *ἐτυποῦτο* Band.; de neglecta reduplicatione cf. § 41 *κατέχωσται* 14 *καὶ στήλην* (vel *στήλας*) supplevi 15 *τοῦ* suppl. Comb. 16 *εἰς θρόνους ἐτίμ.*] cf. *τὴν εὐεργέτιν ἐτείμησεν ἐ(σ) στήλην* Sterrett The Wolfe exped. n. 330 18 *διὰ τὸ τὸν σταυρὸν ἐν προτιμήσει βαστάζειν γενόμενοι* P, corrigebam 19 *ὑπεράνω τοῦ λαβάρου καθίσαντες* vel *καταστήσαντες* (sc. *τὸν σταυρὸν*) Lamb., *ὑπεράνω καβαλλαρίων καθίσαντες* Comb. 'ut superiori equitibus

**59.** *Πολλὰς Κωνσταντῖνος στήλας ἐν τῷ Φόρῳ προέθηκεν, μεθ' ὧν καὶ ἐξ ἰδίας κατασκευῆς ἕως λ'. Πρῶτος ὕπατος ἐν τῷ Φόρῳ Καλλίστρατος ἐτιμήθη· καὶ ἕως βασιλείας Κωνσταντίνου ὕπατοι κωδικέλλους ἐν τῷ Φόρῳ ἐλάμβανον. Ὁ δὲ Καλλίστρατος ὕπατος μεγάλως ἐτιμήθη ἐν τῷ Φόρῳ, ὡς πρῶτος τὴν ἀξίαν τοῦ ὑπάτου δεξάμενος, τοῦ Πρασίνου μέρους βοῶντος· ‛Καλλίστρατος εὐτυχὴς καὶ εἰς ἄλλο προκόψει'. Ὁ δὲ φοβηθεὶς τῷ τοῦ ἁγίου ⟨. . .⟩ τεμένει καταλαμβάνει, καὶ εἰςελθὼν ἐν αὐτῷ ἐζήτει πρεσβείαν. Πολλὰ Κωνσταντῖνος τῷ Καλλιστράτῳ ἐξωμόσατο μὴ ἀδικῆσαι· | ὁ* B 183 *δὲ οὐκ ἠνέσχετο καὶ χειροτονηθεὶς πρεσβύτερος τῆς ἐκκλησίας ἐξέρχεται· ὃς καὶ ἐπισκόπησεν ὕστερον· ὅθεν μοι τὰ πολλὰ ἐμφέρεται διηγήματα.*

**60.** *Ἐν τῷ Ἱπποδρομίῳ ἀπετέθησαν εἴδωλα ἐκ τῆς Ῥώμης ἥκοντα ὡσεὶ ξ', ἐν οἷς καὶ Αὐγούστου, ὡς οὐ γέγραπται μέν, λέγεται δέ, τὸ ὁμοίωμα.*

---

§ 59 Treu p. 17, 7 sqq.: *Περὶ τοῦ σενάτου· ὅτι ὁ φόρος τιμὴν ἔσχεν· ὡς οἶμαι δὲ τὸ σενᾶτον λέγει, ὅτι ἐξ ἀρχῆς τοὺς κωδικέλλους οἱ πατρίκιοι ἐκεῖσε ἐλάμβανον ἕως Κωνσταντίνου· πρῶτος δὲ Καλλ. τὴν ἀξίαν τοῦ ὑπάτου ἐκεῖσε ἐδέξατο τοῦ δήμου κράζοντος· Κ. εὐτυχὴς καὶ εἰς ἄλλο προκόψει· ὁ δὲ φοβηθεὶς προσέφυγεν τῇ ἐκκλησίᾳ. Κωνστ. δὲ ἐξωμόσατο μὴ ἀδικῆσαι αὐτόν· ὁ δὲ μὴ ἀνασχόμενος ἐχειροτονήθη πρεσβύτερος, εἶτα ἐπίσκοπος· ὅθεν πολλά μοι ἐκφέρεται διηγήματα.* Inde Codin. II 44 (p. 40, 17 B) § 60 lin. 14 sq. (-*Αὐγούστου*) = Treu p. 17, 17 sq. Inde Codin. II 73 (p. 52, 18 B)

---

loco considerent'. Hoc magis placet: similem militum honorem memorat Malalas p. 351 2 *πρῶτον* P, Callistratus consul ficticius est 4 *κοδικέλλους* P 7 eadem fere acclamatio Codin. III 123 (p. 107, 15 B) 8 *τὸ . . τέμενος* Comb.; sed saepe *καταλαμβάνειν* cum dativo iungitur a Byzantinis. Lacunam indicavit Comb. 9 *πρεσβείαν* i. e. Sancti illius auxilium et preces, cf. lexica; *ἄδειαν* Comb. 15 *ὡσεὶ ξ'*] *ἐξαίρετα δὲ ξξ* Treu (ubi *ἐξαίρετα δὲ ἑξήκοντα* scribendum esse docet Codinus)

**61.** *Πολλὰ ἡμῖν διεβεβαιοῦτο Φίλιππος ἔπαρχος, ὅτι τὸ ἐν τῷ Ἱπποδρομίῳ ὑπάρχον ὁμοίωμα Θετταλικὸν κατασκεύασμα ὑπάρχει Ποντίου τινός, τὸ ἄνωθεν τῆς βασιλικῆς καθέδρας ἱστάμενον. Ἐν δὲ τοῖς γυναικείοις ὁμοιώμασιν, τὸ πλησίον τῶν Μήδων τοῦ ἐλεγείου, αἳ γεννῶσαι θῆρες καὶ ἀνθρώπους ἐσθίουσαι· τὴν μὲν μίαν Ἡρωδίων μοι ἐτράνωσεν Ἰουστινιανοῦ τοῦ ἀθέου δηλοῦσαν τὴν ἱστορίαν ⟨τῶν δευτέρων αὐτοῦ πράξεων⟩· τὸ δὲ δεύτερον, ἐν οἷς καὶ πλοῖον ὑπάρχει, μὴ πληρωθῆναι, ἀλλὰ περιμένειν. Ὅπερ ἀκούσας ἐδάκρυσα, εἰ ἄρα γ' ἔτι τοιοῦτον πάλιν τῇ Κωνσταντινουπόλει ἐπέλθοι ἀλόγημα. Ἰουστινιανὸς ὁ μέγας ἐν τοῖς τοῦ καθίσματος † κατ' ἔπος ἐποχεῖτο ἐν ἵππῳ χαλκῷ μετὰ τὴν νίκην Μήδων. Ἡ ἐν τῷ Ἱπποδρομίῳ καθεζομένη γυνὴ ἐν σελλίῳ χαλκῷ καὶ αὐτὴ ἄνωθεν, ὡς προείπομεν, ὁ μὲν Ἡρωδίων ἐδίδαξε Βερίναν εἶναι τοῦ μεγάλου Λέοντος· ὡς δὲ ἐγὼ παρὰ πλειόνων ἤκουσα, ἐξ Ἑλλάδος εἶναι τὸ εἴδωλον μᾶλλον τῆς Ἀθηνᾶς, ὅπερ καὶ ἐπίστευσα.*

**62.** *Πολλὰ Φίλιππος ἱστόρησεν ὁ δυνάστης, μεθ' ὧν καὶ τοῦτο παρέδωκεν, ὅτι τὸ δρακονταῖον Ἀρκαδίου μὲν*

---

§ 61 lin. 5—9 = Treu p. 17, 19 sq.: *Περὶ τῆς γεννώσης θῆρας ἐν τῷ Ἱπποδρ.: Αἱ γεννῶσαι θῆρας καὶ ἀνθρώπους ἐσθίουσαι· ἡ μὲν μία ἐστὶν Ἰουστ. τοῦ τυράννου δηλοῦσα τὴν ἱστορίαν τῶν δευτέρων αὐτοῦ πράξεων· ἡ δὲ ἑτέρα, ἐν οἷς καὶ πλοῖον ὑπάρχει, μὴ πληρωθὲν μέλλει γενέσθαι.* Inde Codin. II 77 (p. 53, 19 B) Lin. 13—17 = Anon. Treu p. 17, 25 sq. qui pauca omisit; inde Codin. II 78 (p. 54, 8 B) § 62 p. 61 l. 3 sq. = Treu p. 17, 29 sq.; inde Cod. II 79 (p. 54, 11 B)

---

2 *τεθαλικὸν* P, *θετταλὸν* Comb. 5 *θῆραις* P 6 *ἐσθίουσιν* P 7 *δηλοῦσα* P, *δηλῶσαι* Lamb. *τῶν δευτ. κτλ.* om. P 10 *γέτη* P, *γε* edd. 11 *ἐπέλθη* P 12 *τοῦ καθίσμασι* P, corr. Comb. *κατεποχεῖτο* Comb., cf. § 14 *στήλη κατοχυῖα ἐν ἵππῳ*; fort. exciderunt quaedam: *κατ' ἔτος ἐποχεῖτο· ⟨ἔνθεν καὶ ἐτυπώθη⟩. ἐν ἵππῳ κτλ.* 18 *μεθ' ὧν* P, *μαθὼν* edd.

ἐκτύπωμά ἐστιν, | Ὀνωρίου δὲ ἀδελφοῦ αὐτοῦ ἐπίδειξις ἐν B 184 Ῥώμῃ βασιλεύοντος. Ἔνθεν καὶ χρησμοὶ καὶ πρὸ ἡμῶν καὶ ἕως τῆς δεῦρο οὐκ ὀλίγοι γεγόνασιν. Ἡ δὲ ἄνωθεν τοῦ δρακονταίου ὕαινα ἀπὸ Ἀντιοχείας τῆς πρώτης εἰς Κωνσταντινούπολιν ἐλήλυθεν ἐπὶ Κωνσταντίνου τοῦ μεγάλου, καθὼς ὁ προειρημένος Φίλιππος ἱστόρησεν.

**63.** Ἐν τῷ Ἱπποδρομίῳ πολλοὶ φόνοι καὶ κακὰ γεγόνασιν καὶ μάλιστα ἐν τοῖς πρὸ ἡμῶν· ἐν οἷς καὶ ἐφ' ἡμῶν Ἀναστάσιος ὁ μοναχὸς δι' ἀληθείας τρόπον ἀντιλέγων τῷ βασιλεῖ ἐκαύθη.

**64.** Εὐδοκίας Ἀθηναίας κατὰ μοῖραν δικασθείσης κατὰ χάριν ηὕρατο τύχην, καθ' ἣν οἱ αὐτάδελφοι, τὸ ξένον τῆς συγγόνου ἀκηκοότες εὐτύχημα, ἀνελθεῖν συνεπειρῶντο φιλοσόφοις ζ' καὶ τῇ τύχῃ ἐξ ἀτυχίας ἐδεήθησαν ἱλασθῆναι. Θεοδόσιος δὲ ὁ βασιλεὺς εἰς τὸ Ἱππικὸν ἥλατο, τοῖς φιλοσόφοις ἀρέσων· καὶ τίς αὐτῶν οὐκ ἐνείλησεν; Ἦσαν δὲ τὸν ἀριθμὸν ζ'· Κράνος, Κάρος, Πέλοψ, Ἀπελλῆς, Νερούας, Σιλβανός, Κύρβος. Οὗτοι συνῆσαν εἰς τὸ Ἱππικὸν τῷ βα-

---

§ 64 l. 17—p. 63, 12 in. et p. 63, 20—64, 8 = Treu p. 17, 31—18, 24: inde Codin. II 82 (p. 56, 1 B). Sed Anon. Treu nonnulla confudit; etenim initio responsum Crani exhibet, tum reliquorum responsa, inter quae Crani dictum iterum occurrit Cyrbi Pelopisque verbis interpositum. Verbis non paullum discrepat: Ὅτι Κράνος ὁ φιλόσοφος εἷς ὢν τῶν ἑπτὰ φιλοσ. τῶν σὺν τῇ Εὐδ. ἀνελθόντων ἐξ Ἀθηνῶν, ἤτησε τὸν Θεοδ. ἰδεῖν τὰ ἐν τῷ ἱπποδρ. στοιχεῖα· καὶ ἰδὼν τὸν περιχύτην καὶ τὸν ὄνον εἶπε· τίς ὁ στήσας; τοῦ δὲ ἀναγνώστου εἰπόντος· Οὐαλεντινιανός· ὢ συμφορά, ἔφη, ὅτι ἄνθρωπος ὄνῳ ἀκολουθεῖ· ἦσαν δὲ οἱ φιλόσ. οὗτοι οἱ ἑπτά· Κράνος κτλ. — Κύρβος· θεωρούντων δὲ ἱππεύοντα τὸν βασιλέα καὶ θαυμαζόντων ἔφη βασιλεύς· τί θαυμάζετε; ἀπεκρίθη δὲ Ἀπελλῆς· θαυμάζω εἰδώς, ὅτι τῶν

---

8 εὐφημῶν P, corr. Comb. 12 κατὰ χάριν θεοῦ? 16 ἀρέσκων Comb. καί τις P (?) ἐνέλησεν P, corrigebam: cf. ἐξειλέω apud Theophanem, περιέλησε in cod. R infra in narratione de H. Sophia § 16 18 οὐλβανός P

*σιλεῖ θέας ⟨χάριν⟩ Ὀλυμπίων. Ὁ δὲ βασιλεὺς Θεοδόσιος ὁρῶν τοὺς φιλοσόφους θαυμάζοντας φησὶν πρὸς αὐτούς· ‛ὦ φιλόσοφοι, εἰ θαυμάζετε, κατεφιλοσοφήθητε.’ Ὡς παραυτίκα ἀποκριθῆναι ἕνα ἐξ αὐτῶν, Ἀπελλῆν ὀνόματι, καὶ εἰπεῖν· ‛† μὴ θαυμάσιν ἐμὲ τοὺς ἵππους τῷ ἐπιβάτῃ, εἰδὼς ἀκριβῶς ὅτι ἵπποι ἀνθρώπων ἐπιβάται γενήσονται, ἀλλασσομένων τῶν Ὀλυμπίων, καὶ τὸ θαυμάζον ἀμβλυωπιάσει.’ Νερούας δὲ ἀπεκρίνατο· ‛κακὸν τῇ βασιλίδι στοιχεῖον· ὁρῶ*
B 185 *τὸ στοιχεῖον τοῖς στοιχείοις συντρέχοντα.’ | Καὶ ὁ Σιλβανὸς ἰδὼν τὸ πρὸς μεσημβρίαν ζώδιον, εἰς τὸ ἄνω τὸ γόνυ † κάβου δίκην κεκμηκότα, φησίν· ‛καλῶς ὁ στοιχειωσάμενος·*

---

*Ὀλυμπίων ἀλλασσομένων ἵπποι γενήσονται ἀνθρώπων ἐπιβάται καὶ τὸ θαυμάζον ἀμβλυωπιάσει. Νερούας ἔφη· κακὸν τῇ βασιλίδι, ὅτι τὸ στοιχεῖον τοῖς στοιχείοις ἐπακολουθεῖ· καὶ ὁ Σιλβανὸς ⟨ἰδὼν⟩ τὸ ὀκλάζον ζώδιον ἔφη· καλῶς ἐστοχάσατο· καιροὶ γὰρ ἐπὶ τούτου ἀγόνατοι ἔσονται· ὁ δὲ Κύρβος κτλ.*, tum *ὁ δὲ Κράνος . .* (v. quae supra dixi) *Πέλοψ δὲ . . Κάρος δὲ . . -συνέστηκεν* haec fere congruentia. Cf. praeterea Tzetzae iambos 270 sqq. in calce chiliad. ed. Kiessling p. 519: *Ὄνος δὲ χαλκοῦς ἱππικοῦ πινύσκεται | ἔμπροσθεν ἑστώς, ἐκ δὲ τῶν ὀπισθίων | ἄνθρωπος οἰκτρὸς ζωγραφῶν τὸν νῦν βίον, | ὡς εἶπε τὸ πρὶν Ἀττικὸς σοφὸς Κράνος, | ἔφασε καὶ γὰρ τῷ κρατοῦντι τῷ τότε· | Φεῦ συμφορᾶς, ἄνθρωπος ἥττων ὢν ὄνου· | ἔσται χρόνος γὰρ τοῖς μεθύστερον χρόνοις, | ὅταν ὀνώδεις δυσγενεῖς καὶ καυλίαι | καὶ πᾶς ἄμουσος εἰςρυεὶς κτηνωδίαν | κρείττων νομισθῇ τῶν σοφῶν καὶ κοσμίων.*

---

1 *θέας ὀλύμπιον* P, corr. et *ἕνεκεν* suppl. Comb.; cf. § 39 *θέας χάριν*, § 40 *θέας τοὔνεκεν* 2 an *θαυμάζοντας ⟨ἱππεύοντα αὐτόν⟩*? 5 *μὴ θαυμάζειν ἐμὲ κτλ.* Lamb. in textu, *μὴ θαυμάζομεν τῶν ἵππων τοὺς ἐπιβάτας, ἀλλ’ εἰδότες κτλ.* idem in notis; fortasse *μὴ θαυμάζειν τοῦ ἵππου τὸν ἐπιβάτην εἰδὼς κτλ.*, quod pro *εἰδότα* posuisse scriptorem non mirum 6 *γεννήσονται* P 7 *ἀμβλωπιάσει* P, *ὁ μὴ θαυμάζων ἀμβλυωπήσει* Lamb. cui adversatur Comb. (‘tanta futura miraculi vis, ut oculos hebetet’) 8 *κακὸν τῇ βασιλίδι τῶν πόλεων, ὅτι στοιχεῖον ὁρῶ τῷ στοιχείῳ τῆς τύχης συντρέχον* Lamb 9 *ὁ ἠλβανὸς* P 11 *καμπτὸν, δίκην κεκμηκότος* Lamb., *κα-*

*καιροὶ γὰρ ἐπὶ τούτου ἀγόνατοι ἔσονται.' Ὁ δὲ Κύρβος ἐν τῷ δήμῳ ὁρῶν εἶπεν· 'ὦ δῆμε, δι' ὃν δήμιοι περισσεύουσι.' Πέλοψ δὲ τοὺς ὅρους τῶν ἵππων ἰδὼν εἶπε· 'τίνος τὸ πρόβλημα;' Θεοδοσίου δὲ φήσαντος 'Κωνσταντίνου', εἰπεῖν ἐκεῖνον· 'ἢ φιλόσοφος ἄκυρος ἢ βασιλεὺς οὐκ ἀληθής.' Ἑώρα γάρ τι ὁ φιλόσοφος θηλύμορφον ζώδιον, τετραμερέσι ζωδιακοῖς γράμμασι γεγραμμένον, καὶ εἶπεν· 'ὦ τετραπέρατε, ἐξ οὗ Κωνσταντῖνος καὶ ἀπέρατοι ἔσονται.' Κάρος δὲ προτραπεὶς παρὰ τοῖς φιλοσόφοις λαλῆσαι φησίν· 'δυστυχῆ μοι τὰ πάντα φαίνεται, ὅτι, εἰ ταῦτα τὰ στοιχεῖα, ὡς πειρῶνται, ἀληθεύσουσιν, ἵνα τί ἡ Κωνσταντινούπολις συνέστηκεν;' Κράνος δέ, ὅστις καὶ λογιστὴς τῆς Ἀθηνῶν φιλοσοφίας ἐλέγετο, μειδιῶν ἐπεκοκκυία. Τοῦ δὲ βασιλέως πυνθανομένου 'τίς ἡ αἰτία;' † ⟨. . . .⟩ατο ἐναρκία τὸ πλεῖον γελῶν ἢ σκώπτων. Νάρκισσος δὲ πραιπόσιτος δίδωσι τῷ φιλοσόφῳ ῥάπισμα εἰπὼν πρὸς αὐτόν· 'τῷ Ἡλίῳ ὡς Ἡλίῳ ἀποκρίνου, σκότος ὑπάρχων.' Τοῦ δὲ καὶ τὴν ἄλλην στρέψαντος, δίδωσιν ὁ Νάρκισσος. Ὁ δὲ φιλόσοφος τῷ Ναρκίσσῳ ἔφη· 'οὐ διὰ σὲ λαλήσω, ἀλλὰ τοῖς γράμμασι δυσωπούμενος.' Τὸ δὲ πρόβλημα τοῦ Κράνου τοιοῦτόν ἐστιν· ᾔτησεν τῷ βασιλεῖ τὰ ἐν τῷ Ἱππικῷ στοιχεῖα θεάσασθαι, καὶ*

---

*μίλλου δίκην κεκμηκότος* (!) Comb., *καμήλου δίκην κεκμηκότος* Du Cange; an *κάβου* (a **κάβος* = *καβάλλος*? cf. Thesaur. Gloss. ed. Goetz s. v. cabo = caballus) vel *καμήλου δίκην κεκυφότα* (sc. *ζώδιον*)? cf. Treu *τὸ ὀκλάζον ζώδιον* *καλὸς* P *στοχασάμενος* P, corr. Lamb. 2 *ἐν τῷ δήμῳ*] *τὸν δῆμον* Tr. 3 *ὄρους* Tr. 5 *οὐκ ἀληθὴς*] *εὐήθης* Comb. 6 *τι*] *τινὰ* P; hic inserunt vocem *Κάρος* Lamb., *Κράνος* alii 10 *πηρῶνται* P, locus corruptus esse videtur 11 *ἀληθεύουσιν* Tr. 12 *λογισθεὶς* P, corr. Lamb. *Ἀθηναίων* Lamb. 13 *ἐπεκεκοκκυῖα* P; *ἐπεκόκκυζεν*? 14 lacunam indicavi; *ἀπεκρίνατο τἀναντία* Lamb., *ἐναντία* Comb., magis placet *ἀπεκρ. ἄναρθρα* vel *διεμείνατο ἐν ἀργίᾳ* 15 *γελῶ εἰσκόπτειν* P, *γελῶν καὶ σκ.* Lamb. 16 *ῥαπίσματα* Comb. 19 *διὲ σὲ* P 20 *κρόνου* P 21 *ἥτω ἐν τῶ βασιλεῖ* P; *αἰτεῖν τινι* etiam p. 35, 6

*τοῦ βασιλέως κελεύσαντος εἵλετο εὐθὺς ἐκεῖνος. Ἔστι δὲ*
B 186 *ἀνδροείκελον τὸ ἄγαλμα περικεφαλαίαν τῇ κε|φαλῇ περιέχον, γυμνόν τοι ὅλως καὶ ἐν τοῖς βρετγάνοις διδύμοις ἐπικεκαλυμμένον. Τοῦ δὲ φιλοσόφου πυθομένου ʽτίς ἄν' ἔφη ʽὁ στήσας;' ἔφη τις ἀναγνώστης ὅτι ʽΟὐαλεντινιανὸς τοῦτο προὔθηκεν·' εἶπεν δὲ ὁ φιλόσοφος· ʽπότε καὶ τὸν ὄνον;' τοῦ δὲ φήσαντος ʽὁμοῦ', εἰπεῖν ἐκεῖνον· ʽποτὲ ὄνος ὡς ἄνθρωπος ἔσται· ὢ συμφορά, ὅτι ἄνθρωπος ὄνῳ ἀκολουθεῖ.' Ἀλλὰ μὴ ἔστω ⟨τὸ⟩ τοῦ μάντεως. Τοῦτο τὸ πρόβλημα εὑρέθη ἐν τοῖς τόμοις Λέοντος τοῦ μεγάλου, ὃ ἐφιλοσόφησε Κράνος, παρὰ Λιγυρίου ἀστρονόμου καὶ ὑπάτου τοῦ αὐτοῦ βασιλέως Λέοντος.*

**65.** *Ἀσκληπιόδωρος ἐπὶ Ἀναστασίου ἰδὼν τὸ ζώδιον τὸ μέγα, τὸ ἐν τῷ Ἱππικῷ τὴν χεῖρα ἐπὶ τοῦ προσώπου κατέχοντα, ἔφη· ʽὢ βία, ὅτι πᾶσα ἀνθρωπίνη ἔνδεια εἰς μίαν ἀνθρώπου φρόνησιν ζυμωθεῖσα.' Καί τις αὐτῷ ἐπέδειξε γράμματα ἐν τῷ μαρμάρῳ· τοῦ δὲ ὑπαναγνόντος, φησίν· ʽἀγαθὸν μὴ φθάσαι τοῖς τότε μέλλουσιν εἶναι· ὡς κἀμοί τι κέρδος τοῦ μὴ ἀναγνῶναι'.*

**66.** *Δέον γινώσκειν ὅτι ἡ στήλη ἡ καλουμένη Ταῦρος Θεοδόσιός ἐστιν ὁ μέγας· ἐν ᾗ ποτε ἐδέχετο ὁ βασιλεὺς τοὺς*

---

§ 65 Treu p. 18, 25 sq.; inde Codin. II 83 (p. 57, 9 B)
§ 66 l. 20—p. 65, 1 = Treu p. 19, 1 sqq.: *Ὅτι ἡ ἐν τῷ ταύρῳ*

---

1 *εἵλετο*] *εἰςήλατο*? 2 Eadem statua (ʽNicon' post Nicandrum asinum) memoratur a Niceta Acom. de sign. Cpol. 6 *τὸ* P] *τι* edd. *ἐπικεφαλαίαν* P 3 *βρετγάνοις* = *αἰδοίοις*? vox alibi non occurrit 5 *βαλεντινιανὸς* P 8 *ὢ τῆς συμφορᾶς* Treu altero loco; cf. infra l. 15 *ὢ βία*
9 *τὸ* inserui; *ἀλλὰ μὴ ἔστω· τοῦ μάντεως τοῦτο κτλ.* interpungunt Comb. et Band. 11 *κρόνος* P *Λιγουρίου* Lamb. in textu, *Ὀλυβρίου* in notis; cf. § 5b *ἀστρονόμων ὑπάτου*? Comb. 13 *Ἀσκληπιόδοτος* Lamb. 14 *κατέχον* Tr. 16 *ἐξυμώθη* Tr. *ὑπέδειξε* Tr. 17 *φράσαι τὰ τότε μέλλοντα* Lamb. *τὰ τότε μέλλοντα εἶναι* Tr. 18 *κάμὲ* P, corr. ex Tr.

*ἀπὸ τῶν ἐθνῶν δυνάστας. Ἀργυραῖα δέ τις ἦν πρώην, ὡς ὁ Σωζομενὸς διδάσκει. Κλήμης δὲ τὰς ὁμοίας καὶ πολυμόρφους μαρμαρίνας Κωνσταντίνου εἶναι φάσκει τοῦ υἱοῦ Κώνστα.*

**67.** *Ὁ Πιττάκης ὁ λεγόμενος Λέων ὁ μέγας ἐστίν, ὁ παρὰ τ⟨οῖς⟩ πολλοῖς Μακελάριος λεγόμενος· καθ' ἣ⟨ν⟩ τὰ δεξίματα τῶν | βασιλέων ἐκεῖσε ἐγένοντο. Ἀλλὰ καὶ παλά-* B 187
*τιον ἦν ποτε συνιστάμενον πλησίον τῆς παλαιᾶς ἐκκλησίας τῆς ἁγίας Εἰρήνης, καθὼς Ἰωάννης ὁ Διακρινόμενος λέγει.*

**68.** *Δέον γινώσκειν ὅτι τὸ λεγόμενον Αὐγουσταῖον στήλας τρεῖς διαδέχεται· Κωνσταντίνου τὸ πρῶτον, ἐν ο⟨ἷς⟩ καὶ βασιλικαὶ ἦσαν κάτω ε' τοῦ κίονος, Κωνσταντίου, Κώνσταντος καὶ Κωνσταν⟨τίνου⟩ [Κώνσταν] τε καὶ Λικινίου· ἀλλὰ καὶ ὕστερον Ἰουλιανοῦ. Ἐπὶ Θεοδοσίου οὖν τοῦ μεγάλου στήλη ἑτέρα τῷ κίονι διαδέχεται, ἀργυραῖα καὶ αὐτή, ἀλλὰ καὶ Ἀρκαδίου καὶ Ὁνωρίου πρ⟨ὸς⟩ τῇ γῇ, ὡς ὁ Θεόδωρός φησι. Ἐν δὲ τοῖς Σωζομενοῦ γράμμασι, φησίν, Ἰουστινιανός ἐστιν, ὃ νῦν καθορᾶται τὸ μέγιστον τοῦ Φόρου*

---

*στήλη τοῦ Θεοδοσίου ἐστίν· ἦν δὲ πρώην ἀργυρᾶ· ἔνθα τοὺς ἀπὸ τῶν ἐθνῶν ἥκοντας ἐδέχετο· ἦσαν γὰρ πρώην ἐκεῖ παλάτια.* (Verba extrema Anon. Tr. ex fine § 67 excerpsit). Inde Codin. II 47 (p. 42, 15 B)

---

2 *σωζόμενος* P 3 i. e. Constantini Pogonati 5 *πήταξ* an *πήτακ(ις)* scriptum fuerit in P, ob marginem succisum discerni non potest. Item post *παρατ* (sic) et *καθη* (6) margo abscisus 7 *τὰ δεξήματα* P. Corrigere posses *τὰ δέξιμα τὰ τῶν κτλ.*, sed nominis *δέξιμον* casus etiam suffixis *-ατος κτλ.* formari posse, etsi aliud exemplum non novi, tamen ex analogia vocis *ἀλλάξιμον* negare non licet 11 *ἐνο* | margine absciso P; *ἐν ᾧ* editores 12 *βασιλικαὶ* sc. *στῆλαι* an *ε' κάτω*? 13 Post *Κώνσταν* priore loco positum margo abscisus; alterum seclusi (*Κωνσταντίας* Band.) 15 *διαδέχεται* passive 16 post *πρ* margo abscisus 17 *σωζομένου* P

ζώδιον. Καθά φησι Θεοδώρητος καὶ Εὐσέβιος, ἐν οἷς δοκοῦσι σφάλλεσθαι βιβλίοις, Ἕλληνος εἶναι στήλην· καθ' ἣν ἀφιερώσας ὁ μακάριος Κωνσταντῖνος δι' εὐχῆς ἔστησεν. Ἐν δὲ τοῖς Ἀπολλιναρίου καὶ Ἀλεξάνδρου συγγράμμασιν Κωνσταντίνου εἶναι τοῦ μεγάλου, καθὰ καὶ Μιλίχιος ὁ χρονογράφος ἐξηγήσατο.

**69.** Ὁ τρίπους ὁ ἐν τῷ Στρατηγίῳ τῷ μεγάλῳ, καθὰ Προμούντιος Ἀλέξανδρον λέγει εἶναι τὸν Μακεδόνα. Ἐπιστώσατο δὲ καὶ ἐκ τῶν γραμμάτων, καὶ ὅσοι τοῖς γράμμασιν αὐτοῦ ἐμφιλοχωροῦσι, μάλιστα οἱ ταῖς μαντείαις στοιχοῦντες, ἐπιγινώσκουσι τὸν Ἀλέξανδρον εἶναι. Γράφει δὲ ὁ αὐτὸς καὶ Κωνσταντῖνον τὸν ἅγιον ἐκεῖ πρῶτον φόρον τῇ πόλει ταύτῃ ἀναστῆσαι.

B 188 **70.** | Τὸ καλούμενον Φιλαδέλφιν Κωνσταντίνου εἶναι τοῦ μεγάλου τοὺς υἱούς, ἀπὸ Γαλλίας τὸν ἕνα πρὸς τὴν Κωνσταντινούπολιν ἐλθόντα μετὰ τὸν θάνατον τοῦ πατρός· μεγάλης τε ὑπαντῆς καὶ χαρᾶς γενομένης ἀσπάσασθαι ἀλλήλους καὶ παρευθὺ στήλας αὐτῶν ἀνεγεῖραι τῇ πόλει τὸ σχῆμα ὑποσωζούσας. Ἰουλιανοῦ δὲ στήλη καὶ Ἀναστασίας τῆς αὐτοῦ γαμετῆς, ἣν διὰ τὸ εἶναι Χριστιανὴν ἐξέβαλε τῆς βασιλείας. Αὐτὴ δὲ ἐν τῷ μοναστηρίῳ τῶν Προμούντου ἀπε-

---

§ 70 l. 14—19 = Tr. p. 19, 5 sqq.: Τὸ καλ. Φιλαδέλφιον υἱοί εἰσι τοῦ μ. Κ.· ἡνίκα γὰρ Κ. ἐτελεύτησε, τοῦ Κωνσταντίου ὄντος ἐν τοῖς ἀνατολικοῖς μέρεσι, Κωνσταντῖνος ἀπὸ τῶν Γαλλιῶν ἐρχόμενος συνήφθη Κώνσταντι καὶ ἀσπάζονται ἀλλήλους· οὐχ ὅτι ἐκεῖ συνήφθησαν, ἀλλὰ τῆς ὑπαντῆς αὐτῶν ἐκεῖσε ἀναστηλωθείσης. Inde Codin. II 48 (p. 43, 13 B)

---

1 Dubito utrum interpungam post καθορᾶται (p. 65, 18) an post ζώδιον 2 exspectamus ἣν ἀφιερώσας, sed cf. p. 68, 5 4 συγγράμμασιν ⟨φέρεται⟩? 10 στοιχειοῦντες P, corr. E. Kurtz; cf. Malal. p. 460, 5 δεξάμενος τὰ γράμματα καὶ στοιχήσας ('acceptis litteris et perlectis') 19 ὑποσωζούσαν P Iuliani coniux ab aliis scriptoribus Helena Constantia nominatur

*κείρατο. Αἱ δὲ αὗται στῆλαι μέχρι τοῦ νῦν σώζονται ἐν τῷ Φιλαδελφίῳ.*

71. *Ὁ λεγόμενος Ξηρόλοφος στήλην μὲν ἔχει, καθὼς ὁ Διακρινόμενος λέγει, τοῦ μικροῦ Θεοδοσίου καὶ Οὐαλεντινιανοῦ κάτωθεν τοῦ κίονος καὶ Μαρκιανοῦ. Σεισμοῦ δὲ γενομένου πεπτωκέναι τὴν στήλην, καὶ ὡς λόγος λέγει, ἀνελθεῖν αὐτὴν ἄνωθεν τῶν ἑπτὰ κιόνων· καὶ ὑποστρέψαι ⟨τὴν⟩ Μαρκιανοῦ καὶ Οὐαλεντινιανοῦ ἐν τῷ Τριβουναλίῳ.*

72. *Ὁ λεγόμενος Νεώριος ὁ καὶ Ἀρκάδιος· ὃν Κόνων ἐστοιχειώσατο, εὑρὼν τὸν τόπον πλείστοις πόνοις Κωνσταντίνου τοῦ μεγάλου πονηθέντα· ἐν ᾧ καὶ αἱ ἀγοραὶ τῶν θαλασσίων ἐμπορευμάτων πρώην ὑπῆρχον ἐκεῖ· ἐπὶ Ἰουστινιανοῦ δὲ μετεποιήθησαν εἰς τὸν Ἰουλιανοῦ λιμένα.*

73. *Ὁ Ζεύξιππος τὸ λουτρὸν Σευῆρος καλεῖται· ὑπὸ Σευήρου γὰρ ἐκτίσθη. Σὺν αὐτῷ δὲ καὶ τὸ Ἱπποδρόμιον τὸ πρῶτον ἔλαβε κτίσμα ἐν ὀλίγῳ. Αἱ Κωνσταντιαναὶ ὑπὸ Κωνσταντίνου τοῦ με|γάλου ἐκτίσθησαν, καὶ ἡ λεγομένη Φόσσα. Στῆλαι* B 189 *δὲ πολλαὶ οὖσαι ἐν Κωνσταντιαναῖς διέπεσαν ἄξιαι θαύματος.*

74. *Ὁ ἀγωγὸς ὑπὸ Οὐάλεντος τοῦ Ἀρειανοῦ ἐκτίσθη, καθὼς γράφει Θεόδωρος· ἡ βασιλικὴ κινστέρνη ὑπὸ Κων-*

---

§ 71 l. 3—6 (—*στήλην*) = Tr. p. 19, 13 sq.; inde Codin. II 19 (p. 30, 1 B) § 72 Treu p. 19, 18 sq.: *Ὅτι τὸ νεώριον ὁ Κόνων ἐστοιχειώσατο· ἐν ᾧ κτλ.*; inde Codin. II 68 (p. 52, 5 B) § 73 l. 14—16 (—*ὀλίγῳ*) = Treu p. 19, 22 sq.; inde Codin. II 33 (p. 36, 16 B) § 74 l. 19 = Treu p. 19, 25; inde Cod. II 69 (p. 52, 8 B). — L. 20—p. 68, 3 = Treu p. 19, 27 sq.

---

3 *εἶχε* Tr. 4 *βαλεντινιανοῦ* P 5 *κάτωθεν τοῦ κίονος* post *Μαρκ.* ponit Tr. 7 *τὴν* vel *τὰς* supplendum esse censeo 8 *βάλεντος* P 9 *τὸ λεγόμενον Νεώριον ὁ Ἀρκάδιος ἐτειχίσατο* Lamb. 13 *ἰουστιανοῦ* P 14 *Σευῆρος καλ.* om. Tr., *Σευήρου* Du Cange, Banduri 16 *αἱ*] *καὶ* Comb. 17 *φοῦσσα* P; *φόσσα* scribit P p. 34, 17, *φωσάτου* p. 54, 19 (scripturam codices saepissime variant; cf. de Boor ind. Theophan.) 20 *στέρνη* P

*σταντίνου τοῦ μεγάλου· ἡ δὲ Χρυσορόη ὑπὸ Λικινίου κατ' ἐπιτροπὴν Κωνσταντίνου. Ἡ δὲ χαλκῆ στήλη ἡ ἐν τῇ βασιλικῇ κινστέρνῃ καθημένη Θεοδοσίου τοῦ μεγάλου ἐστίν. Ἡ στήλη ἡ ὄπισθεν τῆς Μαγναύρας κατὰ τὸ ἀνατολικὸν μέρος τοῦ Ἡλιακοῦ μετεώρου Φωκᾶ ἐστιν, καθ' ἣν ἐν τῷ ἑβδόμῳ ἔτει τῆς βασιλείας αὐτοῦ σπουδὴν πολλὴν περὶ τοῦ ἀνελθεῖν ἐπεδείξατο. Μοναχὸς δέ τις ἐκ τῆς τοῦ ὁσίου Θεοδώρου τοῦ λεγομένου Σικεὼν μονῆς — κατὰ ταῦτα γὰρ καὶ ὁ μακάριος Θεόδωρος ἦν ἐν ταῖς ἡμέραις τοῦ αὐτοῦ Φωκᾶ ἐπὶ Θωμᾶ τοῦ νέου πατριάρχου Κωνσταντινουπόλεως, ὃς καὶ σύνθημα ἐποίησε παρακαλέσας τὸν ὅσιον Θεόδωρον εἰπεῖν τῷ Φωκᾷ παύσασθαι ἐκ τῶν ἀκαίρων φόνων· ὃ καὶ ποιήσας ὁ ὅσιος παρήνει τῷ βασιλεῖ μὴ ἀπανθρώπως χρῆσθαι τοῖς ὑπηκόοις. Ὁ δὲ βασιλεὺς ᾔτησεν σημεῖον παρὰ τοῦ πατρὸς εἰς αὐτὸν γενέσθαι διὰ τὴν ποδάγραν καὶ παύσασθαι τῶν πολλῶν φόνων. Εὐξαμένου δὲ τοῦ ὁσίου ἐρρύσθη τῆς νόσου. Αὐτὸς δὲ οὐδὲ οὕτως ἐπαύσατο ἀποκτένων. Ὁ δὲ προειρημένος μοναχὸς ἐθάρρησέ τινι περὶ τοῦ Φωκᾶ, ὅτι κατὰ τὸν*

---

inde Codin. II 40 (p. 38, 15 B). — L. 4 sqq. = Treu p. 19, 30 sqq.: *Περὶ στήλης τοῦ ἀρμαμέντου* (cf. Theophan. p. 274, 22—24): *ἡ στήλη ἡ εἰς τὸ ἀρμαμέντου τοῦ Φωκᾶ ἐστι καὶ ἐν τῷ ἑβδόμῳ ⟨ἔτει⟩ τῆς βασιλείας αὐτοῦ περὶ τὸ τέλος σπουδάζων ἀναγαγεῖν αὐτὴν ἐν τῷ κτιστῷ κίονι μετὰ τὸ ἀναγαγεῖν αὐτὴν δεκαοκτὼ παρελθουσῶν ἡμερῶν κατηνέχθη τῆς βασιλείας· τότε δὲ ἦν Σικεὼν* (cod. *σιμεὼν* [?]) *ὁ ὅσιος*. Inde Codin. II 34 (p. 36, 20 B)

---

1 *Χρυσορρόη*? 4 *μέρους* P 7 sqq. Eadem historia in vita S. Theodori qui dicitur Syceota ap. Theoph. Joannu *Μνημεῖα ἁγιολογ.* p. 480 sqq. 8 *σικαιῶν* P, *συκεώτου* Lamb., sed cf. cod. Paris. gr. 1534 fol. 95 *βίος Θεοδώρου τοῦ Σικεών*. Inc. *Ὁ . . . Θεόδωρος ὁ λεγόμενος Σικεὼν κτλ.* (Catal. codd. graec. hagiogr. bibl. Paris.) *ταύτα* P, *ταυτὸν* Comb. 15 *παύσεσθαι*? 17 *ἀποκτένων* P; Byzant. codd. et *κτένειν* et *κτέννειν* scribunt, cf. ind. Theophan. s. v. *ἀποκτέννω* 18 *κατὰ*] *μετὰ* Comb.

καιρὸν τοῦτον δεινῷ θανάτῳ θνήσκει, ἔτι φιλοσοφοῦντος Σεργίου τοῦ μετὰ τὸν νέον Θωμᾶν ἐπισκοπήσαντος· αὐτὸς γὰρ καὶ τῷ μοναχῷ ἐθάρρησεν. Ἔρχεται οὖν τοῦτο ἐν τοῖς ὠσὶ τοῦ βασιλέως Φωκᾶ ἔτι | τῆς στήλης ἐλαυνομένης· καὶ B 190 τοσαύτῃ σπουδῇ ἐχρήσατο περὶ τῆς ἀναβάσεως τῆς στήλης, ὥστε, καθὼς οἱ τότε ἐξηγήσαντο, ἔτι καὶ ἔτι πλείω φόνους αὐτὸν πεποιηκέναι. Ἀλλὰ καὶ χρήματα πάμπολλα τοῖς δουλεύουσιν ἐχαρίσατο πρὸς τὸ ταχῦναι· καὶ μετὰ ιη´ ἡμέρας τοῦ σταθῆναι τὴν αὐτὴν στήλην κατηνέχθη τῆς βασιλείας, οὐδὲν ἄμεινον ὧν ἔπραξεν ἀπενεγκάμενος, τὸν πικρὸν θάνατον.

**75.** Ἐν τοῖς λεγομένοις Μαρινακίου στήλη ἵστατο, ἐν ᾗ καὶ παράδοξον θέαμα γέγονε. Σεισμοῦ γὰρ γενομένου καὶ παντὸς τοῦ τόπου ἐκείνου ἀπὸ θεμελίου φθαρέντος καὶ τῆς στήλης πεσούσης κάτω τοῦ κίονος σταθῆναι αὐτὴν ὀρθήν, ὡς οἱ πρὸ ἡμῶν ἐξηγήσαντο. Δοκιμασθείσης γὰρ τῆς στήλης εἰς τὸ ἀρχαῖον ἀνατεθῆναι, ἔμεινεν ἄχθος βαρύτατον ἔχουσα. Τοῦτο δὲ ἔλεγον γίνεσθαι ἕως πλειόνων καιρῶν. Τὴν δὲ στήλην εὑρίσκομεν εἶναι Οὐαλεντινιανοῦ τοῦ νεωτέρου· ὥς τινα φιλόσοφον διασαφήσασθαι τότε διὰ τὸν ἄδικον θάνατον Οὐαλεντινιανοῦ τοῦ νεωτέρου † σημειωθῆναι τὴν στήλην· ἕως γὰρ τότε δικαίαν ψῆφον ἀπένεμον τὸν θάνατον τοῦ Ἀετίου.

**76.** Ἐκ τῆς λεγομένης Νικομηδείας στῆλαι πλεῖσται ἐν

§ 76 Treu p. 20, 4 sq.; inde Codin. II 73 (p. 53, 1 B)

9 τὸ σταθῆναι P  10 ἢ τὸν πικρὸν θάνατον Comb., cui adversatur E. Kurtz ('er trug nichts Besseres davon, als das gewesen war, was er gethan hatte, nämlich den bittern Tod')
11 μαρτινακίου Lamb.; sed cf. index Synax. Sirmondi in Anall. Bolland. 1895 p. 425: πέραν ἐν τοῖς Μαρινακίου
18 et 20 βαλεντινιανοῦ P  20 σημειωθῆναι = στοιχειωθῆναι? Comb.  21 locus item corruptus; exspectamus hanc sententiam: ἕως γὰρ τότε δικαίαν ψῆφον (= iudicium) ἀπένεμον (= ἐνόμιζον?) τὸν θάνατον ⟨αὐτοῦ διὰ τὸν θάνατον⟩ τοῦ Ἀετίου  22 ἀνετίου P, corr. Lamb.

*τῇ Κωνσταντινουπόλει ἥκασιν. Ὅθεν καὶ Διοκλητιανοῦ ἐν τῷ Ἱπποδρομίῳ σώζεται ἕως τῆς δεῦρο, ἐπίκυφος οὖσα, ἀναμέσον τοῦ λεγομένου καθίσματος.*

**77.** *Μαξιμιανοῦ στήλη ἐν τοῖς τῆς Χαλκῆς μέρεσι ὑπάρχει βαρυτάτη πάνυ. Ἔνθα καὶ τὸ γένος ἅπαν Θεοδοσίου τοῦ Σπάνου καθορᾶται ἐν στήλαις ἕως τῆς σήμερον.*

B 191 **78.** | *Αἱ Γοργονίδαι λεγόμεναι αἱ τέσσαρες ἐκ τῆς Ἐφέσου ἥκασιν ἀπὸ τοῦ τῆς Ἀρτέμιδος ναοῦ, αἳ κατὰ τὸν σηκὸν τῆς Χαλκῆς περιφέρονται, ἔνθα καὶ σταυροῦ σημεῖον ἄνωθεν αὐτῶν ἵσταται.*

**79.** *Τῆς λεγομένης Ἀρτέμιδος ἡ στήλη ἐν τῷ Ἱπποδρομίῳ ἵσταται, ἔνθα γυμνάζονται οἱ παλαίοντες.*

**80.** *Ἐν τῇ Χαλκῇ πύλῃ τοῦ παλατίου Ζήνωνος καὶ Ἀρεάδνης τῆς σώφρονος ἔσχατον καὶ αἰσχρᾶς τὸ πρότερον ἐν κίοσιν ἵστανται πεζαὶ στῆλαι, ἰάμβους ἐλεγείους ἔχουσαι παρὰ Σεκούνδου φιλοσόφου μερισθεῖσαι.*

**81.** *Ἡ στήλη ἡ πρὸς τὸ Ζεύξιππον θεωροῦσα, ἤτοι ἔμπροσθεν, Ἰουστινιανοῦ καὶ Θεοδώρας ἐστίν· καθ' ἣν καὶ ἐδοξάσθη Ἰουστινιανός, ὅτε ἐτίθετο ἡ αὐτὴ στήλη, κράζοντος τοῦ Πρασίνου μέρους· 'Ἰουστινιανὸς καὶ Κωνσταντῖνος νέοι ἀπόστολοι'· ἐν οἷς καὶ Σοφία ἡ αὐτοῦ γαμετὴ παρὰ Πλούμβα τοῦ φιλοσόφου ἰαμβικοῖς μέτροις τοὺς ἐπαίνους ἐδέξατο.*

---

§ 77 Treu p. 20, 8 sq.; inde Codin. II 28 (p. 34, 20 B) § 78 Treu p. 20, 11 sq.; inde Codin. II 28 (p. 34, 5 B) § 79 Treu p. 20, 15 sq.; inde Codin. II 74 (p. 53, 12 B) § 80 Treu p. 20, 18 sq.; inde Codin. II 28 (p. 34, 3 B)

---

2 *ἐπίκουφος* Lamb. 7 *γοργόνες* Tr. 8 *σηκὸν*] *οἶκον* Tr. (*καταντικρὺς τῆς Χαλκῆς* Lamb.) 9 *φέρονται* Tr. 12 *δοκιμάζονται* Tr. 15 *ἐλεγεῖα* (*ἰάμβους* om.) *ἔχ. Σεκ. φιλ.* Tr. De Secundo philos. cf. Krumbacher Byz. Litt.[2] p. 557 et Orelli Opuscula Graecorum veterum sententiosa I 208 sqq. 16 *μερισθεῖσαι*] cf. p. 27, 4 21 *Σοφία*] aut cum Lamb. *Θεοδώρα* scribas necesse est aut pro *αὐτοῦ* ponas *Ἰουστίνου Πλουμβάτου* Lamb.

**82.** Ἡ ἐν τῷ παλαιοτάτῳ λουτρῷ ὑπάρχουσα στήλη ἐκ χρωμάτων, ἤτοι τὸ Ζεύξιππον, Φιλιππικοῦ τοῦ πρᾴου ἐστὶν τοῦ κατὰ ἄγνοιαν πλανηθέντος· ὡς δὲ ἔχει λόγος, τοιοῦτον αὐτὸν εἶναι οἷον τὸ πρωτότυπον. Μεγάλως γὰρ ἐπῄνεσαν οἱ ζωγράφοι τὸν γράψαντα, ὅτι οὐκ ἐχώρησε τὴν τοῦ βασιλέως μορφὴν πρὸς τὸ ἀρχέτυπον.

**83.** Ἐκ τοῦ λεγομένου Ἰκονίου στῆλαι ἥκασιν ἐν Κωνσταντινουπόλει πλεῖσται, καθ' ἣν καὶ τοῦ Διὸς ἐν τῷ Ἱπποδρομίῳ σώζεται.

**84.** | Τὰ τέσσαρα ἱππάρια τὰ χρυσόβαφα τὰ φερόμενα B 192
ἄνωθεν τοῦ Ἱππικοῦ ἐκ τῆς Χίου νήσου ἥκασιν ἐπὶ Θεοδοσίου τοῦ μικροῦ.

**85.** Ἐκ τοῦ προειρημένου Ἰκονίου Περσέως στήλη καὶ Ἀνδρομέδας θυγατρὸς Βασιλίσκου ὑπαρχούσης, ὡς οἱ μῦθοί φασι καί τις τῶν ἱστορικῶν, δίδοσθαι θυσίαν τῷ ἐκεῖσε ἐμφωλεύοντι δράκοντι. Οὕτως γὰρ ἦν ἐκ παλαιᾶς συνηθείας δίδοσθαι παρθένον κόρην τῷ θηρίῳ· καθ' ἣν Ἀνδρομέδα δεθεῖσα θανάτου † αἰτία τῷ θηρίῳ ἔμελλεν δίδοσθαι. Ὁ γοῦν προειρημένος Περσεὺς ἐκεῖσε ἥκων πύθεται κλαιούσῃ τῇ Ἀνδρομέδῃ, τί ἂν εἴη δεδεμένη καὶ θρηνοῦσα. Ἡ δὲ τὸ

---

§ 82 l. 1—2 = Treu p. 20, 21 sq.: Ἡ ἐν τῷ Ζευξίππῳ λουτρῷ ὑπάρχουσα στήλη ἐκ χρωμάτων τοῦ Φιλιππικοῦ ἐστι τοῦ πρᾳοτάτου. Inde Codin. II 39 (p. 38, 13 B)   § 84 Treu p. 20, 24 sq.; inde Codin. II 75 (p. 53, 14 B)   § 85 Anon. Treu p. 20, 27 sq. pauca omisit, reliqua fere ad verbum exscripsit. Inde Codin. II 85 (p. 58, 4 B)

---

2 τῷ Ζευξίππῳ Lamb. (cf. Tr.); sed appositionem alio ac legitimo casu poni huic aetati non alienum; v. Malal. p. 128, 19 et not. Dind.   5 Fort. ἐχώρισε, ut χωρίζειν τι dictum sit pro χωρίζεσθαί τινος   13 Ad rem cf. Joh. Antioch. F. H. Gr. 4, 544, 18 (cum notis), Malal. p. 36, 18 (= Chron. Pasch. p. 71), Glycas p. 264, 17   στῆλαι Tr.   14 ὡς] ἦν Lamb.
18 θανάτου αἰτία] vix significare potest morti destinatam; pro eo βορά Tr.

*συμβὰν ἐξηγήσατο. Τοῦ δὲ καθίσαντος ἧκε τὸ θηρίον. Αὐτὸς δὲ Γοργόνης κεφαλὴν ἐν πήρᾳ κατέχων ὀπισθοφανῶς στραφεὶς δείκνυσι τὸ θηρίον· ὅπερ ἰδὼν ἐκεῖνος ἀπέψυξεν. Ἐκλήθη οὖν Ἰκόνιον παρὰ λογιστοῦ Φιλοδώρου ἡ πόλις διὰ τὸ ἡκέναι τὸν Περσέα καὶ σῶσαι τὴν Ἀνδρομέδαν, φαῖνον εὐτύχημα τῇ πόλει ἐκ τοῦ ἥκοντος Περσέως. Ἦν δὲ ὄνομα τῇ πόλει τὸ ἀπὸ γενέσεως Δορία, ἔπειτα ἐκλήθη Θρηνῳδία, παρὰ δὲ Φιλοδώρου τοῦ λογιστοῦ ἐκ τοῦ ἥκειν τὸν Περσέα ἐκλήθη Ἰκόνιον. Ἔνθα ἐστηλώθη ὁ αὐτὸς Περσεὺς σὺν τῇ Ἀνδρομέδῃ ἐπάνω τῆς πόρτης τῆς πόλεως· καθ' ἣν καὶ θυσίαι πολλαὶ γεγόνασιν ἐκεῖσε παρὰ Δεκίου καὶ Διοκλητιανοῦ καὶ Μαξιμιανοῦ· ἔνθα πλεῖστοι ἅγιοι ἐμαρτύρησαν. Ἥκασιν οὖν τοῦ τε Περσέως καὶ Ἀνδρομέδας αἱ στῆλαι,*
B 193 *ὡς | λόγος ἔχει, ἐπὶ Κωνσταντίου μετὰ τὸ πληρωθῆναι τὴν Ἀντιοχέων ἐκκλησίαν, ἐν τῷ Κωνσταντιαναῖς λουτρῷ.*

**86.** *Ἀναστασίου στήλη ὑπάρχει ἡ ὄπισθεν τοῦ ἁγίου μάρτυρος Μηνᾶ, ἥτις στήλη ἐστάθη μετὰ τὸ παύσασθαι τὴν βοοθυσίαν τῶν εἰδώλων καὶ γενέσθαι πορνεῖον τὸν τόπον, τοῦ βασιλέως τοῦτο κελεύσαντος ἐπὶ τὸ ἀτιμασθῆναι τὸν τόπον.*

**87.** *Ἐν τῇ καλουμένῃ Ἀετίου κινστέρνῃ, ἥτις ὑπὸ Ἀετίου*

---

§ 87 Treu p. 21, 13 sq.: *Ἐν τῇ καλ. Ἀ. κινστέρνῃ, ἥτις ὑπὸ Ἀ. πατρικίου ἐκτίσθη ἐπὶ Οὐάλεντος, στήλη ἵστατο τοῦ αὐτοῦ Ἀετίου* (nil ultra). Inde Codin. II 71 (p. 52, 14 B)

---

3 *τῷ θηρίῳ* Lamb., sed cf. Byz. Zeitschr. VII 377; Treu addit *τὸ δηλητήριον* *ἐκεῖνο* Tr.; sed subiectum subauditur *δράκων*; *ὅπερ ἰδὸν ἐκείνην* Lamb. 4 *Φιλοδ.*] *φιλοσόφου* P, *Φιλοχώρου* hic et l. 8 Lamb. 5 *ἡκέναι* — 6 *Περσέως*] *τὸν Περσέα δεῖξαι τὴν εἰκόνα ἐκεῖσε* Tr. *φόνοις ἀτύχημα* P, corrigebam 6 *Περσέως*] *περσαίου* P 7 *Δορία*] *δάνεια* Tr. (*δαναεία* Lamb.); ad nomen cf. *Δορίειον*, *Δορυλάειον*, *Δορηνοί* (?) Buresch Aus Lydien p. 78 *ἐπλήσθη θρηνῳδία* Tr. (*ἐπλήσθη θρηνῳδίας καὶ ἔκτοτε ἐκλήθη θρῆνος* Codin.) 9 *ἐτελειώθη* P et Tr., corrigebam 10 post *πόλεως* Band. inserit *ἐστηλώθη ἀμφότερος* *καθ' ἣν* — 12 *ἐμαρτύρησαν* om. Tr. 15 *ἐν τῷ Κωνστ. λουτρῷ* in P falso initium sunt capitis insequentis; recte Anon. Treu (ubi *Κωνσταντιανῷ*) 20 *κηστέρνῃ* P

*πατρικίου κτισθεῖσα ἐν ταῖς ἡμέραις Οὐαλεντινιανοῦ· ἔνθα ἡ στήλη αὐτοῦ τοῦ Οὐαλεντινιανοῦ ἐν τῇ κινστέρνῃ σώζεται δορυφοροῦντος αὐτὴν τοῦ Ἀετίου.*

**88.** *Ἡ λεγομένη Ἄσπαρος ὑπὸ Ἄσπαρος καὶ Ἀρδαβουρίου τῶν ἐπὶ Λέοντος τοῦ μεγάλου οἰκοδομεῖται· καθ' ἣν Ἄσπαρ καὶ Ἀρδαβούριος πληρωθείσης αὐτῆς τὸν ὄλεθρον ὑπομένουσιν.*

**89.** *Τὴν λεγομένην Κράνον νῆσον ἐστοιχειώσατο Βερίνα, καθ' ἣν οὐδεμία εὑρίσκεται φροντίς, τίνος χάριν ταύτην στοιχειοῦται. Ἐν δὲ τῷ στοιχειωθῆναι τὴν αὐτὴν νῆσον ἀθρόως θάνατοι γεγόνασι πλεῖστοι, ὅθεν ἐρημοῦται διαρκέσασα μέχρι τῶν χρόνων Ἰουστινιανοῦ τοῦ τρίτου τὴν θάλασσαν προστάξαντος ἀναπλῶσαι ἐν αὐτῇ εἰς τέλειον ἀφανισμόν.*

---

§ 88 Treu p. 21, 17 sq.; inde Codin. II 70 (p. 52, 10 B)

---

1 et 2 *οὐάλεντος* P, correxi; est Valentinianus III; cf. p. 67, 8  3 *δορυφορούσης* P, correxit Comb.  4 utroque loco *ἄσπορος* P  *ἐπὶ* P, *ὑπὸ* Tr.  10 *αὐτὴν* bis scribit P  12 *τρίτου* = *τρίς* saepe apud Const. Porphyrog.; *τρίτου* legit et scribit Lamb. ceterique  13 *ἀναπλεῦσαι* P, *ἀναπλοῦσαι* Comb., *ἀναπλῶσαι* Bekker (*ἀναπλοῦν* = *ἀναπληροῦν*, cf. Wendland Rh. Mus. 1898, p. 30).

# *Διήγησις περὶ τῆς οἰκοδομῆς τοῦ ναοῦ τῆς μεγάλης τοῦ θεοῦ ἐκκλησίας τῆς ἐπονομαζομένης ἁγίας Σοφίας.*

*Ἐστὶν δὲ ἡ οἰκοδομὴ τῆς αὐτῆς ἐκκλησίας ἐν Κωνσταντινουπόλει οὕτως·*

Ba(nduri p.) 65 **1.** Ἡ μεγάλη ἐκκλησία ἡ ἁγία Σοφία, πρῶτον μὲν ἀνήγειρεν αὐτὴν ὁ μέγας Κωνσταντῖνος δρομικήν, ὁμοίαν τοῦ ἁγίου Ἀγαθονίκου καὶ τοῦ ἁγίου Ἀκακίου. Καὶ πληρώσας αὐτὴν στήλας ἔστησε πολλάς. Διήρκεσε δὲ τὸ κτίσμα ἐκεῖνο χρόνους οδ΄. Ἐν δὲ τοῖς χρόνοις Θεοδοσίου τοῦ μεγάλου εἰς τὴν δευτέραν σύνοδον τὴν ἐν Κωνσταντινουπόλει γενο-

---

*Discrepantia antiquae versionis Latinae, i. e. Radulfi de Diceto (et Radulfi Nigri):* 7 *δρομικήν*] amplam

---

1—5 Titulus exstat in PVR, de K et C vide alterum fasciculum 6 post *Σοφία* inserit Z *οὕτως ἐκτίσθη* 6—8 *Τὴν δὲ μεγάλην ἐκκλ. ἤγουν τὴν ἁ. Σοφίαν, εἰδωλεῖα ὄντα ἐκεῖσε πολλὰ καὶ ἀγάλματα ἱστάμενα ἀφεῖλεν αὐτὰ καθὼς προείρηται ὁ μέγας Κωνσταντῖνος καὶ Ἰουστινιανός· ὅμως ὁ μέγας Κωνσταντῖνος πρώην αὐτὴν ἀνήγειρε δρομικὴν ὁμοίαν τοῦ ἁ. Ἀγαθονίκου καὶ τῆς ἁ. Δυνάμεως καὶ τῆς ἁ. Εἰρήνης τῆς παλαιᾶς τῆς οὔσης πλησίον τῆς ἁ. Σοφίας· ἤγουν εἰρήνην, δύναμιν καὶ σοφίαν καὶ νίκην. Πλησίον τῆς μεγ. ἐκκλ. στήλας ἔστησε πολλάς* (*ὡς προείπομεν* add. B) K 7 *δρομικήν*] cf. Codin I 49 (p. 16, 15 Bekk.) *ὁμοίαν κτλ.*] *ὡσὰν τὴν Βλαχέρναν τὸν ναόν* Vind. 129 8 *Ἀνδρονίκου* sine codicum auctoritate Comb. 10 sqq. Falsa tradit auctor, sed nolui corrigere, v. ad p. 75, 8 11 *ἐν κωνσταντίνου πόλιν* RD

*μένην στασιάσαντες οἱ Ἀρειανοὶ κατέφλεξαν τὴν στέγην τῆς αὐτῆς μεγάλης ἐκκλησίας, ὄντος πατριάρχου Νεκταρίου τοῦ ἁγιωτάτου ἐν τῇ ἁγίᾳ Εἰρήνῃ τῇ παλαιᾷ καθεζομένου, ἣν καὶ αὐτὴν ἀνήγειρεν ὁ μέγας Κωνσταντῖνος. Διῆλθον δὲ χρόνοι δύο καὶ ἵστατο ἀσκεπής. Προστάξας δὲ Θεοδόσιος ὁ βασιλεὺς Ῥουφῖνον τὸν μάγιστρον αὐτοῦ καὶ ἐστέγασεν αὐτὴν διὰ κυλινδρικῶν καμάρων. Μετὰ δὲ ρλβʹ χρόνους τοῦ Θεοδοσίου, σηʹ ἐτῶν διελθόντων ἀπὸ τοῦ μεγάλου Κωνσταντίνου, εἰς τὸν πέμπτον χρόνον τῆς βασιλείας Ἰουστινιανοῦ τοῦ μεγάλου μετὰ τὸ γενέσθαι τὴν σφαγὴν ἐν | τῷ Ἱππικῷ* Ba 66 *(λεʹ χιλιάδων ἐκεῖσε ἀναιρεθέντων διὰ τὸ ἀναγορευθῆναι ὑπὸ τῶν δύο δημοτικῶν μερῶν Ὑπάτιον πατρίκιον καὶ δήμαρχον μέρους Βενέτων) — ἐν τῷ πέμπτῳ ἔτει τῆς βασιλείας αὐτοῦ τοῦ Ἰουστινιανοῦ ἐνέπνευσεν ὁ θεὸς εἰς τὴν διάνοιαν αὐτοῦ τοῦ οἰκοδομῆσαι ναόν, οἷος οὐκ ἐκτίσθη ἀπὸ τοῦ Ἀδάμ.*

**2.** *Ἔγραψε δὲ καὶ τοῖς στρατηγοῖς καὶ σατράπαις καὶ κριταῖς καὶ φορολόγοις τοῖς ὑπὸ τῶν θεμάτων ἅπασιν ἐρευ-*

---

7 rotundis marmoribus (Rad. Niger) 16 Scripsit autem Iustinianus tributariis omnibus qui erant in provinciis omnibus etc.

---

5 *δύο*] *ιβʹ* $A_2$, *ιςʹ* B 7 *μαρμάρων* M Vind. 94, cf. Rad. *ρλβʹ*] *τριάκοντα* R, *λβʹ* PVC, correxi ex K Pal. 239 *τοῦ Θεοδοσίου* om. M 8 *πεʹ* codd. praeter M, qui *ἔτους διακοσιοστοῦ* habet, et Pal. 239, qui *σεʹ ἔτους*, et Z qui *διακοσίων πέντε*. *σηʹ* ego scripsi; nam etsi auctor falsa tradit de Theodosio, tamen reliqui numeri optime consentiunt (324 + 74 + 2 + 132 = 532 i. e. quintus annus Iustiniani) *ἔτη διελθόντα* R, sequor VF (*ἔτη διελθόντων* PE, *ἔτη διελθόντι* D, *χρόνοι διῆλθον* A, om. BM) 9 *τῆς βασιλείας* om. R 13 *αὐτοῦ τοῦ* om. R 15 *ἐκτίσθην* R 17 *ἀκρίταις*? *τοῖς*] *ταῖς* R, *τοὺς* C *ἅπασιν*] *ἅπαντας* PVRC, cf. Radulf. (*ἔγραψε δὲ καὶ τοὺς στρατηγοὺς καὶ τοπάρχας καὶ σατράπας καὶ δοῦκας καὶ πάντας τοὺς ὄντας ἀρχηγέτας πάντων τῶν βασιλικῶν θεμάτων ἀνατολῆς τε καὶ δύσεως κτλ.* A, similiter BM)

*νᾶν πάντας αὐτούς, ὅπως εὕρωσι κίονάς τε καὶ συστεμάτια στήθεά τε καὶ ἀβάκια καὶ καγκελλοθυρίδια καὶ τὴν λοιπὴν ὕλην τὴν ἀνήκουσαν εἰς τὸ ἀνεγεῖραι ναόν. Πάντες δὲ οἱ παρ' αὐτοῦ ὁρισθέντες ἀπὸ εἰδωλικῶν ναῶν καὶ ἀπὸ παλαιῶν λουτρῶν τε καὶ οἴκων ἔπεμπον τῷ βασιλεῖ Ἰουστινιανῷ μετὰ σχιδέων ἀπὸ πάντων τῶν θεμάτων ἀνατολῆς τε καὶ δύσεως, βορέα τε καὶ νότου καὶ ἐκ πάντων τῶν νήσων. Καὶ τοὺς μὲν ὀκτὼ κίονας τοὺς Ῥωμαίους, καθώς φησιν ὁ Πλούταρχος πρωτασηκρήτης καὶ ἐπιστολογράφος Ἰουστινιανοῦ, μετὰ σχιδέας ἀπέστειλε χήρα γυνὴ ἀπὸ Ῥώμης, ὀνόματι Μαρκία· εἶχε δὲ αὐτοὺς εἰς προῖκα αὐτῆς. Ἵσταντο δὲ εἰς Ῥώμην εἰς τὸν ναὸν Ἡλίου τὸν κτισθέντα παρὰ Αὐρηλιανοῦ βασιλέως Ῥώμης τοῦ προδώσαντος ἑαυτὸν Πέρσαις. Ἡ δὲ προειρημένη Μαρκία ἔγραψε τῷ βασιλεῖ οὕτως· ὅτι 'ἀποστέλλω κίονας ἰσομήκους, ἰσοπλάτους, ἰσοστάθμους ὑπὲρ ψυχικῆς σωτηρίας μου.' Τοὺς δὲ ὀκτὼ πρασίνους κίονας τοὺς ἀξιοθαυμάστους ἐκόμισε Κωνσταντῖνος στρατηγὸς ἀπὸ*

---

1 *πάντας* om. PV *συστεμμάτια* R; in hac voce valde discrepant codd. (cf. Schweizer Gramm. der pergam. Inschr. p. 47 sq.) 2 *καγγελοθυρίδια* R, *καγκελλοθύριδα* EF, *καγκελλοθυρίδας* PVD, *καγγελοθυρίδα* B, *καγκελλοθυρίδες* AM 4 ante *ἀπὸ* inserunt *εὑρόντες* PVM *καὶ παλατίων καὶ λοετρῶν* K 5 *λουετρῶν* RD, *λοετρῶν* P ante *ἔπεμπον* inserunt *καὶ συναγαγόντες* PV 6 *σχηδαίων* R (*σχιδέων* E, *σχιδαίων* M), *σχηδεῶν* PV, *σχεδιῶν* AB, ////*δίων* F, om. D, *σχεδέων* Z Voss. Post *σχιδέων* inserit Vindob. 77 *ὡς οἶμαι τοῦτο λογιζόμενος ἵνα μὴ τῶν ἀλόγων ζώων στεναζόντων διὰ τοῦ βάρους γένηται τὸ ἔργον ἀπροςδόκητον τῷ θεῷ* (similia tradit Marc. app. VII 43) 7 *βορᾶς* R, *βορρᾷ* C *νησίων* DF 9 *ἀσικρίτης* RMA$_1$, om. PV, *ἀσύγκριτος* EF, sequor A$_2$BDZ 10 *σχιδέας* vel *σχηδαίας* PVRC (*σχεδιῶν* A$_2$B, om. MA$_1$, *σχεδέων* Z, *σχεδαίας* Voss.) 11 *Μαρκία*] cf. Codin. p. 76, 6 et 108, 8 B 12 *τοῦ κτισθέντος* codd. praeter MA$_1$ 13 *Ἡ δὲ* — 16 *μου* in PVRDF post *ἀμφοτέρους* (p. 77, 1) ponuntur. Correxi ex KE 15 *ἰσομηκοπλάτους* PV, *ἰσομήκεις* DF (*ἰσομήκους, ἰσοκύκλους, τολμῶ εἰπεῖν καὶ ἰσοστάθμους* K) 17 *Κωνστ. στρατ.*] *ὁ στρατηγὸς Ἰωάννης* MA$_1$Z

*Ἐφέσου λελατομημένους ἀμφοτέρους. Τοὺς δὲ λοιποὺς κίονας τοὺς μὲν ἀπὸ Κυζίκου, τοὺς δὲ ἀπὸ Τρωάδος, ἄλλους ἐκ τῶν Κυκλάδων νήσων οἱ ἄρχοντες τῷ βασιλεῖ ἀπέστειλαν· καὶ λοιπὴν ἱκανὴν ὕλην ἀπετίθουν. Ἀπεσωρεύθη δὲ πᾶσα ἡ ὕλη διὰ χρόνων ἑπτὰ ἥμισυ. Τῷ δὲ δωδεκάτῳ ἔτει τῆς βασιλείας Ἰουστινιανὸς τὸν προειρημένον ναὸν τὸν παρὰ τοῦ μεγάλου βασιλέως κτισθέντα Κωνσταντίνου ἐκ θεμελίων κατέστρεψε. Τὴν δὲ ὕλην ἰδίως ἀπέθετο· οὐδὲ γὰρ χρείαν αὐτῆς εἶχε διὰ τὸ πολλὴν καὶ ἄπειρον. ὕλην ἑτοιμάσαι.*

**3.** *Ἤρ|ξατο δὲ ὠνεῖσθαι οἰκήματα τῶν ἐκεῖσε οἰκούν-* Ba 67
*των· καὶ πρῶτον μὲν χήρας τινὸς γυναικός, ὀνόματι Ἄννης, οἰκήματα· καὶ ἀπετιμήθησαν νομίσματα πε΄. Ἐκείνης δὲ μὴ βουλομένης ταῦτα διαπωλῆσαι τῷ βασιλεῖ ἔλεγεν· ὅτι ʽμέχρι πεντήκοντα λιτρῶν ἐάν μοι παρέχεις, οὐ δίδω σοι αὐτά.᾿ Καὶ ὁ βασιλεὺς τῶν μεγιστάνων αὐτοῦ πολλοὺς ἀποστείλας εἰς ἱκεσίαν τῆς γυναικός, οὐδὲν ἤνυον. Παραγενόμενος τοίνυν ὁ βασιλεὺς εἰς ἱκεσίαν τῆς γυναικὸς ἐδέετο αὐτῆς περὶ τῶν οἰκημάτων. Ἡ δὲ θεασαμένη τὸν βασιλέα προσέπεσε τοῖς ποσὶν αὐτοῦ δεομένη τὸν βασιλέα καὶ λέγουσα· ὅτι ʽτιμὴν μὲν οὐκ ὀφείλω λαβεῖν εἰς τὰ οἰκήματα· τὸν δὲ ναὸν ὃν*

---

20 sqq. sed precor, d o m i n e, ut sepeliatur corpus meum in

---

2 *κυζίκων* PV *τροάδα* R 3 *νήσω* R. Plura etiam loca enumerantur in Vind. 77 et 94 *οἱ ἄρχ.* (*δὲ* add. C.) *τοῦ βασιλέως* RC *ἀπέστειλαν* om. RC 4 *καὶ οἱ λοιποὶ ἱκανὴν ὕλην ἀπετίθεσαν* C, *καὶ λοιπὸν ἱκανὴ ὕλη ἀπετέθη* PV (*τὴν ἑτέραν λοιπὴν ἅπασαν ὕλην ἐπισυνάξαντες ἀπέστελλον κτλ.* $A_2$, *πᾶσαν δὲ ὕλην εὑρόντες καὶ ἀποστείλαντες κτλ.* $MA_1$, om. B 5 *διὰ χρόνους* R, *εἰς χρόνους* K *τῶ δὲ δεκάτω ἔτη* RC, correxi ex K Vind. 77 6 *ἰουστινιανοῦ* codd., correxi 12 *καὶ* om. RC *νομίσματα*] ıı PV, *νομίσματα λίτρας* C, om. $A_2$B 13 *τῷ* om. R *μέχρι λιτρῶν ὀκτώ* $MA_1$, *μέχρι νομισμάτων λίτρας φ΄* $A_2$B, *ἄχρι* (in D corrupte *χρυσίων*) *ν΄ κεντηναρίων* C 14 *παρέχεις* R, *παράσχεις* (*παράσχης*) PVK, *ἐπιδώσης* C *δώσω* PVC 16 *τῆς γυναικὸς* om. RFD *ἤνυε* CV (*ἡ δὲ οὐκ ἤνυεν* $A_2$B, *ἡ δὲ οὐκ ἐπίθετο* $MA_1$)

*βούλει κτίσαι, αἰτοῦμαί σοι, ἵνα ἔχω καὶ ἐγὼ ⟨κοινωνίαν εἰς αὐτὸν καὶ ἔχω⟩ ἐν ἡμέρᾳ κρίσεως μισθὸν καὶ ταφῶ εἰς τὰ οἰκήματα πλησίον.' Ὁ δὲ βασιλεὺς ὑπέσχετο αὐτῇ ταφῆναι ἐκεῖσε μετὰ τὸ τελειωθῆναι τὸν ναόν, ὡς ἴδιον κτῆμα δοῦσα, καὶ μνημονεύεσθαι διηνεκῶς. Ἐστὶν δὲ ὁ τόπος τῶν οἰκημάτων αὐτῆς τὸ σκευοφυλακεῖον ὅλον.*

**4.** *Τὸ δὲ ὀνομαζόμενον ἅγιον φρέαρ καὶ τὸ θυσιαστήριον ὅλον καὶ ὁ τόπος τοῦ ἄμβωνος καὶ ἕως τὴν μέσην τοῦ ναοῦ ὑπῆρχεν οἶκος Ἀντιόχου εὐνούχου ὀστιαρίου καὶ ἀπετιμήθη λίτρας λη'. Τοῦ δὲ δυσχεραίνοντος μὴ πρᾶσαι τὸν ἴδιον οἶκον τῷ βασιλεῖ, φιλοδίκαιος ὢν ὁ βασιλεὺς καὶ μισοπόνηρος πρὸς τὸ μὴ θέλειν τινὰ ἀδικῆσαι ἠθύμει ἀδημονῶν, τὸ τί ἂν πράξοι. Στρατήγιος δὲ μάγιστρος, ὁ τῶν*

---

habitationibus meis; unde contigit quod sola ipsa in templo sepulta est.

---

1 *αἰτοῦμαι σε* PVC *αἰτοῦμαι κτλ.*] *θέλω δὲ κοινωνὸν κἀμὲ γενέσθαι εἰς τὸν κτιζόμενον ναόν, ἵνα ἔχω κἀγὼ μισθὸν ἐν ἡμέρα κρίσεως καὶ μετὰ θάνατόν μου ταφῶ πλησίον τῶν οἰκημάτων μου καὶ διηνεκῶς μνημονεύεσθαι ὡς κτῆμα δοῦσαν αὐτά* $A_2$B (similiter $A_1$M), *καὶ θέλω νὰ ἔχω μνημόσυνον εἰς τὸν ναὸν καὶ μισθὸν ἐν τῇ ἡμέρᾳ τῆς κρίσεως καὶ νὰ ταφῶ καὶ εἰς τὰ ὡσπίτιά μου πλησίον* Vind. 129; *κοινωνίαν — ἔχω* inserui coll. K et Vind. 129 3 *αὐτὴν τοῦ ταφῆναι* P 4 *τὸν ναὸν*] hic addit E: *καὶ τὴν γυναῖκα ἔτυχε τότε ἀποθανεῖν καὶ ἐτάφη ὑποκάτω τοῦ σκευοφυλακίου* 5 *δοῦσαν* E$A_2$B *ὁ τόπος*] *ἀπὸ* R 6 *αὐτῆς* et *ὅλον* om. R *σκευφυλάκιον* PVCM; *τὸ β ῆ μ α ὅ λ ο ν κ α ὶ τὸ σκευοφ.* E, *τὸ σκευοφ. ὅλον σ ὺ ν τ ῶ ν α ῶ τ ο ῦ ἁ γ ί ο υ π έ τ ρ ο υ* K 7 *τὸ σ τ ά δ ι ο ν τοῦ ἁ. φρέατος* Vind. 77 *θυσιαστήριον*] *βῆμα* M$A_1$ 8 *ἕως τῆς μέσης* DF$A_2$B, *ἕως τὸ μέσον* E Vind. 77, *ἕως τοῦ μέσον* Z, *ἡ μέσις* PV (*καὶ ἕως — ναοῦ* om. M$A_1$) 10 *λιτρῶν* PV (*εἰς ὑπέρπυρα λίτρας ν'* $A_2$B) *τοῦ μὴ πιπράσαι ἀ ξ ί ω ς τὸν ἴδιον κτλ.* $A_2$B, *δυσχεραίν. καὶ μὴ θέλοντος αὐτὸν πωλῆσαι* $A_1$M 12 *θέλων* VRDE, *θέλ* P, *πρὸς τοῦ μὴ θέλειν* F, *καὶ μὴ θέλων λυπηθῆναί τινα* $A_1$M; sequor $A_2$B 13 *τί πράξοι* CAB, *τί πράξει* PVM *μάγιστρος ὢν τοῦ βασιλέως καὶ τῶν κτλ.* REF *ὁ τῶν βασιλ. κτλ.*] *προκαθή-*

*βασιλικῶν χρημάτων φύλαξ, ὁ τοῦ βασιλέως ἀδελφοποιητός, ὑπισχνεῖται τῷ βασιλεῖ διοικῆσαι τοῦτο διά τινος μηχανῆς. Ὁ δὲ ῥηθεὶς Ἀντίοχος ὀστιάριος φιλοϊππόδρομος ὤν, ἱππικοῦ ἀγομένου ὁ μάγιστρος Στρατήγιος καθεῖρξεν τὸν εὐνοῦχον ἐν τῇ φρουρᾷ. Τῇ δὲ ἡμέρᾳ τοῦ ἱππικοῦ ἤρξατο στριγγίζειν ἐκ τῆς εἱρκτῆς· ‘θεάσωμαι τὸ ἱπποδρόμιον καὶ τὸ θέλημα τοῦ βασιλέως ποιήσω.’ Ἤγαγον δὲ αὐτὸν ἐν τῷ στάματι τοῦ καθίσματος, ἐν ᾧ ἐκαθέζετο ὁ βασιλεὺς ἐν τῷ ἱπποδρομίῳ, καὶ ἐκεῖσε ἐποίησε τὴν διάπρασιν ὑπογράψαντος ἐκεῖσε τοῦ κυαίστορος καὶ τῆς συγκλήτου πάσης πρὸ τοῦ τοὺς ἵππους γυμνάσαι. Τύπος δὲ ἦν ἐκ παλαιοῦ, ἡνίκα ἀνήρχετο ὁ βασιλεὺς ἐν τῷ καθίσματι, παρευθὺς ἔτρεχον οἱ ἡνιοχευτικοὶ ἵπποι· διότι δὲ ἤργησαν εἰς τὴν πρᾶσιν τῶν οἰκημάτων τοῦ εὐνούχου, μέχρι τῆς σήμερον ἀργῶς ἐξέρχονται τὰ ἡνιοχευτικὰ ἅρματα τῶν ἵππων.*

**5.** *Τὸ δὲ δεξιὸν μέρος τοῦ γυναικίτου ὅλον καὶ ἕως* Ba 68
*τοῦ κίονος τοῦ ἁγίου Βασιλείου καὶ ἐκ τοῦ ναοῦ μέρος τι ὑπῆρχον οἰκήματα Χαρίτωνος εὐνούχου τὸ ἐπίκλην*

---

*μενος τοῦ βεστιαρίου* Vind. 129   2 *τοῦ διοικῆσαι* PVCZ, *τοῦ νικῆσαι* $A_2$B (*νὰ μηχανήσεται τὸν εὐν.* Vind. 129)   *τοῦτο*] *αὐτὸν* K, cf. Vind. 129   3 *ἐφίλει τὸ κυάνεον χρῶμα φιλοϊππόδρ. ὢν καὶ ἀντεποιεῖτο αὐτοῦ λίαν καὶ ἔχαιρεν ἐπ' αὐτῷ· ἱππικοῦ δὲ κτλ.* K; *ἠγάπα πολλὰ νὰ βλέπει εἰς τὸ ὑποδρόμην, ὅταν ἐκράζουν* (sic) *αἱ καρούχαι* Vind. 129   4 *καθείρξας αὐτὸν εἰς τὸ πραιτώριον* K   5 *ἄξατο* R   6 *εἰ θεάσομαι* M, *ἂς θεάσομαι* A, *ἴδω* B   7 Ante *ἤγαγον* inserunt $A_2$B *ὑπομνησθέντος δὲ τοῦ βασιλέως* (*ὑπομνησθεὶς δὲ ὁ β.* $A_1$M)   7 sq. *ἐν τῷ σένσζω* Vind. 77   9 *ἐπόισε τὴν ὠνὴν* R   10 Post *πάσης* addunt $A_2$B *ἐπράθησαν δὲ εἰς ὑπέρπυρα* (pro hac voce *χάριν* (!) $A_2$) *λίτρας πε'*   *πρὸ τοῦ—15 ἵππων* om. K   *πρὸ τοῦ τοὺς*] *πρὸ τοὺς* V, *πρὸς τὸ τοὺς* R (*πρὸ τοῦ ἐνανακράζουν αἱ καρούχαι· καὶ τότε ἐγένετο ἡ συνέσις* (*σύνδεσις*?) *τῶν ἀλόγων* Vind. 129)   11 *γυμνάσαι*] *δραμεῖν* Z   *ὡς ἡνίκα* Z   12 *ἀπήρχετο* RV   16 *Τὸ δὲ δεξιὸν μέρος—μέρος τι*] *τὸ δὲ δεξιὸν μέρος τοῦ ναοῦ* K (nil ultra)   *τοῦ γυναικίτου* om. C

*Χηνοπούλου, ἃ καὶ ἐξωνίσθησαν μετ' εὐχαριστίας. Τὸ δὲ ἀριστερὸν μέρος τοῦ γυναικίτου καὶ ἕως τοῦ κίονος τοῦ ἁγίου Γρηγορίου τοῦ θαυματουργοῦ ὑπῆρχον οἰκήματα Ξενοφῶντός τινος τῇ τέχνῃ βασιλισκαρίου· ὃς θέλων ἐξωνισθῆναι τὰ οἰκήματα αὐτοῦ ᾐτήσατο τῷ βασιλεῖ μὴ μόνον τίμημα διπλοῦν λαβεῖν εἰς τὰς σκηνὰς αὐτοῦ, ἀλλ' ἵνα ποιήσῃ τοῦτον ἐν τῷ ἀγομένῳ ἱππικῷ, ἐν ᾧ ἐπιτελεῖται, τιμᾶσθαι καὶ προςκυνεῖσθαι παρὰ τῶν τεσσάρων ἡνιόχων. Τοῦ δὲ βασιλέως προςτάξαντος τοῦτο, πρὸς γέλωτα πεποίηκεν εἰς τὸ διηνεκές, ἵνα τυπωθῇ εἰς τοὺς ἀεὶ χρόνους, ἐν τῇ ἡμέρᾳ τοῦ ἀγομένου ἱππικοῦ καθέζεσθαι τοῦτον ἐν τοῖς καγκέλλοις μέσον καὶ τὰ ὀπίσθια αὐτοῦ προςκυνεῖσθαι παρὰ τῶν ἡνιόχων πρὸς γέλωτα πρὸ τοῦ ἀναβῆναι αὐτοὺς ἐπὶ τῶν ἁρμάτων· καὶ τοῦτο διήρκεσε μέχρι τῆς σήμερον· ὃς καλεῖται ἄρχων τῶν καταχθονίων· ἀμφιέννυται δὲ χλαμύδα λευκὴν*

---

1 *χηνοπώλου* PF, *χηνοπώλω* V, *χηνόπουλος* DE, *χηνοπόδη* $A_2$B, *χηνόποδ*[o] M$A_1$, *χιονοπούλου* Z *ἐξωνήθησαν* EF *καὶ μετὰ εὐχαριστίας πολλῆς δέδωκεν αὐτὰ* (om. $A_2$B) *τῷ βασιλεῖ ἐπὶ* (om. $A_2$B) *διπλῷ τιμήματι ἀποτιμηθέντα* (om. M) *λίτρας* (*νομίσματα* AB) *δώδεκα* K 4 *βασιλισκαρίου*] *ῥάπτου* K *ἐξονηθῆναι* PV, *ἐξωνήσασθαι* C 5 *ᾐτήσατο τὸν βασιλέα ἵνα λάβῃ διπλοῦν τὸ τίμημα λίτρας* (*νομίσματα* $A_2$B) *ιδ'* K *τὸν βασιλέα* PVC 6 *λάβῃ* R *τοῦτον*] *αὐτὸν* K
7 *ἐν τῷ κτλ.*] *τῇ ἡμέρᾳ τοῦ ἱππικοῦ* K *ἐν ᾗ* PV *ἐπιτελ.—παρὰ τῶν* exciderunt in R *ἐν ᾧ ἐπιτελ. μέχρι τὴν σήμερον* E 8 *ἐτεσσάρων* R *ἡνιόχων τῶν ἐγκραζόντων καρούχαι* Vind. 129 8—p. 81, 1 *Τῶν δὲ δήμων* (*δημοτῶν* $A_1$ M) *καὶ πάσης τῆς συγκλήτου εἰπόντων τῷ βασιλεῖ· οὐκ ἔξεστι προςκυνεῖσθαι αὐτὸν οὕτως εἰ μὴ μόνον τὸν βασιλέα, προςέταξεν ὁ βασιλεὺς πρὸς γέλωτα καθεζόμενον ἐξόπισθεν προςκυνεῖσθαι αὐτὸν καὶ ὀνομάζεσθαι ἄρχοντα τῶν καταχθ.· καὶ φυλάσσεται μέχρι τοῦ νῦν* K 9 *κεν εἰς τὸ δι η* exciderunt in R 10 *ἀεὶ*] *διηνεκεῖς* R 11 *τοῦτον*] absurde dicit scriptor Xenophontem usque ipsius aetatem adorari (l. 14); immo mos fuisse videtur, ut homo quis, quem forse *βασιλισκάριον* dicebant, hoc modo in circo illuderetur *καγγέλλοις* RD 12 *προςκυνοῦσιν οἱ ἡνίοχοι οἱ ἐγκράται* Vind. 129 15 *ἀμφιένοιτο* (i. e. *ἀμφιέννυτο*) R

*μετὰ βύσσου ἠμφιεσμένην. Τὸ δὲ ἐπίπεδον τοῦ ναοῦ καὶ οἱ τέσσαρες νάρθηκες καὶ ὁ λουτὴρ καὶ τὰ πέριξ αὐτοῦ ὑπῆρχον οἰκήματα Μαμιανοῦ πατρικίου Σελευκίας· ἅπερ ἀπετιμήθησαν λίτρας ϟ´· καὶ μετὰ πολλῆς περιχαρίας δέδωκεν αὐτὰ τῷ βασιλεῖ.*

**6.** *Ὁ δὲ βασιλεὺς Ἰουστινιανὸς τὸν τόπον καταμετρήσας καὶ εὑρὼν στεφαναίαν πέτραν ἀπό τε τοῦ θυσιαστηρίου καὶ μέχρι τῆς κάτω ἀψῖδος ἐθεμελίωσεν αὐτὴν γύροθεν τὰ βάθρα τοῦ μεγάλου τρούλου· ἀπὸ δὲ τῆς ἀψῖδος μέχρι τοῦ ἐξωτάτου νάρθηκος εἰς τὸν χαῦνον καὶ ἀλσώδη τόπον ἐθεμελίωσεν. Ἀρξάμενος δὲ τὸ θεμέλιον κτίζειν προσεκαλέσατο Εὐτύχιον πατριάρχην καὶ ἐποίησεν εὐχὴν περὶ συστάσεως*

---

11 *Chron. anni 1570 (Doroth. Monemb. p. 249 ed. 1818): καὶ τῷ δωδεκάτῳ τῆς αὐτοῦ βασιλείας ἔγιναν τὰ ἐγκαίνια τῆς μεγάλης ἐκκλησίας, δηλονότι τοῦ αὐτοῦ ναοῦ, καὶ ἐξῆλθεν ἡ λιτὴ ἀπὸ τῆς ἁ. Ἀναστάσεως μετὰ τοῦ πατριάρχου καὶ τοῦ βασιλέως καὶ παντὸς τοῦ λαοῦ. ἐν γὰρ τῷ ͵ϛη´* (scribe *͵ϛμ´*) *χρόνῳ ἀπὸ κτίσεως κόσμου, ἰνδικτιῶνος ιε´, τῇ κγ´ Φευρουαρίου μηνός, ὥρᾳ πρώτῃ τῆς ἡμέρας τὴν τῆς μεγάλης ἐκκλησίας ἀνοικοδομὴν ἄρ-*

---

1 *ἠμφιεσμένην* vix genuinum  2 *νάρθηκαι* PV  *αὐτῶν* PVKZ  3 *δαμιανοῦ* CK  *πατρικίου*] *πριμικυρίου* Z  *σελευκίου* DM, *σελεύκου* AB  4 ϟ´] ξξ K, η´ D  7 *στεφαναίαν*] *στερεὰν* Vind. 77; idem coniecit Comb.; Du Cange in Glossario affert Eustath. in Iliad. 13, 138: *Στεφάνην ἢ τὴν τοῦ ὄρους ἐξοχήν φησιν ἢ κατά τινας τὴν πλατύτητα· ὅθεν καὶ ἡ κοινὴ φράσις στεφαναίαν τινὰ πέτραν λέγει*  *θυσιαστηρίου*] *βήματος* K  8 *τῆς κάτω ἀψ.*] i. e. occidentalis, cui opponitur *ἡ ἄνω ἀψίς* i. e. *θυσιαστήριον* p. 88, 9  *αὐτὴν* om. PAM (deest locus in B): an *αὐτῆς γύροθεν*?  *βάθρα*] om. R, *βάρα* PV, *βάραθρα* DF  9 *ἀπὸ δὲ τῶν ἀψίδων* RCPV, *ἀπὸ δὲ τὴν ἀψίδα* Vind. 129; corr. coll. K: *ἀπὸ δὲ τῆς μεγάλης* (om. A) *ἀψίδος μέχρι τῶν δ´ ναρθήκων εὗρε τόπον ἀλσώδη καὶ χαῦνον καὶ ἐθεμελίωσεν.* (*ἀπὸ δὲ τῶν ναρθήκων τῶν ἔξω καὶ μέχρι τῶν ἀψίδων* Z)  10 *εἰς τὴν χαύνωσιν καὶ ἀλσώδη* PV  *χαυνὸν* R  *ἀλσῶδες* Z, *ἰλυώδη* Lamb.  *τόπον* om. PVR, inserui ex KC, cf. Codin. p. 101, 15 B

*ἐκκλησίας· τότε ὁ βασιλεὺς Ἰουστινιανὸς λαβὼν ἰδίαις χερσὶ τὸ ἄσβεστον μετὰ τοῦ ὀστράκου καὶ εὐχαριστῶν τῷ θεῷ ἔβαλεν ἐπὶ τῶν θεμελίων πρὸ πάντων. Πρὸ δὲ τοῦ ἄρξασθαι κτίζειν τὸν ναὸν προέκτισεν εὐκτήριον χρυσόροφον καὶ περικαλλὲς κυκλικὸν μετὰ λίθων πολυτίμων· ὅπερ ὠνόμασε*
Ba 69 *τοῦ ἁγίου Ἰωάννου τοῦ Προδρόμου (ὅπερ ἐστὶ | πλησίον τοῦ ὡρολογείου τὸ καλούμενον βαπτιστήριον), ἵνα ἐκεῖσε παραμένῃ μετὰ τῶν ἀρχόντων αὐτοῦ, πολλάκις δὲ καὶ ἐσθίῃ. Τότε γὰρ καὶ τὰ διαβατικὰ ἀπὸ τοῦ παλατίου μέχρι τῆς μεγάλης ἐκκλησίας ἔκτισεν, ἵνα διέρχεται καθ' ἑκάστην συνεχῶς καὶ μὴ ὁρᾶσθαι παρά τινος πρὸς τὸ παρίστασθαι ἐν τῇ οἰκοδομῇ τοῦ ναοῦ.*

7. *Ὑπῆρχον δὲ τεχνῖται μαΐστορες ἑκατόν, ἔχοντες ἕκαστος αὐτῶν ἀνὰ ἑκατὸν ἀνδρῶν, ὁμοῦ γινόμενοι χιλιάδες δέκα. Καὶ οἱ μὲν πεντήκοντα μαΐστορες μετὰ τοῦ λαοῦ αὐτῶν τὸ δεξιὸν μέρος ᾠκοδόμουν, οἱ δὲ ἕτεροι πεντήκοντα ὁμοίως τὸ εὐώνυμον μέρος ᾠκοδόμουν διὰ τὸ εἰς ἔριν καὶ σπουδὴν ταχέως κτίζεσθαι τὸ ἔργον.*

---

*χησε.* (*Similia inserit* $A_1$: *τῆς οἰκοδομῆς τοῦ ναοῦ ἀχθείσης* (i. e. *ἀρχθείσης*) *κατὰ τὸ ͵ςμ' ἔτος ἰνδ. ιε' ἐν φευρουαρίω μηνί*)
13 Erant autem magistri operis de omni arte centum etc. (*Rad. Niger*)

---

1 *λαβὼν*] *κύψας καὶ* D, om. EF 2 *καὶ* om. RC 3 *πρὸ* ante *πάντων* om. R 4 *χρυσοφόρον* R 5 *κυκλη . . . μετὰ* V, *κυκλὴ μετὰ* P 6 *εἰς τὸ ὡρολόγιον* K (*ὡρολογεῖον* B) 7 *τὸν λεγόμενον βαπτιστῆρα καὶ τὰ πλησιάζοντα τοῦ Μητατωρίου* K (*μιταταρίου* M, *μιταρίου* $BA_1$); *πλησίον τοῦ ὡρολογίου, ὁμοίως καὶ τὸ μετακώριον* nescio qui codex Lambecii 8 *πολλάκις καὶ ἐσθίειν* RPV, restitui ex EF (*ἔσθιεν* D) 9 *διαβατικὰ σκεπαστά* Vind. 129 10 *διέρχηται* AM; *διερχόμενος . . μὴ ὁρᾶται* C, *ὁρᾶται* etiam Z *καθ' ἑκ. συν.*] *ὁσάκις ἂν θέλῃ* PVK 13 *ἔχοντες ἑκ. αὐτῶν* om. R 14 *γενάμεναι* PV, *γινομένων* RD, corr. ex FZVoss. 15 *τῶν λαῶν* RZ 17 *εἶχε δὲ αὐτοὺς ἔρις καὶ πολλὴ σπουδὴ εἰς* (*διὰ* $A_1$M) *τὸ ταχέως κτίζεσθαι* K

8. Τὸ δὲ σχῆμα τοῦ ναοῦ ἄγγελος κυρίου ἔδειξε κατ' ὄναρ τῷ βασιλεῖ. Ὑπῆρχε δὲ ὁ πρωτοοικοδόμος ⟨Ἰγνάτιος⟩ μηχανικὸς καὶ λίαν φρονήσεως ἀντεχόμενος καὶ εἰς τὸ ἐγεῖραι ναοὺς ἐπιτήδειος. Εἰς τοὺς κακάβους δὲ ὀπτεῖτο ἡ κριθή· καὶ τὸν χυλὸν αὐτῆς ἐμίγνυον τῷ ἀσβέστῳ σὺν τῷ ὀστράκῳ ἀντὶ ὕδατος· ὁ δὲ αὐτῆς χυλὸς ὑπάρχει γλίσχρος καὶ μιξώδης καὶ κολλητικός. Ὁμοίως καὶ τὸν φλοῦν τῶν δένδρων τῶν πτελεῶν κατατέμνοντες ἐνέβαλον τοῖς κακάβοις μετὰ τῆς κριθῆς· καὶ ἐποίησαν μάζας τετραγώνους ἐχούσας ἀνὰ πηχῶν πεντήκοντα τὸ μῆκος καὶ πεντήκοντα τὸ πλάτος καὶ εἴκοσι τὸ πάχος· καὶ ἐτίθουν εἰς τοὺς θεμελίους καὶ οὔτε θερμὸν τοῦτο ἐτίθουν οὔτε πάλιν ψυχρόν, ἀλλὰ χλιαρὸν διὰ τὸ εἶναι κολλητικόν· καὶ ἐπάνω τῆς μάζης ἐτίθουν λίθους εὐμεγέθεις ἰσομήκους καὶ ἰσοπλάτους· καὶ ἦν ἰδεῖν τότε αὐτοὺς κρατεῖν οἷάπερ σίδηρον.

---

2 Erat autem operis magister Ignatius, cui die etc.

---

2 ἦν δὲ εἷς |μαΐστωρ μηχανικὸς κτλ. K   πρῶτος οἰκοδόμος RC   Ἰγνάτιος supplevi ex Rad. Dic., cf. p. 86, 4 sq.
4 ὀπτεῖτο] στήτω P, ὀπτη$^{τ}$ω V, ὀπτήτω R, ἔπτη C, ἐψεῖτο Z, de K v. infra   ἡ κριθὴς R, τὴν κριθήν C   4—12 ἡ δὲ κριθὴ (κριθὴς $A_2$) ἵστατο βράζουσα εἰς (τοὺς add. $A_1$M) κακάβους λίαν εὐμεγέθεις· καὶ τὸν ζωμὸν αὐτῶν ἐμίγνυον μετὰ τοῦ ἀσβέστου καὶ τοῦ ὀστράκου ἀντὶ ὕδατος· ὑπάρχει οὖν (ὑπάρχων $A_2$B) ὁ ζωμὸς τῆς κριθῆς γλίσχρος (χλιαρός $A_2$B). ἔκοπτον δὲ καὶ τοὺς φλοιοὺς τῆς πτελέας καὶ ἐμίγνυον μετὰ τοῦ ἀσβέστου καὶ ἐποίουν μάζας καὶ οὔτε ἄγαν θερμὸν κτλ. K   5 σὺν τοῦ ὀστράκου P, σὺν τῆς ὀστράκου V   6 ὑπῆρχε PVC   γλισχρὸς PVRC, γλίσχρος $A_1$MZ, χλιαρὸς $A_2$B   μυξώδης RP
7 φλοῦν] φλυῶν (i. e. φλοιὸν) D, φλῶμον E, φλόμον F   τῶν δένδρων καὶ τοὺς ἀκραίμονας (sic) τῶν πτελεῶν E   8 πτελέων RD, ἰτεῶν PV (ἰτέων Vind. 77 et 129, ἐτέων Z)
9 ἐπόισαν R   πήχεις C, ποδῶν PV   12 ἀλλ' ὅλον χλιαρὸν PV   14 εὐμεγέθους PV   ἰσομηκοπλάτους PVZ, ἰσομήκεις ἰσοπλάτους C   15 κρατοῦντας Z   σίδηρος PV (καὶ τοὺς λίθους διακρατεῖν (κολλᾶν $B_1$) δίκην σιδήρου K)

9. Δύο δὲ πηχῶν τοῦ θεμελίου ὑψωθέντος ἐκ τῆς γῆς, ὥς φησιν ὁ προειρημένος ⟨Στρατήγιος ὁ τοῦ βασιλέως ἀδελφο-⟩ ποιητὸς ὁ καὶ ἀπογράφων τὴν ἔξοδον, ἐξωδιάσθησαν χρυσοῦ κεντηνάρια υνβʹ. Μιλιαρίσια γὰρ ἀργυρᾶ καθ' ἑκάστην ἐκομίζοντο ἐκ τοῦ παλατίου καὶ ἐτίθοντο εἰς τὸ ὡρολογεῖον καὶ ὅσοι ἀνεβίβαζον λίθους, ἐλάμβανον καθ' ἑκάστην ἡμέραν ἀνὰ ἀργυροῦ ἑνός, διὰ τὸ μὴ ἀκηδιάσαι τινὰ ἐξ αὐτῶν ἢ βλασφημῆσαι. Εἷς δὲ τῶν βασταζόντων λίθους ἀγανακτήσας καὶ στενάξας εἰς γῆν κατηνέχθη καὶ συνετρίβη. Τὴν δὲ ἔξοδον ἐποίει ὁ προρρηθεὶς Στρατήγιος, ὁ φύλαξ τῶν βασι-

---

4—p. 86, 5 K *in his ita a* PVRC *discrepant, ut integra verba codicis M, ad quem AB proxime accedunt, hic apponam:* μιλιαρίσια δὲ ἔφερον καθ' ἑκάστην καὶ ἐμίγνυον εἰς τὸν χοῦν· καὶ ἔχυνον εἰς τὸ ὡρολόγιον καὶ πέριξ τῶν κτισμάτων· καὶ ἡνίκα ἡσύχαζον ὀψίας καὶ ἔμελλον οὗτοι ὑποχωρεῖν, γυρεύοντες τὸν χοῦν ἕκαστος αὐτῶν διαφόρως εὕρισκεν καὶ ἀπήει μετὰ χαρᾶς (*cf. infra p. 97, 11 sqq*)· καὶ ἕτερα μιλιαρίσια ἀπέκειντο εἰς τὸ ὡρολόγιον· καὶ ὅσοι ἀνεβίβαζον ἐκ τούτων καὶ ἐκόμιζον ἢ λίθον ἢ ὄστρακον μετὰ ἀσβέστου ἢ βήσαλον, καθ' ἕνα ἕκαστον καὶ μίαν φορὰν ἐκτὸς τοῦ μισθοῦ ἐδίδου αὐτῷ ἀργύριον, διὰ τὸ μὴ βλασφημῆσαι καὶ στενάξαι τινά. Ἐξ αὐτῶν δὲ εἷς στενάξας καὶ εἰπὼν τὸ οὐαὶ ἔπεσεν ἀθρόως καὶ συνετρίβη καὶ ἀπέψυξε. Τῶν δὲ πινσῶν . . . . σταθέντων ἔμελλον καὶ τοὺς Ῥωμαίους κίονας μετ' αὐτῶν τιθέναι· ἀλλ' οὐκ ἐποίουν καὶ ἔστησαν εἰς τὰς (δʹ add. $A_2$ B) κόγχας. ὁ δὲ βασιλεὺς σπεύδων τὸ δειλινὸν οὐκ ἐκάθευδεν, ἀλλὰ πολλὴν σπουδὴν ἐποιεῖτο τοῦ ἔργου· καὶ ἐπορεύετο βλέπων τοὺς λιθοξόους καὶ τοὺς οἰκοδόμους· ἤρχετο δὲ μετὰ Τρωΐλου τοῦ κουβικουλαρίου αὐτοῦ· τὴν δὲ ἔξοδον κατεῖχε Στρατήγιος ὁ ἀδελφὸς αὐτοῦ καὶ φύλαξ τῶν βασιλικῶν χρημάτων· σπουδῇ δὲ αὐτοῦ ἐπηγγείλατο ὁ βασιλεὺς ὡς ἂν ἔξωθεν τῶν μισθῶν αὐτῶν καὶ τῶν καθημερινῶν ἀργυρίων δὶς τῆς ἑβδο-

---

2 ὁ προειρημένος ποιητὴς omnes codd.; supplebam coll. p. 78, 13 et 89, 11   3 ὁ om. RC   4 υλβʹ PV, φμηʹ Z   5 ὡρολογίον RD, ὡρολόγιον rell.   6 . . . λίθους εἰς τὴν οἰκοδομὴν τῶν πηνσῶν εἷς ἕκαστος καθ' ἕκαστον λίθον ἐλάμβανεν ἀργυροῦν ἓν διὰ κτλ. Z   10 Στρατήγιος ὁ] βασιλικὸς καὶ C

λικῶν χρημάτων, ὁ καὶ ὑπάρχων πνευματικὸς ἀδελφὸς τοῦ βασιλέως Ἰουστινιανοῦ. Τῶν δὲ πινσῶν ὑψωθέντων καὶ τῶν κιόνων τῶν μεγάλων τῶν τε Ῥωμαίων καὶ τῶν πρασίνων σταθέντων ὁ βασιλεὺς τὸ δειλινὸν οὐκ ἐκάθευδεν, ἀλλ' εἶχε πολλὴν τὴν ἐπιμέλειάν τε καὶ σπουδὴν εἰς τὸ δρᾶν τούς τε λιθοξόους καὶ λατόμους καὶ τεκτονικοὺς καὶ πάντας τοὺς οἰκοδόμους· μετὰ καὶ Τρωΐλου κουβικουλαρίου τούτους ὁρῶν σπουδὴν αὐτοῖς ἐπηγγείλατο· καὶ διὰ τοῦτο ἔξωθεν τοῦ μισθοῦ αὐτῶν τῶν ἐργατῶν τῇ ἑβδομάδι ἅπαξ ἢ δὶς εὐεργέτει τούτους, ποτὲ μὲν ἀπὸ νομίσματος ἑνός, ἄλλοτε δὲ καὶ πλεῖον. Πορευόμενος δὲ ὁ βασιλεὺς ἠμφιέννυτο ὀθόνην λευκὴν καὶ ψιλὴν | καὶ σουδάριον ἀμυδρὸν ἐν τῇ κεφαλῇ αὐτοῦ, Ba 70 ἐν δὲ τῇ χειρὶ ῥάβδον πτενὴν κατεῖχεν.

**10.** Ἀνεγείραντες δὲ τὰς ἀψίδας τῶν τε ὑπερῴων εὐωνύμων τε καὶ δεξιῶν καὶ ταύτας στεγάσαντες κεφαλικὰς

---

μάδος εὐεργετεῖν αὐτούς (αὐτόν M). μετὰ δὲ ταῦτα ὁσάκις ἀνήρχετο (ἂν ἤρχετο M) εἰς θεωρίαν, ἐφόρει λευκὸν κολόβιν καὶ (om. M) τῇ χειρὶ κατεῖχε ῥάβδον λεπτήν. Σκεπάσαντες (-ος M) δὲ ἐπάνω τὰς ἀψίδας ἀμφοτέρων τῶν μερῶν τῶν ἐμβόλων τῶν γυναικιτῶν καὶ ἀναλαβόντες εἰς τοὺς πινσοὺς μέχρι τῶν κατηχουμένων προσέταξε Στρατήγιος ἡμέρᾳ σαββάτου (ἑβδόμῃ AB) ὥρᾳ τρίτῃ μιλιαρίσια προσαγαγεῖν εἰς πλῆθος καὶ τοὺς μαΐστωρας κατελθεῖν εἰς τὸ ἄριστον· ὁ δὲ τούτων μαΐστωρ Ἰγνάτιος κατέλιπε κτλ.

---

1 ὃς καὶ ὑπάρχων R, ὃς καὶ ὑπῆρχε C 4 ἀγωνιῶν οὐκ ἐκάθευδεν Z 5 σπουδὴν πολλὴν καὶ ἐπιμέλειαν PVC 6 ἐλατόμους R 7 Τρώϊλον πρωτοβεστιάριον temporibus Iustini minoris florentem noscimus ex Codino p. 86, 11 B 8 αὐτοῖς ἐπηγγ.] αὐτοὺς ἐπεγγ. PV, αὐτοὺς ἐποιήσατο R 10 νομισμάτου RP, ıı V, om. C 11 πλέον R 14 ἀνεγειράντων et 15 στεγασάντων C; ἀνεγείραντες δὲ τὰς ἄνω ἀψίδας τὰς ἐν τῷ ὑπερῴῳ τῷ μεγάλῳ Vind. 77, ἀνεγερθέντων δὲ τῶν ὑπερῴων ἀψίδων καὶ στεγασθέντων εἰς κεφαλικὰς ἀψίδας Voss. 15 ταῦτα R, ταύταις D σκεπάσαντες PV, σκευάσαντες Z σκαφικὰς PVZ (σκυφικὰς legit Comb.), κεφαλικαῖς R

*ἀψίδας, ὡρίσθη ἀγαγεῖν μιλιαρίσια ἐκ τοῦ παλατίου τῷ κρατοῦντι ἡμέρᾳ σαββάτου· ἦν γὰρ ὥρα τρίτη τῆς ἡμέρας καὶ προςέταξεν ὁ Στρατήγιος τοῦ ἐξελθεῖν τοὺς ἐργάτας καὶ τεχνίτας εἰς τὸ ἄριστον· κατερχόμενος δὲ καὶ ὁ προρρηθεὶς Ἰγνάτιος, ὁ πρῶτος τῶν οἰκοδόμων, ὁ μηχανικός, κατέλιπεν τὸν υἱὸν αὐτοῦ ἄνωθεν, ἐν ᾧ ἔκτιζον δεξιὸν μέρος ἄνωθεν τῶν ὑπερῴων, εἰς τὸ ὁρᾶν τὰ πρὸς οἰκοδομὴν ἐργαλεῖα ἅπαντα. Ὁ δὲ παῖς ἦν ὡσεὶ χρόνων δεκατεσσάρων. Καθεζομένου οὖν τοῦ παιδὸς ἐφάνη αὐτῷ εὐνοῦχος λαμπρὰν ἐσθῆτα ἠμφιεσμένος, ὡραῖος τῷ εἴδει ὡς δῆθεν ἐκ τοῦ παλατίου πεμφθεὶς καὶ λέγει τῷ παιδαρίῳ· ‘τίνος| χάριν τὸ ἔργον οὐκ ἐκπληροῦσι τοῦ θεοῦ οἱ κάμνοντες ταχέως, ἀλλὰ καταλιπόντες αὐτὸ ἀπῆλθον ἐσθίειν;’ Ὁ δὲ παῖς λέγει ὅτι ‘κύριέ μου, ταχέως παραγένωνται.’ Ἐκείνου δὲ πάλιν εἰπόντος· ‘πορευθεὶς λάλησον αὐτοῖς· σπεύδω γὰρ τοῦ ταχέως τελειωθῆναι τὸ ἔργον·’ τοῦ δὲ παιδὸς φήσαντος αὐτῷ μὴ ἀπελθεῖν διὰ τὸ μή πως ἀπολεσθῶσι τὰ ἐργαλεῖα ἅπαντα, ἔφη ὁ εὐνοῦχος· ‘Ἄπελθε ἐν σπουδῇ καὶ φώνησον αὐτοῖς| τοῦ ταχέως ἐλθεῖν καὶ ἐγὼ ὀμνύω σοι, τέκνον, οὕτως· μὰ τὴν ἁγίαν σοφίαν, ἥτις ἐστὶ λόγος θεοῦ, τὴν νῦν κτιζομένην, οὐχ ὑποχωρῶ τῶν ὧδε — ἐνταῦθα γὰρ ἐτάχθην καὶ δουλεύειν καὶ φυλάττειν παρὰ τοῦ λόγου τοῦ θεοῦ —, ἕως ὅτου καὶ ὑποστρέψεις.’ Ταῦτα ἀκούσας ὁ παῖς δρομαῖος ἐπορεύθη*

---

1 *ἀψίδες* R *ὡρίσθη δὲ* R *τοῦ μὴ ἀγαγεῖν* PVRZ *ὁ κρατῶν* C 2 *σαββάτω* RD *ὥρα ἕκτη* C 6 *ἐν ᾧ ἔκτιζον*] *ἐν ᾧ ἔκτιζε* PV, om. C, qui praebet *ἄνωθεν εἰς τὸ ὑπερῷον* (*ἄνωθεν τῶν ὑπερώων* D) *δεξιῷ μέρει* Z, *εἰς τὸ δεξιὸν μέρος* C 8 *δεκαπέντε* Vind. 129 9 *λαμπρὴν ἐσθ*. R, *λαμπρὰ ἐσθῆτι* PVF 11 *τὸ παιδίον* RD (*τῷ παιδίῳ* E) 12 *ἐκπληροῦν* PV 14 *παραγίνονται* CK 15 *λάλησον αὐτούς* VC 17 *μὴ ὅπως* R, *μή πως* om. P, *πως* om. V (sequor CZ) *ἀπολεσθῆναι* C, *ἀπόλωνται* C (*διότι ἀπολισθῶσι* alioqui delaberentur Comb.) 18 *φώνησον αὐτοὺς* C *τοῦ* om. C, *τὸ* R 19 *ὄμνυμι* PVEZ 20 *ἥτις — θεοῦ*] om. PV, *τὸν λόγον τοῦ θεοῦ* C 22 *ὅτου*] *ὅτε* P, *ὅτι* V, *οὗ* Z, om. K

*καταλιπὼν ἐν τῷ ὑπερῴῳ κτίσματι τὸν ἄγγελον Κυρίου φυλάττειν. Ὡς δὲ κατῆλθεν ὁ παῖς, εὑρὼν τὸν πατέρα αὐτοῦ τὸν πρωτοκτίστην μετὰ καὶ τῶν λοιπῶν ἐξηγήσατο πάντα· καὶ ὁ πατὴρ λαβὼν τὸν παῖδα ἤγαγεν ἐπὶ τὸ ἄριστον τοῦ βασιλέως· ἐκεῖσε γὰρ ἦν ὁ βασιλεὺς ἐσθίων ἐπὶ τὸ εὐκτήριον τοῦ ἁγίου Ἰωάννου τοῦ Προδρόμου ἐν τῷ ὡρολογείῳ. Ὁ δὲ βασιλεὺς ἀκούσας τὰ ῥήματα τοῦ παιδὸς προςεκαλέσατο πάντας τοὺς εὐνούχους καὶ ὑπεδείκνυεν ἕνα ἕκαστον αὐτῶν τῷ παιδαρίῳ λέγων· ʻμήτι οὗτός ἐστιν;ʼ Ὁ δὲ παῖς βοήσας μήτινα εἶναι ἐξ αὐτῶν τῆς θεωρίας ἐκείνου τοῦ εὐνούχου ὃν ἐν τῷ ναῷ ἐθεάσατο — ἔγνω τότε ὁ βασιλεύς, ὅτι ἄγγελος κυρίου ἐστὶν καὶ τὸ ῥῆμα γνώριμόν ἐστιν καὶ ὁ ὅρκος αὐτοῦ· εἰπόντος δὲ τοῦ παιδός, ὅτι λευκοφόρος ἐτύγχανε καὶ αἱ παρειαὶ αὐτοῦ πῦρ ἀπέπεμπον καὶ ἐνηλλαγμένη ἦν ἡ πρόςοψις αὐτοῦ, μεγάλως ἐδόξασε τὸν θεὸν ὁ βασιλεὺς λέγων ὅτι ʻεὐδοκεῖ ὁ θεὸς εἰς τὸ ἔργον τοῦτο καὶ ὅτι ἔφεσις πολλή μοι ὑπῆρχε, πῶς δὴ καλέσω τὸν ναόν·ʼ καὶ ἔκτοτε ἔλαβε τὴν προςηγορίαν ὁ ναὸς ʻἁγία Σοφίαʼ, ὁ λόγος τοῦ θεοῦ ἑρμηνευόμενος. Καὶ σκοπήσας ὁ | βασιλεὺς εἶπεν οὕτως· ʻμὴ ἐάσαι* Ba 71 *τὸν παῖδα ὑποστρέψαι εἰς τὴν οἰκοδομήν, ἵνα εἰς τὸ διηνεκὲς φυλάττῃ ὁ ἄγγελος, καθὼς εἶπεν ἐν ὅρκῳ. Ἐὰν γὰρ ὁ παῖς ὑποστρέψῃ καὶ εὑρεθῇ ἐν τῷ κτίσματι, καὶ ὁ ἄγγελος*

---

1 *φυλάττοντα* PVZ  2 *καὶ εὑρὼν* PV, *εὗρε* R (*εὑρὼν* C)  4 *ἐπὶ τὸν ἄριστον* PVRE  5 *ἐπὶ τὸ — ὡρολογείῳ*] *ἐν τῷ βαπτιστῆρι* K  6 *ὡρολουγίῳ* R  8 *ἐπεδείκνυεν* PV, *ὑπέδειξε* C  *τὸ παιδάριον* R  10 *ὅμοιον τῆς θεωρίας* EF  *ὃν*] *οὗ* R (*ὅντινα ἐθεασάμην* PV)  12 *ἐστὶν ὁ λαλήσας σε* P, *ἐστὶν ὁ λαλήσας* V  *γνώριμόν μοι ἐστὶν* R  *ἐστιν*] *ἦν* PV  14 *ἦν* om. RCPV, supplevi ex K  *πρόςοψις*] *ὅρασις* PVCZ, *ὄψις* K  15 *ἐδόξαζε* R  16 *εὐδόκησεν* PV, *εὐδοκιεῖ* R  *καὶ ὅτι κτλ.*] *καίπερ* (sic) *διασκεπτομένου τοῦ βασιλέως τί καλέσει μετὰ ταῦτα τὸν ναόν* K  *ἔφεσις πολλὴ καὶ κόπος* PV (*καὶ σκοπὸς* Z)  17 *ὑπάρχει* R  18 *ἡ ἁγία Σ.* PVZ  19 *ἐάσω* PV  20 *τὴν οἰκοδομήν, ἵνα εἰς* om. RC (homoiotel.)  21 *φυλάττει* codd.

*κυρίου ὑποχωρήσει.’ Βουλευσαμένου [δὲ τοῦ βασιλέως τοὺς κρείττονας τῆς συγκλήτου καὶ ἱερατικοὺς ποιμένας, εἶπον αὐτῷ μὴ ἀποστεῖλαι τὸν παῖδα εἰς τὴν οἰκοδομὴν κατὰ τὸν ὅρκον τοῦ ἀγγέλου, ὅπως ἐκ θεοῦ φυλάξει τὸν ναὸν ἕως τέλους κόσμου. Ὁ δὲ βασιλεὺς πλουτίσας τὸν παῖδα καὶ ἀξιώμασι δοξάσας, ἀπέστειλε μετὰ βουλῆς τοῦ πατρὸς αὐτοῦ ἐν ἐξορίᾳ εἰς τὰς Κυκλάδας νήσους. Ἐγένετο δὲ τὸ ῥῆμα πρὸς τὸν παῖδα τοῦ ἀγγέλου ὅπως ἐκ θεοῦ φυλάξει τὸν ναὸν φήσαντος εἰς τὸ δεξιὸν μέρος τοῦ πινσοῦ τῆς ἄνω ἀψίδος τῆς ἀνερχομένης ἐπὶ τὸν τροῦλον.*

**11.** *Φθασάντων δὲ τῶν οἰκοδόμων εἰς τὰ δεύτερα ὑπερῷα καὶ ἐγειράντων τοὺς ἐπάνω κίονας καὶ τὰς καμάρας καὶ σκεπασάντων τὰ πέριξ, ἠθύμει ὁ βασιλεὺς διὰ τὸ μὴ ἔχειν χρυσίου ποσότητα. Ἱσταμένου οὖν αὐτοῦ εἰς τὰ ὑπερῷα τῶν κτισμάτων μέλλοντος ἐγεῖραι τὸν τροῦλον κατὰ* ⟨*ἕκ*⟩*την ὥραν τοῦ σαββάτου, ὡς ἤδη βαθέου ἀρίστου, ἀδημονοῦντος τοῦ βασιλέως, ἐφάνη αὐτῷ εὐνοῦχος λευκοφόρος εἰρηκὼς αὐτῷ· ‘τί λυπῆσαι, δέσποτα, περὶ χρημάτων; πρόσταξον ἐξελθεῖν αὔριον ταχὺ ἐκ τῶν μεγιστάνων σου καὶ κομίσω σοι χρυσίου χάραγμα ὅσον ἂν βούλῃ.’ Τῇ δὲ ἐπαύριον ἐλθὼν ὁ εὐνοῦχος*

---

1 *τοὺς κρείττονας κτλ.*] *πολλοὺς ὁσίους καὶ ἀρετὴν μετιόντας* K  6 *μετὰ καὶ τῆς βουλῆς* PV  7 sqq. Ad rem cf. Anton. Novgor. p. 91 (à la gauche du grand autel)  9 *τοῦ πινσοῦ* *π λ η σ ί ο ν  τ ο ῦ  σ υ λ λ α γ ό ν ο υ* K; quid sit nescio. *τοῦ συλλογιαίου* Comb., architecturae terminum esse ratus  10 *τοῖς ἀνερχομένοις* Band.  11 *ὑπερῷα*] om. PV, *κατηχούμενα* K (... *κατηχούμενα καὶ τοὺς κίονας, ἀνηγέρθησαν αἱ καμάραι· σκεπασθέντων δὲ τῶν πέριξ ἐγένετο τὸν βασιλέα ἀθυμεῖν κτλ.* $A_2$B, sim. M$A_1$)  12 *Καὶ* ante *σκεπ.* om. RC  13 *σκεπάσαντες* PVR  *τὰς πέριξ* E  *μὴ ἔχειν κτλ.*] *ἐπλήρωσε τὸ βεστιάριν* Vind. 129  14 *χρυσικὴν ποσότητα* K  *εἰς τὰ ὑπερῷα τῶν κτισμάτων*] *ἐ ν  τ ῇ  ἀ ψ ί δ ι  ὕ π ε ρ θ ε ν  καὶ* (om. $A_1$M) *ὁρῶν τὰ κτίσματα* K  15 *κατὰ τὴν ὥραν* omnes codd. praeter Voss. qui habet *κατὰ ϛ̄ πάλιν ὥραν*  16 *ὡς*] *εἰς* R, *καὶ* E (*εἰς ἤδη βαθέως ἀρίστου ὥραν* Z)  *βαθέος* C  18 *λυπῇ* DEZ  19 *χρυσίον* RD  20 *βούλει* RZB, *κελεύεις* PV, *ὀφείλῃς* C, *θέ-*

καὶ εὑρὼν τὸν βασιλέα ὅτι ἐπορεύετο ἐπὶ τὸ ὁρᾶν τὰ κτίσματα, δέδωκεν ὁ βασιλεὺς τόν τε Στρατήγιον καὶ Βασιλίδην τὸν κυαίστορα καὶ Θεόδωρον πατρίκιον τὸ ἐπίκλην Κολοκύνθην τὸν καὶ ἔπαρχον καὶ ὑπηρέτας μέχρι τῶν πεντήκοντα καὶ ἡμιόνους εἴκοσι μετὰ εἴκοσι βουλγιδίων ζυγῶν· τούτους λαβὼν ὁ εὐνοῦχος ἐξῆλθεν τῆς χρυσῆς πόρτης. Καὶ ἐλθόντες εἰς τὸ τριβουνάλιον ἐφάνησαν μὲν τοῖς ἀποσταλεῖσι παλάτια κτιστὰ θαυμαστά· ἐκ τῶν ἵππων δὲ καταβάντες ἀνεβίβασεν αὐτοὺς ὁ εὐνοῦχος εἰς κλίμακα θαυμαστήν· καὶ ἐκβαλὼν κλεῖδα λαμπρὰν χαλκῆν ἤνοιξεν κουβούκλιον· καὶ ὥς φησιν Στρατήγιος ὁ μάγιστρος, ἦν τὸ ἔδαφος ἐστρωμένον καὶ πεπληρωμένον χρυσίου χαράγματος. Καὶ λαβὼν πτύον ὁ εὐνοῦχος ἔβαλεν ἐφ' ἕνα ἕκαστον βουλγίδιον κεντηνάρια χρυσοῦ τέσσαρα, ὁμοῦ κεντηνάρια ὀγδοήκοντα· καὶ δοὺς αὐτοῖς ἀπέστειλεν εἰς τὸν βασιλέα. Καὶ κλειδώσας ἔμπροσθεν αὐτῶν τὸ κουβούκλιον, ἐν ᾧ ἦν τὸ χάραγμα, ἔφη αὐτοῖς· 'ὑμεῖς κομίσατε ταῦτα τῷ βασιλεῖ εἰς τὸ κατακενῶσαι εἰς τὴν οἰκοδομὴν τοῦ ναοῦ.' Ὁ δὲ εὐνοῦχος κατελείφθη ἐκεῖσε. Καὶ ἐλθόντες ἤγαγον τῷ βασιλεῖ τὸ χρυσίον, καὶ ἐκπλαγεὶς ὁ βασιλεὺς ἔφη αὐτοῖς· 'ἐν ποίῳ τόπῳ ἀπέλθατε καὶ τίς ἦν ὁ εὐνοῦχος;' Καὶ ἀνήγ|γειλαν αὐτῷ πάντα τόν τε τό- Ba 72
πον τῶν οἰκημάτων αὐτοῦ καὶ ὅτι χρυσίον εἶχεν κεχυμένον ἐπὶ τὸ κουβούκλιον αὐτοῦ εἰς πλῆθος πολύ. Καραδοκῶν δὲ

---

λης AM ἐλθὼν κτλ.] ἰδοὺ καὶ ὁ φανεὶς τῷ βασιλεῖ εὐνοῦχος λέγων· δός μοι ἄνθρωπον καὶ πορευθῶμεν M, sim. AB
1 ἐπὶ τὸ om. VC, περὶ τὸ R 2 βασιλείδη P 3 κυέστωραν R τὸν ἐπίκλην V 4 καὶ ἔπαρχον τὸν κολοκύντην K (κολοκίνθην $A_1$, κολοκύνθην $A_2$) πεντήκοντα] ὀκτώ K
6 τούτους λαβὼν ὁ εὐνοῦχος (l. 6) post ἡμιόνους εἴκοσι posuit R χρυσίας PV πόρτας P 7 ἀποσταλῶσι PV 10 κλεῖδαν R 13 βουλγίδιον] σαμάριον B, σαγμάριν A, σαγμάριον M 14 τέσσαρα ὁμοῦ om. C, ὁμοῦ om. R κεντ. ὀγδοήκ.] λίτραι ἑκατὸν ἑξήκοντα R, λίτρας ξδ' DE, λίτρας δ' F 15 αὐτοὺς R, αὐτὰ E, αὐτῷ D πρὸς τὸν βασιλέα K, τῷ βασιλεῖ PV
20 ἀπήλθατε P, ἀπήλθετε DZ

ὁ βασιλεὺς τὸν εὐνοῦχον ἐλθεῖν εἰς αὐτὸν καὶ ὡς οὐ παρεγένετο, ἀπέστειλεν ὁ βασιλεὺς τὸν ἀκόλουθον αὐτοῦ εἰς τὸν εὐνοῦχον· καὶ εὑρὼν τὸν τόπον, ἐν ᾧ ἐθεάσατο τὰ παλάτια, ὅλον ἄοικον καὶ ὑποστρέψας ἐγνώρισεν τῷ βασιλεῖ πάντα. Ἐκπλαγεὶς δὲ καὶ γνοὺς εἶπεν ὅτι ‛ἀληθῶς τοῦτο τοῦ θεοῦ θαῦμα γέγονεν, ἵνα γνῶμεν·' καὶ μεγάλως ἐδόξασε τὸν θεόν.

**12.** Ἐν δὲ τῷ μέλλειν τὸ ἅγιον θυσιαστήριον τελειῶσαι καὶ διὰ τῶν στοῶν φωταγωγῆσαι τῶν διὰ τῶν ὑελίων ὄντων προσέταξε τὸν μηχανικόν, ἵνα γένηται ὁ μύαξ μονοκάμαρος· καὶ πάλιν μεταμεληθεὶς προσέταξεν γενέσθαι δίφωτον μετὰ δύο ἀψίδων διὰ τὸ μὴ δέξασθαι βάρος, ὅτι ἐκεῖσε κριώματα οὐκ ἔθεντο, ὥσπερ ἐν τῷ νάρθηκι καὶ ἐπὶ τὰς πλευρὰς τοῦ ναοῦ. Τῶν δὲ λοιπῶν τεχνιτῶν ἀντιλεγόντων, ὡς μία καμάρα φωτίζει τὸ θυσιαστήριον, καὶ ἀδημονοῦντος τοῦ πρωτοοικοδόμου τὸ τί ἂν ποιήσει, ὅτι ποτὲ μὲν λέγει ὁ βασιλεὺς μίαν ἀψίδα γενέσθαι, ἄλλοτε δὲ δύο, καὶ ἑστῶτος αὐτοῦ ἐκεῖσε καὶ ἀκηδιῶντος, ἡμέρᾳ δ' ὥρᾳ ε' ἐφάνη αὐτῷ ἄγγελος Κυρίου ἐν ὁμοιώματι Ἰουστινιανοῦ μετὰ βασιλικῆς ἐσθῆτος καὶ ἐρυθρῶν πεδίλων καί φησι τῷ τεχνίτῃ· ‛θέλω

---

6 *In fine huius capitis addit Chron. anni 1570 (v. Doroth. Monembas. p. 250 ed. 1818):* ἔξωθεν δὲ τοῦ ναοῦ καὶ ἔσωθεν ἦσαν κολώναις χιλίαις καὶ ψαμιᾶς κολώνας ἦτον τὸ κεφαλοκόλωνον καὶ τὸ ὑποπόδιον χρυσὸν ἐνθρονισμένον μετὰ λειψάνων 19 volo ut facias mihi altare [i. e. θυσιαστήριον] cum tribus porticibus et illumina illud per tres absides etc.

---

1 πρὸς αὐτὸν PV 3 ὁρῶν PV 5 τοῦτο om. R 6 γνῶ R, γνῶμεν πάντα PV 8 στοῶν] et στοαὶ et ἀψῖδες (l. 11) et καμάραι (l. 9 et 14 et p. 91, 7) fenestrae dici videntur (διὰ ὑελίων) τῶν — ὄντων] τὸ δ. τ. ὑ. ὅτας R 9 γένετε R 10 δίφωτον κτλ.] δικάμαρον ἤτοι διὰ δύο ἀψίδων Z; διὰ δύο ἀψ. etiam PVC 11 διὰ τὸ μὴ δέξασθαι βάρος τὸν τόπον μήπω ἐκεῖσε κριωμάτων γενομένων K ἰκριώματα DF 13 τεχνήτων R 15 πρώτον οἰκοδόμου R 19 ἐρυθριῶν PE in K angelus nil dicit nisi: τρεῖς καμάρας ἔγειρον διὰ τὸ ἐλαφρότερον (ἐλαφρόν $MA_1$)

*ἵνα μοι ποιήσῃς τρίφωτον τὸν μύακα καὶ διὰ τριῶν στοῶν εἰς ὄνομα Πατρὸς καὶ Υἱοῦ καὶ Ἁγίου Πνεύματος.' Παρευθὺ δὲ ἀφανὴς ἐγεγόνει καὶ καταπλαγεὶς ὁ μαΐστωρ παρεγένετο πρὸς τὸ παλάτιον καὶ ἀντέλεγε τῷ βασιλεῖ αὐστηρῶς ὅτι 'σύ, βασιλεῦ, λόγον ἕνα οὐκ ἔχεις· μέχρι τῆς ἄρτι ἐβόας ποιεῖν με μίαν στοάν, ἄλλοτε δὲ δύο ἐν τῷ θυσιαστηρίῳ, καὶ ὅταν ἐτελείωσα τὸ ἔργον, παρέστης μοι λέγων ὅτι ἐν τρισὶ καμάραις φώτισον τὸ θυσιαστήριον διὰ τὴν τῆς Τριάδος πίστιν.' Ὡς δὲ ἐγνώρισεν ὁ βασιλεὺς ὅτι τῇ αὐτῇ ἡμέρᾳ καὶ ὥρᾳ ἐκ τοῦ παλατίου αὐτοῦ οὐκ ἐξῆλθε, ἀκριβῶς ἐπέγνω ὅτι 'ἄγγελος κυρίου ἦν ὁ λαλήσας σοι, καὶ ὡς εἶπέν σοι, οὕτως καὶ ποίησον.'*

**13.** *Πάντες δὲ οἱ πινσοὶ ἔξωθεν καὶ ἔσωθεν ὑπὸ σιδηρῶν μοχλῶν κρατοῦνται ἐγχυλιασμένοι πρὸς τὸ ἀλλήλους κρατεῖν καὶ εἶναι ἀμετακινήτους. Ἡ δὲ ἔμπλασις αὐτῶν πάντων τῶν πινσῶν μετὰ ἐλαίου καὶ ἀσβέστου· καὶ οὕτως ἐπάνω ἀνέστησεν τὰς ποικίλας ὀρθομαρμαρώσεις.*

**14.** *Ἀπέστειλε δὲ ὁ βασιλεὺς Τρώϊλον κουβικουλάριον* Ba 73

---

4 .. dixit regi: Austerus tu rex et unum verbum verum non habes 13 *haud paucis dicrepat K: Πάντες δὲ οἱ πινσοὶ (μοχλοὶ* $A_2$ B) *ὑπὸ σιδηρῶν κατέχονται μοχλίων ἐγχυλιασμένοι σὺν μολίβδῳ· ἔξωθεν (δὲ* add. $A_2$ B) *τῶν συνδέσμων (τοῦ σ.* AB) *τοῦ ὅλου κτίσματος ἡ ἄσβεστος μετὰ ἐλαίου χριστοῦ ἐστιν ἐμπεπλασμένη (ἐπιπεπλ.* AB) *ἀντὶ ὕδατος διὰ τὸ ἑδραῖον καὶ πάγιον· οὕτως ἔστησαν καὶ τὰς ὀρθομαρμαρώσεις.*

---

1 *μοι*] *με* R, om. C 3 *ἐγένετο* PVD, *γέγονε* EF 4 *ἀντελέγετο* R *στερῶς* R, cf. Rad. *ἐσὺ βασιλεύς* P 5 *οὐ στέργεις εἰς ἕνα λόγον* Voss. 7 *ὅτι τρεῖς καμάραι φωτίζουσι (—ουσαι* V) PV 12 Vind. 129 in fine addit *καὶ ἐποίησε κατὰ τὸν λόγον τοῦ ἀγγέλου θυρίδας τρεῖς* 14 *κρατοῦν* R *ἐγκεχυλιασμένοι* PV, *ἐγκεχειλιασμένοι* C (*ἐγγεχειλ.* D); an *ἐγχυλιασμένων*? cf. Const. Porphyr. Adm. p. 138, 8 *σιδήρων ἐν μολίβδῳ ἐγχυλιασμένων* 15 *εἶναι ἀμετακίνητοι* R, *εἰσιν ἀμετακίνητοι* C, *εἶναι ἀμετακινήτους* PV 17 *ἀνέστησαν* PVC 18 *σπαθοκουβουλάριον* Vind. 129

καὶ Θεόδωρον ἔπαρχον καὶ Βασιλίδην κυαίστορα ἐν τῇ Ῥόδῳ νήσῳ καὶ ἔκαμνον ἐκεῖ μετὰ τῆς πηλοῦ βήσαλα ἰσόσταθμα καὶ ἰσόμηκα παμμεγέθη σφραγίζοντα οὕτως· 'ὁ θεὸς ἐν μέσῳ αὐτῆς καὶ οὐ σαλευθήσεται· βοηθήσει αὐτῇ ὁ θεὸς τὸ πρὸς πρωῒ πρωΐ.' Καὶ διαμετροῦντες αὐτῶν τὴν ποσότητα ἀπέστελλον τῷ βασιλεῖ. Ὁ δὲ σταθμὸς τῶν δώδεκα βησάλων ἐκείνων ἡμετέρων βησάλων ἐστὶ σταθμὸς ἑνὸς διὰ τὸ εἶναι τὴν πηλὸν ἐκείνην ἐλαφρὰν πάνυ καὶ σπογγοειδῆ καὶ κοῦφον καὶ λευκόχροιον. Διὸ ὁ λόγος ἰδιωτικὸς ἐμφέρεται ὅτι κισσηρίου ἐστὶν ὁ τροῦλος· ἀλλ' οὐκ ἔστιν μέν, ἐλαφρὸν δὲ ὑπάρχει. Μετ' αὐτῶν δὲ ἀνοικοδομήσαντες τὰς τέσσαρας μεγίστας ἀψίδας καὶ ἀρξάμενοι κυλίειν τὸν τροῦλον ἕως δώδεκα βησάλων ἐτίθουν καὶ ἀναμεταξὺ τῶν δώδεκα βησάλων ἐποίουν οἱ ἱερεῖς εὐχὴν περὶ συστάσεως ἐκκλησίας· καὶ ἐποίουν οἱ κτίσται κατὰ δώδεκα βήσαλα ὀπήν, ἐμβάλλοντες ταῖς ὀπαῖς τίμια καὶ ἅγια λείψανα διαφόρων ἁγίων, ἕως οὗ ἐτελείωσαν τὸν τροῦλον· ἦν δὲ νεωτερικὸς ὄρθιος ἱστάμενος.

**15.** Καὶ εἶθ' οὕτως πληρώσαντες τὰς τερπνὰς καὶ περι-

---

1 ἔπαρχον] πατρίκιον C  βασιλίδη PV (βασίλειον D) κυαίστωραν RP  2 ἔκαμον PVC  3 παμμεγεθὴς σφραγίζεται R  4 αὐτῆς] αὐτῶν M  6 δώδεκα] πέντε K  8 φλογοειδῆ C, πυρροειδῆ Voss.  9 Locus in omn. fere codd. corruptus: διὸ ὁ (καὶ C) λόγος ἱστορικὸς ἐμφέρεται RC (ὥστε καὶ λόγος ἱστορ. ᾄδεται Voss.), διολίγω φαίνεται ἰδιωτικῶς PV; genuinam lectionem ostendunt διὸ καὶ ἐμφέρεται ἰδιωτικὸς λόγος Z et ἐξ οὗ παρὰ τῶν ἰδιωτῶν φέρεται λόγος K  10 κησιρίου R, κισσήριον Z Voss.  11 ὑπάρχει sc. τὸ βήσαλον  μετ' αὐτῶν] μετὰ ταῦτα PV  ἀνοικοδομήσας R, ἀνωκοδόμησαν PV  12 τροῦλον δώδ. βήσαλα C  14 ἐποίησε δὲ ὁ ἱερεὺς K  15 ὀπὰς AB (τρύπας M)  17 ἐτελείωσεν R  ὁ νεωτερικὸς codd. praeter K  ὄρθριος R  18 Inde usque ad c. 27 K verba scriptoris in brevius coegit. C. 15: εἶθ' οὕτως ἐμουσείωσαν καὶ ὠρθομαρμάρωσαν αὐτὸν εἰς πάντα· καὶ εἰς τοὺς πινσοὺς καὶ τὰς στοὰς καὶ εἰς τὰ μεγάλα κιόνια λείψανα ἔβαλον ἁγίων ἐπισήμων (v. infra p. 99, 6). Τὸν δὲ πάτον διὰ ποικίλων καὶ πολυτελῶν μαρμάρων κατέστρωσεν διὰ Πηγανουσίων καὶ Ῥωμαίων καὶ ῥοδοποικίλων καὶ βαθυγκηνῶν (βαθαυκινῶν $A_1$, om.

*καλλεῖς ὀρθομαρμαρώσεις, κατεχρύσωσε τάς τε ζεύξεις τῶν ὀρθομαρμαρώσεων καὶ τὰς κεφαλὰς τῶν κιονίων καὶ τὰ λακαρικὰ καὶ τοὺς κοσμήτας τῶν ὑπερῴων τῶν τε διορόφων καὶ τριορόφων. Ἐχρύσωσε δὲ πάντα ἐκ χρυσίου καθαροῦ ὑπερτελείου, τὸ σύμ⟨παν⟩ πάχος τοῦ χρυσώματος δακτύλων δύο· τοὺς δὲ ὀρόφους πάντας ἀπό τε τῶν ὑπερῴων καὶ τῶν ἐκ πλαγίου καὶ τοῦ ναοῦ καὶ τῶν πέριξ καὶ τῶν τεσσάρων ναρθήκων κατεχρύσωσε [τὰ ὄροφα] ἐξ ὑελίνου χρυσοῦ λαμπροτάτου καὶ μέχρι τῶν πέριξ προαυλίων [κατεχρύσωσε τά τε ὑπερῷα καὶ τοὺς κίονας καὶ τὰς ὀρθομαρμαρώσεις]. Τὸ δὲ ἔδαφος τοῦ ναοῦ κατεκόσμησε διὰ ποικίλων καὶ πολυτελῶν μαρμάρων· καὶ στιλπνώσας κατέθηκε καταστρώσας αὐτά· τὰ δὲ πλαγια τὰ ἔξω καὶ τὰ πέριξ κατέστρωσε διὰ λευκῶν λίθων πολυτίμων μεγίστων.*

---

6 Omnes autem camera s et tecta superiorum sursum et deorsum et quae sunt in circuitu atrii deauravit omnia aureo vitro candidato

---

$A_2$ B) *καὶ λοιπῶν.* Ex eadem paragrapho (p. 93, 2) inferiore loco (v. infra p. 102, 9) decerpsit K haec: *ἐς τῆς χρυσοθέου θέας τῶν κοσμήτων καὶ λαγαρικῶν καὶ τῶν κεφαλοκιόνων πάντων* 1 *μαρμαρώσεις* R *κατεχρύσωσαν* PV 2 *ὀρθομαρμαρώσει* R, *ὀρθομαρμάρων* rell., correxi *καὶ τὰς κεφ. τῶν κιονίων* om. R *λακαρικὰ*] *λαγαρικῶν* K (v. supra), *ἐγγλύμματα* PV; *λακαρικά* (laquearia) etiam ap. Theophan. contin. 140, 13, Const. Rhod. 725 5 *ὑπὲρ ἡλίου* R, *τελείου* C, *πετάλου* PV, om. Z (*χρυσάφην δὲ μάλαγμα πρῶτον* Vind. 129); corrigebam *τὸ σύμπαχον* PVC, *τὸ σύμπασχον* Z, *τὸ σύμπαχος* Voss., *τὸ σύνταχον* R, *τὸ δὲ πάχος* Vind. 129; corrigebam 6 post *ὑπερῴων* inserunt *τῶν διορόφων* PV, *καὶ διορόφων καὶ τριορόφων* Vind. 129, *τῶν τριορόφων* Z 7 *τῶν ἐκπλαγίων* RVD, *τῶν πλαγίων* Vind. 129, *τῶν ἐπιπλάγων* EF, *τῶν ἐπιπλαγίων* ZVoss. *καὶ τοῦ ναοῦ* om. C 8 *τὰ ὄροφα* seclusi, *τά τε ὄροφα* C *λαμπρότατα* codd., corr. ex Radulfo 9 *πέριξ*] *ἐκτὸς* Voss. *κατεχρ.*] *ὡσαύτως ἐχρύσωσε* C *κατεχρύσωσε* — 10 *ὀρθομαρμαρώσεις* seclusi; desunt eadem in Voss. et Vind. 129 *τά τε πέριξ ὑπερῶα* V 12 *στιλβώσας* PVC *κατεστρώσας αὐτῶν* R 13 *τὰ δὲ πλάγια καὶ τὰ ἔξω* RCZ *διὰ λευκοὺς λίθους πολυτίμων μεγίστων* R

Ba 74 **16.** *Τὸ δὲ ἅγιον θυσιαστήριον ἐξ ἀργύρου λαμπροῦ· | τά τε στήθεα καὶ κίονας ἀργύρῳ πάντα περιέκλεισε σὺν τοῖς πυλεῶσιν αὐτῶν, πάντα ἀργυρᾶ καὶ χρυσέμβαφα. Τραπέζας δὲ ἀργυρᾶς τέσσαρας τῷ ἁγίῳ θυσιαστηρίῳ ἔστησεν ἐπὶ τοὺς κίονας καὶ αὐτοὺς κατεχρύσωσε. Τὰς δὲ βάσεις τὰς ἑπτὰ τῶν ἱερέων ἐν αἷς καθέζονται, σὺν τοῦ ἀρχιερέως θρόνου καὶ τῶν τεσσάρων κιόνων τῶν ἀργυρέων κατεχρύσωσε, στήσας ἑκατέρῳ μέρει ἀνὰ δύο ἐν τῷ εἰςπορεύεσθαι ἐν τῷ εἰλήματι τῷ καλουμένῳ κυκλίῳ, ὅπερ ἐστὶν ὑποκάτω τῶν βαθμίδων· τοῦτο ἅγια ἁγίων προςηγόρευσε. Ἔστησε δὲ κίονας εὐμεγέθεις καὶ αὐτοὺς ἀργυροχρύσους σὺν τοῦ κιβουρίου καὶ τῶν κρίνων. Τὸ δὲ κιβούριον ἀργυροέγκαυστον ἐποίησεν. Ἐπάνω δὲ τοῦ κιβουρίου ἔστησε σφαῖραν ὁλόχρυσον ἔχουσαν σταθμὸν χρυσοῦ λίτρας ριη´ καὶ κρίνα χρυσᾶ στήσαντα λίτρας ς´· καὶ ἐπάνω αὐτῶν σταυρὸν χρυσοῦν μετὰ λίθων πολυτελῶν καὶ δυσποριστων, ὅστις σταυρὸς εἷλκε σταθμὸν χρυσίου λίτρας ο´.*

**17.** *Ἐποίησε δὲ μηχανὴν τοιαύτην· βουλόμενος γὰρ*

---

1 *λαμπροτάτου στήθεα* PV  2 *κίονας εὐμεγέθους* PV  *περιέλησε* R (corruptum ex *περιειίλησε*?), *περιεκύκλωσε* C  *ταῖς πυλεῶσιν* RP, *τοῖς πυλῶσι* C  3 *καὶ τραπέζας* Voss.  4 *δὲ* om. RC  *ἀργυρᾶς* om. PV  *καὶ τὸ ἅ. θυσιαστήριον* C  5 *αὐτοὺς*] *αὐτὰς* Z  *ἑπτὰ βάσεις ὅπου καθέζονται οἱ ἱερεῖς εἰς τὸ σύνθρονον* Vind. 129  6 *σὺν τῷ . . . θρόνῳ καὶ τῶν κτλ.* RC  6—8 *σὺν τῷ τοῦ ἀρχ. θρόνῳ καὶ τοῖς τέσσαρσι κίοσι τοῖς ἀνὰ ἑκάτερον μέρος τῶν βαθμίδων* . . . . . (lacuna) *τὸ καὶ κύκλιον καλούμενον ἅγια ἁγίων προςηγόρευσεν* Z  7 *τῶν ἀργυρέων* om. PV  ante *κατεχρύσωσε* inserunt *ὧν* PVR  8 *ἑκάτερα μέρη* R Voss.  *ἀνὰ δυῶν* P, *ἀναδύων* V, *β´* Voss.  *ἐν τῷ εἰςπορεύεσθαι*] solus Voss., *καὶ εἰςπορεύεθαι* rell.  10 *εὐμεγέθους* PV  11 *σὺν τῷ κιβωρίῳ καὶ τοῖς κρίνοις* C  *κιβωρίου* V (cf. C)  12 et 13 *κιβώριον* VC  13 *σφαῖραν*] *μῆλον* K  14 *χρυσοῦ* om. PV  *λίτρας* om. C Vind. 129  *ριη´*] *κεντηνάρια ιη´* C Vind. 129 (corruptum ex *ρ´´ ιη´*)  *χρυσᾶ* om. RC  *λίτρας*] *κεντηνάρια* R; C habet *στήσαντα ρις´*, id quod est corruptum ex *ρ´´ρ´´* (i. e. *κεντηνάρια*) *ς´*  15 *χρυσέον* R  16 *χρυσίου* om. PV  *λίτρας οε´* C (*λιτρῶν ο´* PV)

*κρείττονα τὴν ἁγίαν τράπεζαν καὶ πολυτελεστέραν ποιῆσαι ὑπὲρ χρυσίου προςεκαλέσατο ἐπιστήμονας πολλοὺς εἰρηκὼς αὐτοῖς τοῦτο. Οἱ δὲ ἔφησαν αὐτῷ· ‘εἰς χωνευτήριον ἐμβάλωμεν χρυσόν, ἄργυρον, λίθους τιμίους καὶ παντοίους καὶ μαργαρίτας καὶ ζάμβυκας, χαλκόν, ἤλεκτρον, μόλιβδον, σίδηρον, κασσίτερον, ὕελον καὶ λοιπὴν πᾶσαν μεταλλικὴν ὕλην·’ καὶ τρίψαντες ἀμφότερα αὐτῶν εἰς ὅλμους καὶ δήσαντες, ἐπὶ τὸ χωνευτήριον ἔχυσαν. Καὶ ἀναμαξάμενον τὸ πῦρ, ἀνέλαβον ταῦτα οἱ τεχνῖται ἐκ τοῦ πυρὸς καὶ ἔχυσαν εἰς τύπον· καὶ ἐγένετο χυτὴ πάμμιγος ἡ ἁγία τράπεζα ἀτίμητος· καὶ εἶθ’ οὕτως ἔστησεν αὐτήν· ὑποκάτω δὲ αὐτῆς ἔστησε κίονας καὶ αὐτοὺς ὁλοχρύσους μετὰ λίθων πολυτελῶν καὶ χυμεύσεων, καὶ τὴν πέριξ κλίμακα, ἐν ᾗ ἵστανται οἱ ἱερεῖς εἰς τὸ ἀσπάσασθαι τὴν ἁγίαν τράπεζαν, καὶ αὐτὴν ὁλοάργυρον. Τὴν δὲ θάλασσαν τῆς ἁγίας τραπέζης ἐξ ἀτιμήτων λίθων πεποίηκε καὶ κατεχρύσωσεν αὐτήν. Τίς γὰρ θεάσηται τὸ εἶδος τῆς*

---

8 Et sufflavit ignis et congregantur omnia in se intus et tulerunt artifices haec de igne etc. 10 *Chron. anni 1570 (Dor. p. 251) addit: ὁ δὲ βασιλεὺς καὶ ὁ ἀρχιτέκτων ἔβλεπαν τὸν ἄγγελον ὁποῦ τὰ ἐπαράστεκε καὶ ἔκαμνε τὴν ὑπηρεσίαν εἰς αὐτὰ ἤγουν τὰ ἀνάδευε μέσα εἰς τὸ χωνευτήριον* 11 *καὶ ἔβαλεν αὐτὴν ἀπάνω εἰς δώδεκα* (*δέκα* Par. 1790) *κιόνια ἀργυρᾶ καὶ τὴν ἐνθρονίασε καὶ τὴν ἐστερέωσε δυνατὰ μετὰ λειψάνων μαρτύρων.*
Subtus autem mensam statuit IX columpnas aureas cum margaritis et variis lapidibus. Pavimentum autem quod est

---

1 *πολυτελεστέραν* solus Z, *πολυτελεστάτην* RC, *πολυτελῆ* PV 2 *ὑπερχρυσὶς* R, *ὑπερχρυσῆν* C, *χρυσῆν* Z 4 *παντοίους*] *πολυτελοῦς* R 5 *ζάμπικας* C; ad vocem cf. Cedren. I 623, 10 et Constant. Rhod. 669 (*ζάμβακας*) et infra p. 105, 20
6 *κασίτηρον* R *καὶ πᾶσαν ὕλην τετριμμένην· καὶ καταμίξαντες ἀμφότερα καὶ χωνεύσαντες ἔχυσαν ἀβάκιον* AB (similiter M) 7 *ἀμφότερα αὐτῶν*] *αὐτὰ ἀμφότερα* C 8 *ἀναμαξάμενον τὸ πῦρ* PRF (postquam ignis materiam miscuit), *ἀναμαξαμένου* (*αὐτὰ* add. Z) *τοῦ πυρὸς* Z Voss., *ἀναμαξάμενοι τὸ πῦρ* VDE 9 *τυπάρια* EF, *τυπάριν* D 10 *πάμμιξος* R, *παμμιγὴς* CZ Vind. 129 16 *θεάσεται* F

ἁγίας τραπέζης καὶ οὐκ ἐκπλαγείη; ἢ τίς δυνήσηται κατανοῆσαι ταύτην διὰ τὸ πολλὰς χροιὰς καὶ στιλπνότητας ἐναλλάσσειν, ὡς ὁρᾶσθαι τὸ ταύτης εἶδός ποτε μὲν χρυσίζον, ἐν ἄλλῳ δὲ τόπῳ ἀργυρίζον, εἰς ἄλλο σαμφειρίζον, ἐξαστράπτον καὶ ἁπλῶς εἰπεῖν ἀποστέλλον οβ΄ χροιὰς κατὰ τὰς φύσεις τῶν τε λίθων καὶ μαργαριτῶν καὶ πάντων τῶν μετάλλων;

**18.** Ἐποίησε δὲ καὶ πυλεῶνας, κάτωθεν καὶ ἄνωθεν [ἐξ ἐλεφαντίνων μεγάλων γλυπτῶν κεχρυσωμένων] τὸν ἀρι-
Ba 75 θμὸν τξε΄. Ἐν δὲ τῇ εἰσόδῳ τῇ πρώτῃ τοῦ λουτῆρος | ἐποίησε πυλεῶνας ἠλέκτρους καὶ ἐν τῷ νάρθηκι ἠλέκτρους πύλας ἐμμέτρους. Ἐν δὲ τῷ δευτέρῳ νάρθηκι ἐποίησεν ἐλεφαντίνους πύλας ⟨. . . . .⟩ καὶ πυλεῶνας τρεῖς, δύο ἐμμέτρους καὶ

---

subtus IX columpnas est totum argenteum; gradum autem etc. 6 *Chron. anni 1570 addit:* ἔγραψε δὲ ὁ βασιλεὺς γύρωθεν τῆς ἁγίας τραπέζης ταῦτα· 'τὰ σὰ ἐκ τῶν σῶν σοι προσφέρομεν οἱ δοῦλοί σου κτλ. . . . πρεσβείαις τῆς ἁγίας θεοτόκου καὶ ἀειπαρθένου Μαρίας.' *Quae inscriptio exstat etiam in Vind. 94, Sinait. 1189; v. Cedren I 677 Bonn. (CIGr 8643). Item Radulfus:* Posuit ergo in sancta mensa in circuitu labia aurea cum margaritis et lapidibus et sunt subscripta sic: 'Tua de Tuis tibi offerimus, Domine, Iustinianus et Theodora'
7 Fecit autem ianuas numero CCCLXV sursum deorsum (iusum *Stubbs, correxi*); in exteriora atria et in circuitu (introitu?) et in claustro fecit ianuas a e r e a s magnas. In capitulis autem fecit ianuas eburneas sculptas, deauratas, tres in dextera parte templi et tres in sinistra. In medio autem earum statuit ianuas tres maiores valde argenteas auro textas et misit intus in eas pro vilibus lignis ligna de archa Noae.

---

4 σαπφειρίζον V  5 ἀποστέλλει F, ἀποπέμπει R, ἀποτελοῦν Z Voss., ἀποστέλλειν rell., corrigebam  οβ΄ χροιὰς] τὰς ἁπάσας χροιὰς Z, ὀλβίην χροιὰν C  6 μαργάρων EF, μαρμάρων D  καὶ πάντων τῶν om. R  7 C. 18 deest in K  Ἐποίησε—γλυπτῶν bis scripserunt RC  πυλῶνας codd.
8 ἐξ ἐλεφαντ.—κεχρυσ. seclusi; κάτωθεν —κεχρυσ. desunt etiam in Z  ἐξ ἐλεφάντων μεγάλων R priore loco, ἐξ ἐλεφαντίνων γλυπτῶν posteriore R et PV, δι' ἐλεφαντίνων μεγάλων ὀστῶν γλυπτῶν C  10 ἐν τῷ πρώτῳ νάρθηκι Z  11 εὐμέτρους PVR
12 lacunam indicavi; an πύλας ⟨τρεῖς κατὰ τὸ ἀριστερὸν

*μέσον τῶν δύο μεγίστην ἀργυρέαν χρυσέμβαφον, τὰς πάσας πύλας καταχρυσώσας· ἔσωθεν δὲ τῶν τριῶν πυλῶν ἀντὶ ξύλων κοινῶν ἔβαλεν ἐκ τῶν τῆς κιβωτοῦ ξύλων.*

**19.** *Βουλόμενος δὲ καὶ τὸν πάτον ὁλοάργυρον ποιῆσαι, οὐ συνεβούλευσαν αὐτῷ διὰ τὸ εἰς τὰ ἔσχατα πένητας ἁρπάσαι αὐτά. Οἱ δὲ αὐτὸν ἀναπείσαντες ἦσαν Ἀθηναῖοι φιλόσοφοι καὶ ἀστρολόγοι, Μαξιμιανὸς καὶ Ἱερόθεος καὶ Σύμβουλος, λέγοντες ὅτι ἐν ταῖς ἐσχάταις ἡμέραις βασιλεῖαι ἀμυδραὶ ἐλεύσονται καὶ ταῦτα ἀφέλωνται· καὶ ἐκ τῆς βουλῆς αὐτῶν ἔασε τοῦτο.*

**20.** *Καθ' ἑκάστην δὲ ἡμέραν ἔβαλλεν ὁ βασιλεὺς εἰς τὸν χοῦν χιλιάδας δύο μιλιαρίσια· καὶ ὅτε ἐπλήρουν τὸ ἔργον οἱ τεχνῖται τῇ ἑσπέρᾳ, ἐσκύλευον τὸν χοῦν καὶ εὕρισκον τὰ μιλιαρίσια. Τοῦτο δὲ εἰς χαρὰν τοῦ λαοῦ ὁ βασιλεὺς ἐποίησε καὶ εἰς προθυμίαν. — Καὶ ἡ μὲν ὕλη ἀπεσωρεύθη, καθὼς προεῖπον, εἰς χρόνους ἑπτὰ ἥμισυ καὶ ἀπετέθη. Ὁ δὲ ναὸς ἐκτίζετο καὶ ἐτελειώθη παρὰ τῶν προειρημένων ἀνδρῶν δέκα χιλιάδων μετὰ ἐπιμελείας καὶ πολλῆς σπουδῆς εἰς χρόνους ἐννέα παρὰ μῆνας δύο, ὁμοῦ χρόνοι ις' καὶ μῆνες δ'.*

---

*μέρος καὶ τρεῖς κατὰ τὸ δεξιόν· μέσον δὲ αὐτῶν ἔστησε*⟩ *καὶ πυλεῶνας τρεῖς κτλ.*? Cf. Radulfum *εὐμέτρους* PVR 1 *μεγίστην* om. R *ἀργυρὴν* PV, *ἀργυρᾶν* C; exspectamus *μέγιστον ἀργυροῦν* *πάσας πύλας*] *παραπύλας αὐτῆς* PV 2 an *τῶν τριῶν μεγάλων πυλῶν*? 3 *καινῶν* PV (cf. Rad.) 4 *ὁλόχρυσον* C 5 *ἁρπάζειν* PV 7 *ἀστρονόμοι* PV *μαξιμῖνος* MZ Vind. 129 *μαξιμιανὸς ἱερόθεος* RF *καὶ σύμβουλος* om. PV, *ὁ καὶ σύμβουλος* B, *καὶ σύμβολος* FAM (*συμβουλεύοντες* E, nomina omisit D) 8 *βασιλειῶν αἱ ἀμυδραὶ* R, *αἱ μὲν βασίλειαι ἀμυδραὶ* C 9 post *ἐκδαφιοῦσι* (= *ἀφέλωνται*) addit K: *εἰ δέ εἰσι λίθοι, συνίστασθαι ἔχει ὁ ναὸς ἕως τῆς συντελείας τοῦ κόσμου* *αὐτῶν*] *αὐτῆς* R 11—14 In K haec bis narrantur, et hic et in iis quae dedi ad c. 9 *δὲ* om. R 12 *δύο ἥμισυ χιλιάδας ἀργύρια* K post *μιλιαρίσια* addunt *καὶ ἐμίγνυον εἰς τὸν χοῦν* PVZ 15 *ἐπενόησε* RZ 16 *ἀπετίθη* R 19 *παρὰ μηνῶν δύο* R,

**21.** Τὸν δὲ ἄμβωνα ἐποίησε σὺν τῆς σωλέας μετὰ σαρδονύχων, ἐντιθέμενος καὶ πολυτίμους λίθους σὺν κιόνων ὁλοχρύσων καὶ κρύων καὶ ἰασπίων καὶ σαμφείρων· καὶ χρυσίον πολὺ ἐνέδυσε τὰ ἐπάνω τῆς σωλέας. Εἶχε δὲ τροῦλον χρυσοῦν μετὰ μαργαριταρίων καὶ λυχνιταρίων καὶ σμαράγδων. Ὁ δὲ σταυρὸς τοῦ ἄμβωνος ἔστενε χρυσοῦ λίτρας ρ´· εἶχε δὲ καὶ σειστὰ καὶ λυχνίτας σὺν μαργαριταρίων ἀπιδωτῶν· ὁλόχρυσα δὲ πετάσια ἀντὶ στηθέων εἶχεν ἄνω ὁ ἄμβων.

**22.** Τὸ δὲ στομίδιον αὐτὸ τοῦ φρέατος ἤχθη ἀπὸ Σαμαρείας· τούτου χάριν ἐκλήθη ἅγιον φρέαρ, ὅτι ἐν αὐτῷ ὡμίλησε τῇ Σαμαρίτιδι ὁ Χριστός. Αἱ δὲ τέσσαρες σάλπιγγες αἱ χαλκαῖ, ἃς ἔστησεν ἐν τῷ φρέατι τῷ ἁγίῳ, ἀπὸ Ἰεριχὼ ἐκόμισεν αὐτάς, ἃς εἶχον τότε οἱ ἄγγελοι † εἰς μίμησιν, ὅτε ἔπεσον τὰ τείχη Ἰεριχώ. Ὁ δὲ τίμιος σταυρὸς ὁ ἱστάμενος σήμερον ἐν τῷ σκευοφυλακείῳ τὸ μέτρον ἐστὶ τῆς ἡλικίας

---

παρὰ μῆνας η´ EF, παρὰ μῆνας τρεῖς Vind. 129, καὶ μῆνας δύο PV, καὶ μῆνας δ´ DK, correxi ex Z   ὡς ὁμοῦ χρόνους V, ὡς ὁμοῦ χρόνοι P, ὡς εἶναι τοὺς πάντας χρόνους C   καὶ μῆνας η´ PV, om. C, ἥμισυ Voss.   p. 97, 20 Hoc loco addit K πολλοὶ δὲ τῶν χρονογράφων λέγουσιν εἰς ιζ´ ἔτη κτισθῆναι δηλονότι καταριθμοῦντες τοὺς ἑπτὰ χρόνους οὓς συνήγετο ἡ ὕλη   1 σὺν τῇ σωλέᾳ C   2 ἀντιθέμενος codd.; corrigebam   3 ἰασπίων] ἀσπίνων PV   σαπφείρων V   χρυσίον χυμευτοῦ K   5 χρυσὸν R   καὶ λυχνιτ. καὶ σμαράγδων om. RC   7 κατὰ σειστὰ CZ, μετὰ κατασείστων Voss., καὶ σειζὰς Swainson p. 139; sed cf. indicem s. v. σειστόν   καὶ ante λυχν. om. RC (συστὰ λυχνιτάρια Vind. 129)   σὺν μαργαριταρίοις ἀπιδωτοῖς C   8 ἀντὶ] ἐπὶ Swainson   9 τὸ δὲ στόμιον τὸ λίθινον K   αὐτὸ] αὐτοῦ C, om. PV   ἀπὸ σαμαρείαν R   10 τούτου γὰρ χάριν PV   11 σάλπιγγαι PV   12 ἀπὸ Ἰεριχοῦ αἱ ἠχήσασαι καὶ τὰ τείχη πεσόντα (ἔπεσον $A_1$) AM   13 ⟨ἐκείνων⟩ ἃς εἶχον?   ἄγγελοι] ἱερεῖς Vind. 129   εἰς μίμησιν om. K Vind. 129, κατὰ μίμησιν Voss.

14 Post Ἰεριχώ inserit K: ἡ δὲ σέλλα τοῦ ἁ. Κωνσταντίνου ὕπερθεν ἵστατο τοῦ ἁγίου φρέατος ἐπάνω τῶν σαλπίγγων. Cf. Vatic. 1701 ad p. 103, 4   De cruce Christi cf. Dobschütz Christusbilder p. 299**, Anton. Novg. p. 88   15 σήμερον om. RCZ   ἐν τῷ σκευοφυλ. om. C

*τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ· ὃς ἀκριβῶς ἐμετρήθη παρὰ πιστῶν καὶ ἀξιολόγων ἀνδρῶν ἐν Ἰερουσαλήμ. Καὶ διὰ τοῦτο ἐνέδυσεν αὐτὸν ἄργυρον καὶ λίθους παντοίους καὶ κατεχρύσωσεν αὐτόν· καὶ μέχρι τῆς σήμερον ἰάσεις ποιεῖ νοσημάτων καὶ δαίμονας ἐλαύνει. Ἓν δὲ | ἕκαστον* Ba 76 *κιόνιον τῶν ἄνω καὶ τῶν κάτω ἅγιον λείψανον ἔχει ἐνθρονιασμένον.*

**23.** *Ἐποίησε δὲ καὶ σκεύη ὁλόχρυσα, τῶν δώδεκα ἑορτῶν ἄλλα καὶ ἄλλα, ἀπό τε εὐαγγελίων ἱερῶν, χερνιβοξέστων, ὀρκιολίων, δισκοποτηρίων, δίσκων· ἐποίησε δὲ πάντα ὁλόχρυσα διὰ λίθων καὶ μαργάρων· ὁ δὲ ἀριθμὸς τῶν ἱερῶν*

---

5 Tota enim ecclesia S. Sophiae constructa est cum reliquiis multorum et diversorum Sanctorum (cf. p. 92, 15)
8 *Chron. anni 1570 (cod. Paris. 1790); quocum consentit cod. Vindob. hist. gr. 94: Ἔκαμε δὲ ὁ βασιλεὺς ἱερὰ σκεύη τῶν ιβ΄ ἑορτῶν χωρὶς τῶν καθημερινῶν καὶ ἄλλα πολύτιμα χερνόξυστα καὶ ποτήρια καὶ λαβίδας (καὶ σφουγγήτας καὶ ἁπλῶς εἰπεῖν add. Vind.) διὰ χρυσίου ἢ λίθων πολυτελῶν· ὑπῆρχε δὲ ὁ ἀριθμὸς τῶν ἱερῶν σκευῶν χίλια καὶ ἕνα· καὶ στέμματα ἤγουν τέμπλα τῶν ιβ΄ ἑορτῶν ἀνὰ ιβ΄, ὁμοῦ φορέματα τῶν ἱερέων ρμδ΄· σοληνίτας (σωληνωτὰς Vind.) τ΄, ποτηροκαλύμματα καὶ ἀέρας χρυσοϋφάντους διὰ λίθων καὶ μαργάρων χιλιάδας γ΄, εὐαγγέλια χρυσόγραφα ἐγκοσμημένα μετὰ λίθων καὶ μαργάρων κδ΄ τιμῆς χρυσαφίου λιτρῶν ιε΄· θυμιατήρια χρυσὰ καὶ ἀργυρὰ τ΄ καὶ λυχνίτας (λυχνίας Vind.) χρυσὰς ἀνὰ λιτρῶν εἴκοσι τ΄· τὰ δὲ πολυκάνδηλα καὶ βαστάγια (βοστρίδες Vind.) τοῦ ὅλου ναοῦ χιλιάδας γ΄ (λ΄ Vind.) ἐξ ἀσημείου καθαροῦ χρυσωμένα*

---

2—7 om. K  3 *ἄργυρον*—4 *αὐτόν* om. R (homoiotel.)  *ἀργύρῳ καὶ λίθοις* Z  5 *καὶ νοσήματα* PVC  5—7 haec tradit K in c. 15; v. adn.  *δὲ* om. DF, *γὰρ* E; *ἐν παντὶ δὲ κίονι τῶν ἄνω καὶ τῶν κάτω ἓν ἕκαστον* (*ἓν ἕκ.* om. Z) *ἅγιον λείψ. κτλ.* PVRZ  8 *τῶν δώδεκα*—11 *ὁλόχρ.* om. R (homoiotel.)  9 post *ἑορτῶν* inserunt Voss. et Vind. 129 *παρηλλαγμένα ἀλλοῖα καὶ ἀλλοῖα* C  *ἀπὸ*] initium faciens ab . .  *εὐαγγελίων*] *ἀγγείων*? evangelia enim p. 100, 4 memorantur  11 *ὁ δὲ* om. PVC  *ὁ δὲ ἀριθμὸς ἑνὸς ἑκάστου τῶν σκευῶν εἴδους ἔστιν ἀνὰ χιλίων* Z

σκευῶν χιλιὰς α΄. Ἐνδυτὰς διὰ λίθων χρυσᾶς σωληνωτὰς τ΄, στέμματα ρ΄, ἵνα ἔχωσι ἐν μιᾷ ἑκάστῃ ἑορτῇ ἴδια· ποτηροκαλύμματα, δισκοκαλύμματα ὁλόχρυσα διὰ μαργαριταρίων καὶ λίθων ἀτιμήτων χιλιάδα α΄· εὐαγγέλια, ἔχοντα ⟨σταθμὸν⟩ ἀνὰ κεντηναρίων δύο, εἴκοσι καὶ τέσσαρα· θυμιατήρια ὁλόχρυσα λϛ΄ διὰ λίθων, λυχνίας χρυσᾶς τ΄, ἐχούσας σταθμὸν ἀνὰ λιτρῶν μ΄, πολυκάνδηλα καὶ βοτρύδια τοῦ νάρθηκος καὶ τοῦ ἄμβωνος καὶ τοῦ βήματος ὁλόχρυσα σὺν τῶν δύο γυναικίτων χιλιάδας ἕξ. Ἐπεκύρωσε δὲ καὶ κτήματα τξε΄ ἀπὸ Αἰγύπτου καὶ Ἰνδίας καὶ πάσης ἑῴας καὶ δύσεως ὑπάρχοντα εἰς διοίκησιν τοῦ ναοῦ· ἐκτυπώσας μίαν ἑκάστην ἑορτὴν δίδοσθαι ἔλαιον μέτρα χιλιάδα μίαν καὶ οἴνου μέτρα τ΄, ἄρτους τῆς προθέσεως χιλίους. Ὁμοίως καὶ τὰς ἐφημέρους ἐξέθετο κληρώσας ἱερεῖς τε καὶ ἕως ἐσχάτου τῶν ὑπουργούντων τῷ ναῷ χιλιάδα μίαν, ᾀδούσας ρ΄, μεριζομένας εἰς δύο ἑβδομάδας. Δέδωκε δὲ τῷ κλήρῳ κέλλας εἰς τὰ πέριξ

9 possessiones et villas

1 χιλιάδα μία R, χιλιάδας μβ΄ C, χιλ. με΄ Voss. Vind. 129 ἐνδυτὰς] sc. ἐποίησε διὰ λίθους REF 2 τ΄] ἑκατὸν καὶ R ποτηριοκαλύμματα V 4 χιλιάδα μία R, χιλιάδας μβ΄ C, χίλ. β΄ Vind. 129 5 σταθμὸν supplevi ἀνὰ κεντ. δύο] ἀνὰ κεντην. δύο λίτρας C, ἀνὰ κεντ. τέσσαρα Vind. 129; fort. ἀνὰ δύο λίτρας vel λιτρῶν scribendum est εἴκοσι καὶ τέσσαρα] δώδεκα καὶ τέσσαρα R 6 ὁλόχρυσα ἕτερα λϛ΄ R λυχνίτας PV (διὰ λίθων λυχνιταρίων C, διὰ λιθομαργάρων ἀτιμήτων Voss.) τ΄ om. RC 7 χρυσοῦ σταθμὸν λίτρας (ἕκαστον add. E) μ΄ C πολυκάνδηλα βοτρύδια RC (βοστρίδες Vind. 94) 8 σὺν om. RC γυναικιτῶν ER χιλιάδες RP, χιλιάδαι V κτήματα] προάστεια K; an κτήματα καὶ προάστεια? cf. Radulf. 11 καὶ ὑπάρχοντα R μιᾷ ἑκάστῃ ἑορτῇ CZ, μιᾶς ἑκ. ἑορτῆς PV 12 καὶ οἴνου—15 χιλιάδα μίαν om. R (homoiotel.) 13 τὰς ἐφημέρους sc. λειτουργίας, nisi forte cum Z τὰς ἐφημερίας scribendum est (ὁμοίως ἑκάστης ἡμέρας κληρώσας ἱερεῖς κτλ. Vat. 1701) 15 χιλιὰς μία PV, correxi (CR desunt) 16 κελλία PVC εἰς τὸν πέριξ R

*κατὰ τὴν τάξιν αὐτῶν καὶ ταῖς ᾀδούσαις σκηνώματα, δύο ἀσκητήρια.*

**24.** *Σταυροὺς δὲ ἐποίησε πέντε στένοντας χρυσοῦ ἀνὰ κεντηνάριον ἕν, καλλωπίσας αὐτοὺς ἀπὸ παντοίων λίθων πολυτελῶν ὡς διατιμᾶσθαι τούτους κεντηνάρια η΄· καὶ μανουάλια δύο ὁλόχρυσα διὰ λίθων σὺν μεγίστοις μαργαριταρίοις, ἃ καὶ ἀπετιμήθησαν χρυσοῦ κεντηνάρια ε΄· καὶ ἕτερα μανουάλια β΄ ὁλόκρυα γλυπτὰ παμμεγέθη· τοὺς δὲ πόδας αὐτῶν ὁλοχρύσους τιμωμένους χρυσοῦ κεντηνάριον ἕν. Καὶ ἐποίησε φατλία διάχρυσα διὰ λίθων τέσσαρα τιμώμενα κεντηνάριον ἕν, ἵνα ἵστανται ἐπάνω τῶν χρυσῶν καὶ κρύων μανουαλίων. Ἕτερα δὲ εὐμεγέθη ἐποίησεν μανουάλια ὁλοάργυρα ν΄ καὶ ἀνδρόμηκα ὁλοάργυρα σ΄ τοῦ ἵστασθαι εἰς τὸ θυσιαστήριον.*

**25.** *Εἰς δὲ τὸν ἄμβωνα ἐξω|δίασε χρόνου πάκτον, ὅπερ* Ba 77
*ἐλάμβανεν ἐκ τῆς Αἰγύπτου μόνης, κεντηνάρια τξε΄. Ταῦτα εἰς τὸν ἄμβωνα ἐξωδίασεν σὺν τῆς σωλέας· πάκτα γὰρ ἐλάμ-*

---

14 tributum de uno anno. *Chron. anni 1570 (Par. 1790): ἑνὸς χρόνου εἰσόδημα*

---

3—13 om. K *πέντε*] *ζ΄* C *στένοντα* RPV, correxi (*στήσαντας* C) *ἀνὰ κεντ. ἕν*] om. Z, *κεντηνάρια ἕξ* R, *λίτρας ρια΄* C 4 *παντῶν* R, *πάντων* C 5 *διατιμεῖσθαι* R *ἀνὰ κεντηνάρια η΄* PV, *λίτρας ρη΄* C *μανουάλια* C] *μενάλια* R, *μενάλλια* P, *μανάλια* V; in hac voce omnibus deinceps locis codd. maxime variant 6 *σὺν*] *ποσυν* (sic) R 7 *κεντηνάρια ε΄* PV Vind. 77, *λίτρας ρξ΄* R, *λίτρας ρλε΄* C, *λίτρας ρε΄* Z, *κεντ. ς΄* Vat. 1701, *κεντ. σ΄* Vind. 129 8 *ὁλόκρυα*] *ὁλόχρυσα* CZ 9 *κεντ. ἕν*] *λίτρας ἑκατὸν ὀγδοήκοντα* R, *κεντηνάρια ια΄* C, *ἀνὰ κεντηναρίου ἑνὸς* Vat. 1701 10 *διάχρυσα*] *διάφορα* C *τεσσάρων τιμωμένων* R *κεντ. ἕν*] *λίτρας ρλ΄* R, om. C 12 *μανουάλια—ἵστασθαι* om. RC *καὶ ἀνδρ. κτλ.*] *καὶ* et *ὁλοάργ. σ̄΄* om. PV; restitui ex Z Vind. 77, 129, Vat. 1701 13 *ἀνδρομήκη* Z Vat. 1701, *ἰσόμυκα* Vind. 77, *ἰσόμακρα* Vind. 129 14 *ἐξωδίασε* om. R, *ἐξωδιάσθη* PV *χρόνου πάκτον—16 ἐξωδίασεν* om. PVR (homoiotel.), restitui ex Z et Vat. 1701 (corrupte exstant in C: *διὰ πάντων χρυσόν, ὅσπερ* (*ὅπερ* D) *ἐδόθη ἐκ τῆς Αἰγ. μόνης κτλ.*)

*βανε μέχρι χίλια κεντηνάρια· ὁ γὰρ μέγας Κωνσταντῖνος ἐτύπωσεν ⟨πάκτα λαμβάνειν⟩ ἀπὸ Σαρβάρου Περσῶν βασιλέως καὶ ἑτέρων πολλῶν. Ὁ δὲ ναὸς ὅλος σὺν τῶν ἔξω καὶ τῶν πέριξ ἔχει ἔξοδον χωρὶς τῶν ἱερῶν σκευῶν καὶ τῶν λοιπῶν εἰδῶν καὶ τῶν κατὰ δωρεὰν προσελθόντων ἀπὸ πάσης τῆς βασιλείας χρυσοῦ χάραγμα ὁμοῦ κεντηνάρια ͵γσʹ.*

**26.** *Ὁ δὲ Ἰουστινιανὸς μόνος ἤρξατο καὶ μόνος ἐτελείωσε τὸν ναὸν μηδενὸς ἑτέρου συνδρομὴν ποιήσαντος ἢ οἱανδήποτε οἰκοδομήν. Θαῦμα δὲ ἦν ἰδέσθαι ἐν τῷ κάλλει καὶ τῇ ποικιλίᾳ τοῦ ναοῦ· ὅτι πάντοθεν ἔκ τε χρυσοῦ καὶ ἀργύρου ἐξήστραπτεν. Καὶ εἰς τὸ ἔδαφος θαῦμα ἦν τοῖς εἰσιοῦσι ἐν τῇ πολυποικιλίᾳ τῶν μαρμάρων δίκην θαλάσσης ὁρᾶσθαι καὶ ποταμοῦ ἀεὶ ῥέοντα ὕδατα. Τὰς γὰρ τέσσαρας*

---

3 intus et foris et in circuitu  6 milia ducenta. *Chron. anni 1570 (cod. Par. 1790) quocum facit Vindob. 94: κεντηνάρια χρυσάφη ͵βχνγʹ. (v. quae exponam de his codd. in 'Byz. Zeitschr.' 1901)*  13 quatuor autem venas virides etc.

---

2 *ἐτύπωσεν* . . . . . R, *ἐποίησεν ἐκτυπώσας* PV, *ἐτύπωσεν* ZC Vat. 1701; supplebam (*ἐτυπώθησαν παρὰ τοῦ μεγ. Κωνστ. ἀπὸ κτλ.* K)  *Σαρβάρου* K, *σαροβάρους* PV, *τε βαρβάρους* R, *βαρβάρων* CZ (*βουλγάρων* Vat. 1701); cf. Codin. p. 20, 9 sqq. et 21, 3 Bekk.  *βασιλεῖς* PVR, *βασιλέων* C (*βαβυλωνίων* Vat. 1701); restitui ex K  3 *ἔξω*] *ἔσω* R, *ἔσω καὶ ἔξω πέριξ* Vat. 1701, cf. Rad.  4 *ἔχων* PVR Vat. 1701  *σκευῶν* om. R, *τῶν ἱερῶν σκευῶν καὶ* om. C  *τῶν λοιπῶν εἰδῶν*] *τῶν ἐνδυτῶν* K  5 *καὶ τῶν κατὰ* — 6 *βασιλείας* om. RC  6 *͵γσʹ*] sic REA$_2$BZ Vind. 77, corruptum in rell.  8 *μηδενὸς κτλ.*] *τὴν κατὰ τοῦ ναοῦ συνδρομὴν μηδενὸς ἑτέρου ποιήσαντος οἱανδήποτε οὖν οἰκομήν* (sic) R, *τὴν οἰκοδομὴν μηδενὸς ἑτέρου ποιήσαντος τὸ οἱονδηποτοῦν* C  9 turbavit K: *θαῦμα δὲ ἦν ἰδεῖν· ἀπὸ γὰρ τῆς πολυποικιλίας τοῦ ἐδάφους δίκην θαλάσσης ἐφαίνοντο ἐκ τῆς χρυσοθέου θέας κτλ.*; cf. ad c. 15 p. 93  10 *ἔν τε χρυσῷ καὶ ἀργύρῳ* C  11 *ἐξέστραπτον* R, *ἐξαστράπτον* C, *ἐξήστραπτον* Z, *ἐξήστραπται* Vat. 1701 (deest locus in PV), corrigebam  12 *ἐν τῷ δίκην κτλ.* Z  13 *καὶ*] *ἢ* CZ  *ποταμὸν* (i. e. *ποταμῶν*) D Vat. 1701  *ποταμῶν ἀειρρύτων* Z (*ὕδατα* om.)  *ἀεὶ* om. C

*φίνας τοῦ ναοῦ ὠνόμασε τοὺς τέσσαρας ποταμοὺς τοὺς ἐξερχομένους ἐκ τοῦ παραδείσου καὶ ἔδωκεν νόμον κατὰ τὰς ἁμαρτίας ἵστασθαι ἐν αὐτοῖς ἕνα ἕκαστον ἀφοριζομένους. — Ἐποίησε δὲ καὶ εἰς τὴν φιάλην γύροθεν στοὰς φρεατίας ιβ' καὶ λέοντας λιθίνους ἐρεύγεσθαι τὸ ὕδωρ εἰς ἀπόνιψιν τοῦ κοινοῦ λαοῦ. Ἐν δὲ τῇ δεξιᾷ πλευρᾷ τοῦ δεξιοῦ γυναικίτου ἐποίησε θάλασσαν μέχρι σπιθαμῆς, ἵνα ἀνέρχεται τὸ ὕδωρ, καὶ κλίμακα μίαν, ὅπως ἄνω τῆς θαλάσσης διέρχονται οἱ ἱερεῖς. Ἔστησε δὲ κατὰ πρόσωπον δεξαμενὴν ὀμβριαίαν ναμάτων καὶ ἔγλυψε λέοντας δώδεκα, παρδάλεις δώδεκα, δορκάδας δώδεκα, ἀετοὺς καὶ λαγωοὺς καὶ μόσχους καὶ κορώνας καὶ αὐτοὺς ἀνὰ δώδεκα· καὶ ἐκ τῶν φαρύγγων αὐτῶν ἐμεῖσθαι τὸ ὕδωρ διὰ μηχανημάτων εἰς τὸ τοὺς ἱερεῖς νίπτεσθαι*

---

6 *Chron. anni 1570 (cod. Par. 1790)*: Εἰς δὲ τὸ δεξιὸν μέρος ἔκαμε θάλασσαν ὁποῦ ἐδέχετον τὰ ὀμβρήματα αὐτῶν, πήχιες ξε'· ἐπάνω δὲ τῆς θαλάσσης αὐτῆς ἔβαλεν σκάλαν ἵνα περνοῦν οἱ ἱερεῖς. Ἔστησε δὲ στήλας ἀπὸ ὅλα τὰ ζῶα ἐκ μαρμάρων μετὰ τέχνης πολλῆς, διὰ νὰ εὐγένη τὸ νερὸ ἀπὸ τὰ στόματα αὐτῶν καὶ ἐκεῖ νὰ νήβονται οἱ ἱερεῖς καὶ οὐχὶ ἄλλος τινάς· λέγεται δὲ ὁ τόπος ἐκεῖνος μεταστήρια (sic)

---

1 σφῆνας C Vind. 129, an βῆνας? (cf. Rad.); διὸ καὶ δ' ποταμοὺς ὠνόμασε τὰ δ' τῶν μαρμάρων τμήματα Voss. 2 ἵνα κατὰ PV 4 ἐποίησε δὲ καὶ τῆς φιάλης γύρωθεν C φρεατικὰς PV, φρεατινὰς C, φρεατιαίας Z ιβ'] πέντε Vat. 1701. Hoc loco idem cod. addit: ἐπάνω αὐτῶν ἵστατο ἡ σέλα τοῦ μεγάλου κωνσταντίνου ὁλοχρύση (v. ad p. 98, 14)· ἐκ τὴν χρυσόθεον θέαν τῶν οἰκημάτων τηλαγαρικῶν καὶ τῶν κεφαλοκιόνων πάντων θαυμάζεσθαι πάντα ἄνθρωπον τὸ τοιοῦτον ἔργον τῆς πολυποικιλίας κτλ. (cf. K ad c. 15 p. 93) 5 ἐρύεσθαι R 7 ⟨ἐν ᾗ⟩ μέχρι σπιθαμῆς ἀνέρχεται? (ὡς πεθαμὶν τὸ βάθος ἵνα ἀναβαίνῃ τὸ ὕδωρ Vind. 129; θάλασσαν φερομένην τὸ ὕδωρ εἰς τὰ τῆς φιάλης φρέατα καὶ κλίμ. κτλ. Voss.) 9 κατὰ πρόσωπον om. C (καταντικρὺ Vind. 129, κατὰ πρόσωπον τῆς θαλάσσης Voss.) δεξαμενὰς ὀμβριμαίας C (nisi quod ὀμβρικὰς E) 10 παρδάλεις ιβ', δορκάδας ιβ'] om. R δορκὰς PVD 11 λαγώους codd. καὶ κορώνας—δώδ. om. R 12 ἐμεῖσθαι] ἀνιμᾶσθαι C, ἐμίσεσθαι R 13 καὶ διὰ μηχανήματος R

*μόνον. Ἐκάλεσε δὲ τὸν τόπον Λεοντάριον· καὶ Μητατώριον, ὅπερ ἐκεῖσε ἀνήγειρεν κοιτῶνα ὡραῖον διάχρυσον, ἵνα πορευομένου αὐτοῦ ἐν τῷ ναῷ ἐκεῖσε καθεύδῃ. Τὴν δὲ ὡραιότητα καὶ τὴν ὑπερβολὴν τοῦ κάλλους τοῦ κεχρυσωμένου καὶ διηργυρωμένου ναοῦ ἀπὸ ὀρόφους ἕως ἐδάφους τίς διηγήσεται;*

27. *Ὅμως τελειώσας τὸν ναὸν καὶ τὰ ἱερὰ ἀναθήματα τῇ κβʹ τοῦ Δεκεμβρίου μηνὸς εἰςῆλθεν ἀπὸ τοῦ παλατίου μετὰ προελεύσεως ἕως τῶν πυλῶν τοῦ Αὐγουστίωνος τοῦ ἐξερχομένου εἰς τὸ ὡρολογεῖον, καθεζόμενος ἐφ' ἅρματος τετραΐππου καὶ ἔθυσε βόας ͵α, πρόβατα ͵ϛ καὶ ἐλάφους χʹ καὶ σύας ͵α, ὄρνεις καὶ ἀλεκτρυόνας ἀνὰ δέκα χιλιάδας. Καὶ δέδωκε πένησι καὶ τοῖς δεομένοις σίτου μόδια τριςμύρια· ταῦτα δέδωκε τοῖς πένησιν τῇ ἡμέρᾳ ἐκείνῃ μέχρι ὡρῶν γʹ.*
Ba 78 *καὶ τότε εἰςώδευσεν ὁ | βασιλεὺς Ἰουστινιανὸς μετὰ τοῦ σταυροῦ*

---

10 sedens super armos (= *ἐφ' ἅρματος*) quatuor equorum, coronatus, tenens sceptrum in manu etc. 11 oves VII milia
10 sqq. *Alios numeros mactatorum animalium et frugum et vini praebet Chron. anni 1570 et Vindob. 94, de quibus videsis quae disseram in Byz. Zeitschr. 1901* 14 usque horam ter-

---

1 *καὶ μόνους* PV, *μόνους* Z *λεοντάρια καὶ μητατόρια* R, *λεοντάρια καὶ κοιτατόριον* Z; *λεοντάριν* C; *μητατώριον* om. C Vind. 129, pro eo *κοιδι'* F 2 *ὅπερ*] *δι' ὃν* Z, *ἐν ᾧ* Voss., *ὅνπερ* (*καὶ κοιτῶνα ἀνήγ. ἐκεῖσε*) C 3 *ἐν τῷ ναῷ*] *ἀπὸ τοῦ ναοῦ* C 5 *ὀρόφου* C *ἕως ἐδάφους* om. R 8 *κβʹ*] *τῇ εἰκάδι δευτέρῃ* R *νοεμβρίου* C 9 *ἕως τῶν πυλώνων* Vind. 129 et C (qui *ἕως* om.), *τὸν πυλῶνα* PV, *ἕως τῆς πύλης* K *αὐγουστίου* R Vind. 129, *αὐγουστίωνος* vel *αὐγουστιῶνος* rell. *τοῦ εἰςερχομένου* PV, *τῶν ἐξερχομένων* Z, om. K 10 *ἀπὸ τοῦ ὡρολογίου* Voss. (*ὡρολόγιον* PVF, *ὡρολογίον* RD, *ὡρολογεῖον* E) 11 *͵α*] *χιλιάδας τρεῖς* R *χʹ*] *φʹ* PV 12 *͵α*] *χιλιάδας τρεῖς* R *ὄρνας* PV *ἀνὰ χιλιάδων δέκα* PV 13 *τρισμύρια τριακόσια* R, *μυριάδας τριακοσίας* Z; *μοδίους τρισμυρίους* C, *μόδια χιλιάδας τλʹ, κρισὶν* (*κριθὴν*?) *μέτρα διακοσίας χιλιάδας καὶ ρηʹ· ταῦτα κτλ.* Vind. 129 14 *δέδωκε*] *διελὼν* PV *ὥρας γʹ* PV

*καὶ τοῦ πατριάρχου Εὐτυχίου. Καὶ ἀποδράσας ταῖς χερσὶ τοῦ πατριάρχου ἀπὸ τῶν βασιλικῶν πυλῶν ἔδραμε μόνος μέχρι τοῦ ἄμβωνος καὶ ἐκτείνας τὰς χεῖρας αὐτοῦ εἶπε· ‘Δόξα τῷ θεῷ τῷ καταξιώσαντί με τοιοῦτον ἔργον ἀποτελέσαι· ἐνίκησά σε, Σολομών.’ Καὶ μετὰ τὸ εἰςοδεῦσαι ἐποίησεν ὑπατείαν καὶ δέδωκε κεντηνάρια τρία τῷ λαῷ Στρατηγίου μαγίστρου ταῦτα χύνοντος εἰς τὸ ἔδαφος· καὶ τῇ ἐπαύριον ἐποίησε τὰ ἀνοίξια τοῦ ναοῦ, τοσαῦτα καὶ πλείονα ὁλοκαυτώματα θύσας, καὶ μέχρι τῶν ἁγίων θεοφανίων δι᾽ ἡμερῶν πεντεκαίδεκα κλητορεύων πάντας καὶ ῥογεύων καὶ εὐχαριστῶν τῷ Κυρίῳ. Οὕτως ἐτελείωσε τὸ ἐφετὸν ἔργον αὐτοῦ.*

28. *Διήρκεσε δὲ ὁ νεωτερικὸς τροῦλος ὁ ὑπὸ τοῦ μεγάλου Ἰουστινιανοῦ κτισθεὶς καὶ ὁ ἄμβων ὁ πολυτίμητος καὶ πολύολβος καὶ πολυθαύμαστος σὺν τῆς σωλέας καὶ τοῦ ποικίλου πάτου τοῦ ναοῦ χρόνους ιζ΄. Μετὰ δὲ τὸν θάνατον τοῦ Ἰουστινιανοῦ ἐκράτησεν Ἰουστῖνος ὁ ἀνεψιὸς αὐτοῦ τῆς βασιλείας καὶ εἰς τὸν δεύτερον χρόνον αὐτοῦ ἡμέρᾳ ε΄, ὥρᾳ ἕκτῃ τῆς ἡμέρας, ἐγένετο πεσεῖν τὸν τροῦλον καὶ συντρίψαι τὸν ἀξιοθαύμαστον ἄμβωνα καὶ τὴν σωλέαν, τούς τε σαρδονύχους καὶ σαμφείρους καὶ ζάμβυκας καὶ μαργαρίτας*

---

tiam et tunc venit in templum. Quando vero venit in orologium, descendit de caruca et intravit in atrium templi et quando venit ad ianuas argenteas templi tenens manum patriarchae Euticii etc. 3 ascendit solus in lectorium 6 auri libras tres

---

1 *Εὐτυχίου* — 2 *πατριάρχου* om. R (homoiotel.) 3 *τὰς χεῖρας εἰς τὸν οὐρανὸν* PV 4 *νενίκηκα* PVBM 5 *ἀπαντὴν* C, *ὑπάτια* $A_2$M 7 *χύνοντος*] *χέοντος* C, *ταχύναντος* R 9 *διὰ δέκα ἡμερῶν* R, *διὰ δε κ ἡμερῶν* F, *διὰ κ΄ ἡμερῶν* E (deest D) 11 *τὸ ἐφετόν τον ἔργον αὐτοῦ* R, *τὸ ἐφετὸν τοῦ ἔργου αὐτοῦ* C, *τὸ ἐφετὸν αὐτῶ ἔργον* Z 12 *ὁ ἰσοτερικὸς τρ.* R, *ἐσωτερικὸς* F (om. E, deest D) 15 *πατοῦ* R, *πλάτους* C 16 *Ἰουστῖνος ὁ ἀν. αὐτοῦ*] *ἰουστινιανὸς ὁ θρᾴξ* AM 17 *τὴν βασιλείαν* R 20 *ζαμβύκους* PV

*σὺν τῶν χρυσῶν στηθέων καὶ κρύων καὶ κιόνων ὁλοαργύρων, καὶ τὸν πολύτιμον πάτον· αἱ δὲ τέσσαρες ἀψίδες καὶ οἱ κίονες καὶ τὰ λοιπὰ κτίσματα ἔμειναν ἀσάλευτα. Ὁ δὲ αὐτὸς βασιλεὺς προςκαλεσάμενος τὸν ζῶντα καὶ καμόντα ἐκεῖσε μηχανικὸν ἐπυνθάνετο παρ' αὐτοῦ, τί τὸ συμβὰν εἰς τὸ χαλάσαι τὸν τροῦλον. Ὁ δέ, φησίν, εἶπεν 'ὅτι ὁ θεῖός σου σπεύσας ἐπῆρεν τοὺς ἀντινύκτας τοὺς ὄντας ἐν τῷ τρούλῳ ξυλίνους καὶ ταχέως ἐμουσείωσεν αὐτόν, καὶ ὅτι ὑψηλὸν ἐποίησεν αὐτὸν πρὸς τὸ πανταχῇ ὁρᾶσθαι καὶ ὅτι τὰς σκαλώσεις κόπτοντες οἱ τεχνῖται ἔρριπτον, καὶ ἐκ τοῦ βάρους ἐσπαράσσοντο τὰ θεμέλια καὶ ἔλαβε † πέψιν ὁ τροῦλος.' Ἔφησαν δὲ οἱ τεχνῖται τῷ βασιλεῖ καὶ εἶπον αὐτῷ ταῦτα· 'εἰ κελεύεις, δέσποτα, ἵνα γένηται ὁ τροῦλος ἐπίπεδος κυμ-*

---

3 Rex autem Iustinus advocavit I g n a t i u m, qui construxit templum. Cui dixit Ignatius: 'Avunculus tuus, domine, festinavit et a b s t u l i t perticos ligneos qui erant in trullo et continuo posuerunt musium et d e a u r a v e r u n t illud cito. Faciamus igitur trullum r o t u n d u m et p l a n u m inferiorem priore quinque passibus.' Aedificaverunt itaque trullum et dimiserunt ligna et pilones usque n o v e m annos

---

1 *σὺν* cum dativis iungit C (*στηθέοις* etc.) *κρύων κιόνων καὶ ὁλοαργύρων* PV, *τῶν ἱερῶν κιόνων καὶ τῶν ἠλεκτρίνων* Z 2 *ἀψίδαι* PV 4 *προςκαλέσας* R *τοὺς καμόντας ἐκεῖσε μηχανικοὺς* PV, qui etiam infra pluralem ponunt (*παρ' αὐτῶν, οἱ δὲ εἶπον*), *τεχνίτην τὸν ἔτι τότε περιόντα ἐκ τῶν ἐκεῖσε καμνόντων* $A_1$M, *τεχνίτας . . . περιόντας κτλ.* $A_2$B (pluralis etiam in Z) 5 *εἰς τὸ χάλασμα τοῦ τρούλου* R, *εἰς τὸ τοῦ τρούλλου τοῦ τοιούτου χάλασμα* Z 6 *εἶπον τῷ βασιλεῖ* PV 7 *ἐπῆρεν*] *ἐπάρας* C, *ἀπῆρε* Z Vind. 129, *ἐπῆραν* K *ἀντινύκτας*] *ξύλινα στηρίγματα* Vind. 129; *ἀντινύκτας καὶ τὰς παντουρώσεις, αἵτινες ἐδέχοντο τὸν τροῦλλον* K 9 *ἐποίησαν* PV 10 *ἔρριπτον*] *ἔκοπτον* R *βάρους* om. PV, *κρότου* K 11 *τὰ θεμέλια*] *τὰ ἄνω* K *ἔλαβε πέμψιν* R, *ἔλ. πίψιν* Z (a *πίπτειν* ?), *ἔπεσεν* K Vind. 129 12 *ἔφησαν δὲ καὶ οἱ τεχνῖται ταῦτα οὕτως ἔχειν· ἀλλ' οὖν εἰ κελεύεις* C 13 *ἐπίπεδος*] *ἐπίπλαστος* DF, *ἐπὶ πλάτος* E *κυμβαλ.*] *τυμβωνικὸς* C

*βαλικός, ἀπόστειλον ἐν νήσῳ τῇ Ῥόδῳ, καθὼς καὶ ὁ θεῖός σου ἐποίησεν, καὶ ἐκ τοῦ αὐτοῦ πηλοῦ καὶ τῆς αὐτῆς σφραγίδος ἰσόσταθμα βήσαλα τοῦ πρώτου μέτρου ἃς ἀγάγωσι. Καὶ προςέταξεν ὁ βασιλεύς, καὶ ἤγαγον τὰ βήσαλα ἀπὸ τῆς Ῥόδου καθὼς καὶ τὸ πρότερον· οὕτως τοίνυν καὶ πάλιν ἐκαμαρώθη ὁ τροῦλος· κόψαντες ἐκ τοῦ προτέρου ὕψους τοῦ τρούλου ὀργυιὰς ε΄, ποιήσαντες αὐτὸν τυμπανικόν, πτούμενοι, ἵνα μὴ τάχιον πάλιν καταπέσῃ, ἐάσαντες τὰ ξύλα καὶ τοὺς κριοὺς τῶν ἀντινύκτων χρόνον ἕνα, ἕως οὗ ἔγνωσαν ποιῆσαι πῆξιν τὸν τροῦλον. Τὸν δὲ ἄμβωνα καὶ τὴν σωλέαν μὴ δυνάμενος ποιῆσαι τοιοῦτον πολυέξοδον καὶ πολύτιμον, ἐποίησεν αὐτὸν οὐδαμινὸν διὰ λίθων καὶ κιόνων ἀργυροενδύτων καὶ στηθέων ἀργυρῶν καὶ βήλων καὶ περιφε|ρίων ἀργυρῶν μετὰ καὶ* Ba 79 *τῆς σωλέας. Τροῦλον δὲ τοῦ ἄμβωνος οὐκ ἠθέλησε ποιῆσαι, ὡς εἶπεν, διὰ τὴν πολλὴν ἔξοδον. Εἰς δὲ τὸν πάτον οὐκ ἠδύνατο εὑρεῖν τοιαῦτα πολυποίκιλα καὶ μέγιστα ἀβάκια, καὶ ἀποστείλας Μανασσῇ πατρίκιον καὶ πραιπόσιτον ἐν Προκοννήσῳ ἔπρισεν ἐκεῖ τὰ μάρμαρα εἰς ὁμοιότητα τῆς γῆς,*

---

(v. p. 107, 7 adn.), *τυμπανικὸς* Voss., *τυμπανοειδὴς* cod. quidam Lambecii, *βησαλικὸς* Z  2 *καὶ* post *ἐποίησε* om. RC  *ἐκ τῆς αὐτῆς σφρ.*] *τοιούτας σφραγίδας* R, *ἐκ τοῦ τοιούτου σφρ.* PV  3 *ἰσοστάθμια* R  *προτέρου* PV  *ἃς ἀγάγωσι* om. RC  *καὶ προςέτ.*—5 *τοίνυν* om. CR  5 *καὶ* (*τοῦτο ποιήσας* add. R) *πάλιν ἐνεκαμώθη ὁ τροῦλος κάτωθεν* (*κόψας ἐκ* R) *τοῦ προτέρου ὕψους τοῦ τρούλου ὀργυιὰς ε΄* RC  *ἐκαμώθη* PV, corrigebam  7 *ὀργυιὰς ιε΄* K  *ποιήσαντες κτλ.*] *καὶ ἐποίησαν καμόντες τοῦτον τυμβωνικόν· πτούμενοι δὲ κτλ.* C  *πτούμενος δὲ μήπως λάβη* (sic), *εἴασε κτλ.* Z  8 *τοὺς τὰ ξύλα* R  *τοὺς κρ. τῶν ἀντιν.*] *τοὺς ἀντίποδας* Z  9 post *ἀντινύκτων* inserit *καὶ τὰς παντουρώσεις* K  *ἕως ἔλαβε τὸ ἔργον πῆξιν* $A_2$B (*μέχρις ἂν συνέπιξε καὶ ἐξηράνθη καλὰ τὸ κτίσμα* Vind. 129, cf. Rhallis et Potlis II 582 *ἡ πῆξις τοῦ θεμελίου*  *πέψιν* CPVZM, *πέμψιν* $RA_1$  10 *ὁ τροῦλλος* PV, om. R  *δυνάμενοι* et 11 *ἐποίησαν* PV  12 *οὐδαμινὸν*] *ὡς ἔστι τὴν σήμερον* C  13 *περιφεριῶν* E  16 *τοιοῦτα* R  17 *μανασ(σ)ῆν* C, *ναρσῆν* K  18 *ἐποίησεν* PV  post *μάρμαρα* inserunt *καθὼς ὁρῶνται* PV  18 et p. 108, 1 *ὁμοιώματα* PV

τὰ δὲ πράσινα εἰς ὁμοιότητα τῶν ποταμῶν τῶν ἐμβαινόντων ἐν τῇ θαλάσσῃ.

**29.** Ὅταν δὲ ἔκοψαν τὰς σκαλώσεις τοῦ τρούλου καὶ ἤθελον καταβιβάζειν τὰ ξύλα, ἐγέμισαν τὴν ἐκκλησίαν ὕδωρ μέχρι πηχῶν πέντε καὶ ἔρριπτον τὰ ξύλα καὶ ἀπεθύμαινον εἰς τὸ ὕδωρ καὶ οὐκ ἐσπαράσσοντο οἱ θεμέλιοι. Καὶ εἶθ' οὕτως ἐτελείωσεν αὐτόν· καὶ τούτου χάριν λέγουσί τινες, ὅτι Ἰουστῖνος ἔκτισεν· ἀλλὰ ψεύδονται οἱ ταῦτα λέγοντες.

---

3 Quando autem volebant magistri proicere omnia ligna perticorum, impleverunt templum aqua usque quinque cubitos. Incidebant ligna et proiciebant super aquam et natabant supra et non commovebant fundamenta templi

---

1 τὰ δὲ πράσινα ποτάμια τὰ τέσσαρα κατὰ μίμησιν τῶν δ' ποταμῶν ἐγένοντο τῶν ἀπὸ τοῦ παραδείσου ἐξερχομένων K
4 καταβάζειν P, καταβάσειν R, καταβιβάσαι C ὕδατος EF
5 μέχρι πηχῶν ε'] om. EF, ἕως οὐργίας ὀκτώ D, ἕως τῶν πρώτων κατηχουμένων K καὶ ἔρριπτον — ὕδωρ om. C, pro his: καὶ κατερχόμενα τὰ ξύλα οὐδεμίαν βλάβην ἐποίουν τοῦ κτίσματος Z ἀπεθύμαινον] vix genuinum; ἀπεθήμαιναν Ottobon. 309, ἐπέθυμον Vind. 77, ἀπωθούμενοι Comb. 6 καὶ εἶθ' — 7 αὐτόν om. RCZ 7 ἐτελείωσεν] sic Vind. 77 et 129, Ottobon. 309 (ἐτελειώθη ὁ ναός Vind. 94); ἐμουσίωσεν PV καὶ τούτου χάριν—λέγοντες] C scribit: ψεύδονται γὰρ οἱ λέγοντες ὅτι καὶ Ἰουστῖνος ὁ ἀνεψιὸς αὐτοῦ ἔκτισεν· τρεῖς γάρ εἰσιν· Ἰουστῖνος ὁ Θρὰξ καὶ Ἰουστινιανὸς ὁ κτίσας καὶ μετ' αὐτὸν Ἰουστῖνος ὁ ἀνεψιὸς αὐτοῦ· περὶ ὧν ὁ λόγος δηλώσει (διέξεισιν E qui insuper addit ἐν τοῖς χρονικοῖς πλατυκότερον καὶ ὁ ἀναγινώσκων εὑρήσῃ). 8 Ἰουστῖνος ὁ ἀνεψιὸς αὐτοῦ PV In fine addunt preces PV: Ἡμεῖς δὲ δῶμεν δόξαν τῷ ἁγίῳ θεῷ κτλ. In classe C subsecuntur paragraphi ex Leone Grammatico p. 127, 3—130, 19 Bonn. sumptae, in K fabula de Ignatio architecto; v. fasc. II.

# Index[1] auctorum.

## 1) In *Παραστάσεις συντόμους χρονικάς.*



## 2) In Narrationem de S. Sophia.



---

1) Indicem hominum ac rerum alteri fasciculo adiciam.

# Index graecitatis.[1]

## 1) In Hesychium.



---

1) Asterisco notabo ea vocabula, quae alibi occurrere non constat. Ubique autem apparatum criticum inspicias.

---

Formae declinationis: Σεμέστρης 2, 10; 3, 7; 4, 4; 7, 4 (sed Σεμέστρᾳ 4, 9), Κλυταιμνήστρης 5, 8
Formae coniugationis: ἀνεθήκατο 7, 7; ἀπολλύειν 9, 4; augmentum neglectum κατεριπωμένον 14, 7
Status quietis et motus saepe confunditur: εἴςπλουν ποιεῖσθαι ἐν τόπῳ 3, 5, cf. 2, 6; διαβὰς ἐν τῇ πόλει 10, 5 (ἔνθεν pro ἔνθα saepius in P)
Temporibus praeteritis promiscue utitur Hes.: e. gr. ὑπερέβαλε καὶ τίκτει 4, 10; ὑφαρπάζει καὶ ἔστη 5, 5; ἐξεῖλεν ἄν, εἰ μὴ γέγονε 11, 11
Participio pro infinitivo utitur: ἕτεροι ἱστόρησαν Μεγαρεῖς ποιησαμένους 3, 5
Sententiarum constructio: Apodosis particula δὲ iungi videtur 7, 14; 3, 15. Particula τε praeter consuetudinem occurrit 5, 15; 6, 10 (P)

---

## 2) In *Παραστάσεις χρονικάς*.

## Vocabula graecolatina.

## Varia grammatica.[1])

Phonetica et orthographica: ἤχμῶδι 22, 31, ἐξέρχετα 56, 17, σωτηρίχιος 57,2, ⟨μοσ⟩καρίδιον 21,5, ἀφ' μαρμάρου 44, 13, λογισθείς (pro λογιστής) 63, 12, τεθαλικόν 60, 2, καταρπάσαι 44, 1; ἐνπυρισμοῦ 23, 1; χαρκῷ 27, 2, Ἀνεμοδουρίῳ 37, 5; κηστέρνη 72, 20 (στέρνη 67, 20; cf. G. Meyer Neugr. Studien III 30).

Formae declinationis: Βερίνα 73, 8, -ας 37, 3 et 10, -ης 46, 4, -αν 60, 15; Ἀνδρομέδας 71, 14 et 72, 13, -η 71, 20 et 72, 10, -αν 72, 5; Φαύστας 23, 16, -ης 50, 20; Κλεοπάτρης 43, 7. — ἐπὶ Βύζα καὶ Ἄντη 41, 17 et 48, 5, Βύζαν 42, 3; Κώνστα 65, 4, -αντος 26, 13; 48, 14; 65, 12, -αν 50, 1; Οὐάλη 24, 15, -εντος 67, 19 et 73, 1. 2; Τερβέλι 40, 6, Χαζάρι 40, 7. — Ζεῦ (Genet.) 26, 6 (cf. Byz. Z. I 565). — τῆς γάλας 45, 3; καρούχας 41, 13; αἱ κοχλίδαι 32, 8, γοργονίδαι 70, 7, αἱ κιννύρες 48, 7, (τὰς) θυσίαις 48, 3, ὀρχήσεις πλείσταις 39, 6, τῶν σαργάνων pro σαργανῶν 50, 12 (not.). — Ἐξακιόνιν 32, 14, Φιλαδέλφιν 56, 11; 66, 14, Κανονάρις 55, 19. — νεώς 57, 13; 51, 7 (saepius ναός), χρυσέων καὶ ἀργυρέων 51, 8; ἀργυρός = ἀργυροῦς 54, 22; 28, 3 (cf. Byz. Z. II 278, VII 371); τὰ δεξίματα (a δέξιμον 65, 7. — ἡ πλάκα 58, 3, αἱ χεῖραι 27, 13; 28, 11; τοὺς θῆρες 60, 5; αἱ πλεῖαι 26, 5; πλείω φόνους 69, 6. — στυράκιον ἐκμώδη 22, 31, ζώδιον πορφυροειδῆ 49, 18, τινὰ ζώδιον 63, 6, ζώδιον κεκμηκότα 62, 11, ζ. κατέχοντα 64, 14, στοιχεῖον συντρέχοντα 62, 9. — μέλαν ἄνθρωπον 52, 23. — ταύτη = αὕτη 41, 13.

Formae coniugationis: augmentum neglectum οἰκοδομήθη 19, 3; 20, 4, ἐπισκόπησαν 20, 5; 59, 12, ἔασεν 58, 2, ἐποχεῖτο 60, 12; σήμανας 48, 13, (πρόκειτο 45, 1, sed cf. 58, 5; 59, 1; 64, 6); reduplic. negl. ἐτύπωτο 58, 7, κατέχωσται 48, 1. — ἐκβάλαι 50, 16, διέπεσαν 67, 18, προςενέγκαντος 27, 3, ηὕρατο 61, 12; ἀφήσας 36, 11, ἀναγνωσάντων 34, 12; παρέδωκαν 20, 7, ἐξέδωκαν 34, 6; παραδέδωκαν 25, 18, γεγραφήκαμεν 34, 12, ἀναγνῶτες 34, 11; κατοχυΐα 30, 1, ἥκασιν, ἧκεν, ἡκέναι 29, 1; 51, 16; 70, 1. 8 etc.; ἐκαλοῦσαν 32, 7, ναυτιοῦσιν 28, 7; πύθεται 71, 19; διολεσθέν 20, 10, ἐμελέσθη 35, 12.

Articulus saepe desideratur contra priscum morem; cf. e. gr. ἕνεκεν στήλης Ἡρωδιανοῦ καταλύσεως 29, 15, ἐν δεξιᾷ χειρί 28, 13, βίσσιον ἐν ᾧ ὁ Χριστὸς ἠλείψατο 33, 16.

---

1) Etiam formas codicis P a me non receptas afferam.

Congruentia generum: *στήλη .. ὃ καὶ παράδοξον ἐδείκνυτο θέαμα* 31, 10 (cf. 31, 17), *στήλη .. ὃ σώζεται* 32, 5 (cf. 49, 11), *ἐν τῷ Στατῆρι ὅπερ λέγεται Μόλιον* 51, 4, *αἱ γεννῶσαι .. τὴν μὲν μίαν .. τὸ δὲ δεύτερον* 60, 5 sqq., *αἱ κεφαλαί .. τὰ μὲν δ΄ .. προςπηχθέντα .. τὰ* (*τὰς* P) *δὲ δ΄* 51, 14 sqq. — Congruentia casuum: *ἐν τῷ Χρονικῷ τὸ τρίτον δημοσιευόμενον* 23, 10, *ἐν τῷ λουτρῷ ἤτοι τὸ Ζεύξιππον* 71, 2, *ἐν τόπῳ .. ἔχων* 44, 4. — Appositio: *μέλαν ἄνθρωπον τὴν στήλην* 52, 13, *ἕνα τὸν ὄπισθεν πόδα* 31, 11, *Ἑλλήνων πλήθη κατοικούντων πολλά* 19, 3, *θέαμα, ἄλλος ἀλλαχόθεν ὁρῶν καὶ ἡ κεφαλὴ μία* 50, 3; *ἐν τῇ πύλῃ εὐωνύμῳ μέρει* 52, 4, *ἐν τῷ τόπῳ τοῖς Βιγλεντίου* 55, 10; cf. adn. ad p. 52, 4.

Casuum rectio: Genetivus: *ἐμπυρισμοῦ τοῦ κάστρου κατειληφότος* 23, 2, *δέχεσθαι καταλύσεως* 36, 23, *ἕως γ΄ ἡμερῶν τοῦ θανάτου* 25, 5, *μετὰ ιη΄ ἡμέρας τοῦ* (*τὸ* P) *σταθῆναι* 69, 9, *ἐξαγόμεθα τοῦ μνημονεῦσαι* 33, 20.

— — Dativus: *παρακαλεῖν τινι* 19, 9 (*τινα* 56, 3), *αἰτεῖν τινι* 35, 5; 63, 21, *πύθεσθαί τινι* 52, 21; 71, 19, *μακαρίζειν τινί* 52, 12 (cf. 16), *τῇ γῇ διορύττειν* 45, 8, *διερχόμενοι τῷ τόπῳ* 29, 13, *μερίσας τῇ πόλει* 27, 4, *καταλαμβάνει τῷ τεμένει* 59, 9; *φθάνειν τοῖς μέλλουσιν εἶναι* 64, 18, *τῷ κεντυρίωνι ἐπετίμησεν ἄξιον θανάτου* 43, 9, *τοῖς κακοῖς τῷ θανάτῳ Ἀρδαβούριον ἔβαλλον* 29, 14; *μολίβδῳ χρυσῷ καταμίξας* (29, 11) et similia saepe exhibet codex, v. adn. crit.

Casuum rectio: Accusativus: *δείκνυσι τὸ θηρίον τὴν κεφαλήν* 72, 2 sq. (cf. Byz. Z. VII 377), *δικαίαν ψῆφον ἀπένεμον τὸν θάνατον* 69, 21, *ἐρασθεὶς τὸν τόπον* 33, 8, *προςεγγίζειν τι* 36, 17; (*τινι* 23, 5), *μαντεύειν τινά* 26, 11, *πρόβλημα ὃ ἐφιλοσόφησε Κράνος* 64, 10, *πολεμεῖν τινά* 55, 11, *φατριάζειν τινά* 46, 7, *οὐκ ἐχώρησε* (*ἐχώρισε*?) *τὴν μορφὴν πρὸς τὸ ἀρχέτυπον* 71, 5, *χρῄζω τινά* 42, 7.

Praepositiones. Status quietis et motionis saepissime confunditur. — *Ἀπὸ τὸ Φιλαδέλφιν* 56, 11 (rell. locis cum genet.); *ἀπὸ Λύκου λατρευόμενος* 47, 6, *τὰ τρία* (sc. *ἀγάλματα*) *ἀπὸ ἑνὸς σιδήρου* 32, 15, *ἐδίδαξεν ἀπὸ χρονογράφων* 45, 12. — *Διά*· *στήλη διὰ μαρμάρων — διὰ ψηφίδων ἀργυρῶν* 27, 1 (cf. Malal. ind.), *ἀργυρίου ποίησις διὰ μαρμαρ⟨ίν⟩ων γραφῶν* 34, 10, *δι' ἀληθείας τρόπον* 61, 9. Saepissime *διὰ τὸ* cum infinitivo occurrit. — *Εἰς*· *εἰς θρόνους ἐτίμησε* 58, 16, *εἰς δῶρον ἄγειν* 53, 27, *εἰς Τύχην προςεκυνήθη* 56, 16, *εἰς πάκτον* 28, 14; 51, 10 (cf. *ἀντὶ πάκτων* 41, 16); *εἰς θέαμα, θαῦμα, θέαν εἶναι* sim. 29, 2; 34, 17; 41, 11; 54, 12; 58, 2 (cf. Thumb gr. Spr. im Zeitalter d. Hell. 132); *εἰς πλῆ-*

*λαβούσας* 45, 15; *τοῖς προαναδεδηλωκόσι* 31, 18, *διὰ τὸ λέγειν* (= *λέγεσθαι*) 32, 19. — Activum pro medio *παύειν* 21, 2, *κατοχεῖν* 30, 1. — Medium pro activo *ἰδέσθαι* 20, 20 (cf. B. Z. VII 373), *βεβαιοῦσθαι* 41, 3; 45, 12; 50, 15; 60, 1 (sed *ἐβεβαίωσαν* 40, 10). — *διαδέχομαι* active 65, 11 et paulo post 65, 15 passive (cf. Anall. Bolland. II 198, 12 sq.); *ὁ σταυρὸς ἀναγινωσκόμενος* 30, 10 sq.

Temporibus praeteritis promiscue utitur auctor.

Modi: *ἐπὶ πλεῖον θαυμάσοι* 42, 17; *οὐ σιωπήσωμεν* 43, 12; *δόγμα προέθηκεν ὅτι γένηται* 53, 2; *ὅπου ἐὰν εὑρεθείη καὶ μὴ μηνυθῇ* 52, 25, *ἐὰν εἶεν* 47, 12; *ἐάν τις ἐρευνήσει* 42, 16.

Infinitivus: *συνδραμόντες ἐγεῖραι* 31, 14, *ἀπελθόντων ἱστορῆσαι* 35, 15 sq., *ἐτυπώθησαν αἱ χεῖραι ἀμφοτέρους μὴ ἀγανακτεῖν* 28, 10 sq. Saepissime cum praepositionibus iungitur.

Sententiarum constructio: Pro verbo finito saepissime infinitum ponitur subaudita locutione quali *χρὴ γινώσκειν*. Interdum verbum finitum et infinitum iunguntur: *διέκειτο τοῦτο καὶ ἀρκέσαι τὴν ἱστορίαν* 45, 9 sq., *δέον γινώσκειν ὅτι κατοικοδομήθη καὶ ναὸν εἶναι* 19, 2 sq. Saepe *ἐστίν* vel *εἰσίν* omittuntur velut *ὅθεν καὶ στήλη Οὐαλεντινιανοῦ* 28, 12. Etiam participium occurrit loco verbi finiti in enuntiatis subordinatis: *ὅτι πᾶσα ἔνδεια ζυμωθεῖσα* 64, 16, *κινστέρνη ἥτις κτισθεῖσα* 73, 1, cf. Dindorfi indicem Malalae.

Participium genetivi absolutum saepe ponitur pro relativo: *τοῦ πυρὸς προςεγγίζοντος ὑπεχώρει τῆς στήλης* (sc. *τὸ πῦρ*) 23, 5, *Μαναΐμ νικήσαντος ἠξιώθη* 27, 8, *ἀπελθόντων ἡμῶν . . εὕρομεν* 35, 15 etc. etc.

— Nominativus absolutus: *Κωνσταντίνου καὶ Ἑλένης εἰκόνες ἐτυπώθησαν ἀμφοτέρων αἱ χεῖρες τὸν σταυρὸν κατέχουσαι* 54, 24; *τὸ γενέθλιον γέγονε . . πολλὰ χαρισαμένου . . καταλείψας τὰ γενέθλια εἰς μνήμην* 57, 8 sqq.

*νῦν σωζόμενον Ἱπποδρόμιον ἐκτίσθη παρὰ Σευήρου κήπων ὄντων ἐκεῖσε ἀδελφῶν δύο καὶ χήρας γυναικός. Μέχρι δὲ τοῦ Χαλκοῦ πεδίον ἦν· ἀπὸ δὲ τοῦ Χαλκοῦ μέχρι τοῦ Σφενδόνος κίονες εὐμεγέθεις ἀνηγέρθησαν (ἐξ οὗ καὶ ἡ ψυχρὰ κινστέρνα ἐστί), διότι κρημνώδης ἦν ὁ τόπος.* **41.** *Τὸ δὲ ἓν μέρος τῶν βαθμίδων ἀνεπληρώθη παρὰ Σευήρου, τὸ ἕτερον καταλιπὼν ἀτελὲς διὰ τὸ ἐλθεῖν αὐτῷ ἀγγελίαν ὅτι οἱ Γάλλοι πορθοῦσι τὴν Ῥώμην· ⟨ὃ⟩ ἀκούσας ὁ Σευῆρος παρεγένετο ἐν τῇ Ῥώμῃ· νόσῳ δὲ ἐπιληψίας τελευτᾷ κρατήσας χρόνους ιζ'. Ἀπὸ δὲ τὸν θάνατον αὐτοῦ παρῆλθον χρόνοι ξ' καὶ ἐπέκεινα μέχρι τῆς βασιλείας τοῦ μεγάλου Κωνσταντίνου.*

**42.** *Δύο δὲ καὶ ἑξήκοντα καὶ τριακοσίων ἐτῶν ἀπὸ τῆς Αὐγούστου Καίσαρος μοναρχίας διεληλυθότων τῇ πρεσβυτέρᾳ Ῥώμῃ καὶ τῶν πραγμάτων αὐτῆς ἤδη πρὸς πέρας ἀφιγμένων Κωνσταντῖνος ὁ Κωνσταντίου παῖς ἐπιλαβόμενος τῶν σκήπτρων τὴν νέαν ἀνίστησι Ῥώμην Κωνσταντινούπολιν λεγομένην προθύμως ἀνασχομένην τὴν προσηγορίαν.* **43.** *Θαυ-* B 15
*μαστὴν γὰρ αὐτὴν ἀπεργασάμενος τῷ κάλλει πόρρωθέν τε*

---

13—17 Hes. 1, 3—7  17 — p. 139, 5 (praeter p. 138, 13 — 139, 1) Hes. 16, 11 — 18, 2

---

3 *χαλκοῦ πεδίον* $A_1$, *χαλκοῦ κίονος τοῦ τετραπλεύρου πεδινὸς ἦν ὁ τόπος* G   *τῆς σφενδόνος* $A_2$, *τῆς σφενδόνης κρημνοῦ ὄντος* G   4 ante *ἀνηγέρθησαν* inserit *καὶ κτίσματα* G   5 *σκημνώδης* $A_2$   6 sq. *τὸ ἕτερον*] *καὶ τοῦτο* A, correxi coll. G: *κατελείφθη δὲ τὸ ἕτερον διὰ κτλ.*   7 *ἀγγελία* $A_1$   8 *ὃ* inserui   *ἀκούσας κτλ.*] *καὶ παραγενέσθαι αὐτὸν ἐν αὐτῇ· ἐν ᾗ δῆτα καὶ τελευτᾷ νόσῳ ἐπιληψίας βασιλεύσας χρόνους ιζ'.* G   9 *κρατήσας χρ. ιζ', νόσῳ δὲ ἐπιλ. τελευτᾷ* A, transposui sec. G   **42—50** A JBG   13 *δὲ* om. J   16 post *ἀφιγμένων* addit $A_2$ in textu: *ἀρχὴ τοῦ μεγάλου κωνσταντίνου*, eadem in margine G   16 *κώνστας ὁ τοῦ* (*τοῦ* om. $A_1$) *κώνσταντος παῖς* J$A_1$, *κώνστας ὁ κωνσταντίνου παῖς* $A_2$, *κωνσταντῖνος ὁ κώνσταντος παῖς* G, corr. ex Hes.   17 *ῥώμην τὴν νῦν Κωνστ.* A   18 *ἀνασχομένη* JA, correxi (*προθύμως — προσηγ.* om. G)

*μεταγαγὼν τὰ τείχη κατὰ τοὺς λεγομένους Τρωαδησίους ἐμβόλους λουτρά τε καὶ ἱεροὺς οἴκους ἀπέδειξεν, καθὰ καὶ ἐν τῷ Στρατηγίῳ λεγομένῳ φόρῳ, ἔνθα ποτὲ οἱ στρατηγοῦντες ἄνδρες τὰς τιμὰς ὑπεδέχοντο, ἐπὶ λιθίνης ἀνέγραψε στήλης.* **44.** *Καὶ τῆς μητρὸς αὐτοῦ Ἑλένης ἐπὶ κίονος ἀνέστησεν ἄγαλμα καὶ τὸν τόπον ὠνόμασεν Αὐγουστίωνα· καὶ τοῖς ἀκολουθήσασιν αὐτῷ ἄρχουσιν ἀπὸ Ῥώμης συγκλητικοῖς ἐφιλοτιμήσατο οἴκους, οὓς αὐτὸς ἔκτισεν ἐξ ἰδίων χρημάτων, οὕσπερ μετ' ὀλίγον ἐροῦμεν.* **45.** *Ἐπὶ δὲ τούτῳ καὶ ὁ τῶν ὑδάτων ὁλκὸς προσετέθη τῇ πόλει, ἀνέστησαν δὲ καὶ αἱ δύο ἀψῖδες πρὸς τῷ καλουμένῳ Φόρῳ καὶ ὁ πορφυροῦς καὶ περίβλεπτος κίων, ἐφ' οὗπερ ἵδρυται Κωνσταντῖνος· ὃν ὁρῶμεν δίκην Ἡλίου τοῖς πολίταις ἐκλάμποντα.* [**45a.** *Τοῦτο γοῦν τὸ ἄγαλμα κατέπεσεν ἀπὸ τοῦ κίονος καὶ φόνον τῶν ἐκεῖσε παρευρεθέντων ἀνδρῶν τε καὶ γυναικῶν ὡσεὶ δέκα εἰργάσατο κατὰ τὴν πέμπτην δηλαδὴ τοῦ Ἀπριλλίου μηνός,*
1106 *τῆς τεσσαρεσκαιδεκάτης ἰνδικτιῶνος τοῦ ἑξακισχιλιοστοῦ ἑξακοσιοστοῦ τεσσαρεσκαιδεκάτου ἔτους, εἰκοστὸν ἔτος ἀγούσης τῆς βασιλείας τοῦ κυρίου Ἀλεξίου τοῦ Κομνηνοῦ. Ὥρα ἦν ὡσεὶ τρίτη, ὅτε καὶ γνόφος γέγονεν καὶ βίαιος νότος ἔπνευσε σφοδρόν, τοῦ κομήτου ἀστέρος τοῦ ἀκοντίου κληθέντος καὶ τὸν τοιοῦτον τοῦ ἀέρος τάραχον ἐξεργασαμένου, τοῦ φανέντος κατὰ τὴν ἑσπέραν τῆς παρασκευῆς τῆς πρώτης ἑβδομάδος· καθ' ἣν ἐνάτην εἶχεν ὁ Φεβρουάριος μὴν τῆς τεσσαρεσκαιδεκάτης ἰνδικτιῶνος τοῦ ἑξακισχιλιοστοῦ ἑξακοσιοστοῦ*

---

1 *τρωαδικούς* B 2 *λουτρά* JG, *λουτρούς* $A_2$, *λουτρεῖς* $A_1$ *ἱεροὺς δύο οἴκους μεγάλους* B, cf. § 48 *ἀπέδειξεν* A, *ἀναδίξαντος* J, *ἀνήγειρε* B *καθὰ κτλ.*] *καὶ . . . ἑαυτὸν ἐπὶ λιθίνης στήλης ἀνέγραψε* B 5 *ἑαυτοῦ τε καὶ τῆς μητρὸς αὐτοῦ* A 6 *αὐγουστεῶνα* G 9 *ἐροῦμεν*] spectat ad I 64 13 — p. 139, 1 exstat in solo B; vide Praefat. 18 *εἰκοστὸν*] erravit auctor 21 *σφοδρὸς* Lamb. *ἀκουσίτου* B, corr. Lamb. coll. Anna Comn. p. 355 A *κληθέντος*] *ὀλυθέντος* B, corr. Lamb. 23 *πρώτη ἑβδομάς* sc. *τῶν νηστειῶν* i. e. hebdomas septima ante Pascha; cf. Meurs. ad h. l. 24 *φρεβουάριος* B

τεσσαρεσκαιδεκάτου ἔτους· καὶ οὕτω διηρκέσατο.] **46.** Ἐπὶ B 16
τούτοις καὶ τοὺς τῆς συγκλήτου βουλῆς ἀνῳκοδόμησεν οἴκους Σενάτον τούτους ὀνομάσας, ἐν οἷς καὶ τὸ Δωδωναίου Διὸς ἀνέστησεν ἄγαλμα καὶ δύο τῆς Παλλάδος ἱδρύματα, καὶ τὴν τῶν βασιλείων αὐλήν. ||

**47.** Ἐφιλοτιμήσατο δὲ τῷ δήμῳ καθ' ὃν ὑπάτευσε χρόνον ἄρτους ἡμερησίους, ὀνομάσας αὐτοὺς παλατίνους ὡς ἐκ τοῦ παλατίου χορηγουμένους, καὶ οἶνον καὶ κρέας καὶ ἔλαιον καὶ σιτηρέσια τάξας, ὧν καὶ μέχρι τοῦ νῦν ἡ πόλις ἀπολαύει τῶν ὑπ' αὐτοῦ ῥιφέντων καλάμων φέρουσα τὰ γνωρίσματα, νόμους τε πολλοὺς καὶ συμβόλαια ⟨περὶ τῶν⟩ καθ' ἑκάστην τιθεὶς ἀπὸ τοῦ βελτίστου καὶ δικαίου, τείχεσίν τε μεγίστοις περιβαλὼν τὴν πόλιν καὶ διαφόροις κοσμήσας τρόποις | ὡς πρὸς ζῆλον ἀπεργάσασθαι τῆς πρεσβυτέρας Ῥώμης||. **48.** Ὠικοδόμησεν δὲ παραχρῆμα καὶ ἱεροὺς οἴκους ἕνα μὲν ἐπώνυμον τῆς ἁγίας Εἰρήνης, ἕτερον δὲ τῶν Ἀποστόλων· καὶ τὰ τῶν Ἑλλήνων πάντα καθεῖλε θρησκεύματα, πολλοὺς δὲ ναοὺς ἀνήγειρεν, οὕστινας εἴπωμεν μετ' ὀλίγον.

---

6 sqq. cf. Malal. p. 322 sq. 14 sq. Hesych. p. 17, 3 15—18 cf. Socrates hist. eccl. I 16:. Καὶ ἐν ταύτῃ τῇ πόλει δύο μὲν οἰκοδομήσας ἐκκλησίας, μίαν ἐπωνόμασεν Εἰρήνην, ἑτέραν δὲ τῶν Ἀποστόλων ἐπώνυμον. Καὶ οὐ μόνον ὡς ἔφην ηὔξει τὰ τῶν Χριστιανῶν, ἀλλὰ καὶ τὰ τῶν Ἑλλήνων καθῄρει.

---

3 σιενάτον J, σινάτον G 4 περίβλεπτον ἄγαλμα J καὶ τὴν βασιλικὴν αὐλήν A 6 διὰ τὸν δῆμον A καθῶν ὑπόπτευτε χρόνον J, om. A, καθ' ἓν ἕκαστον ἔτος παρέχων G (inde καθ' ἓν' ἕκαστον παρέχων Mendelssohn ad Zosim. p. 89, 10), correxi coll. Malal. p. 322 7 ὡς — χορ. G, τοὺς ἐκ τοῦ παλ. χορ. A, om. J 11 νόμους κτλ. similia tradit antea § 30 (= Hes. § 32 p. 14, 2) de Timesio περὶ τῶν post συμβ. inserui; νόμους τε περὶ τῶν καθ' ἑκάστην συμβολαίων τιθεὶς Lamb. 12 τιθεὶς G, om. JA βελτίστου καὶ om. A 13 τι πόλη J 14 ὡς — Ῥώμης] εἰς ζῆλον τῆς πρεσβ. ῥώμης περιφανεστέραν (-στάτην G) ἀπέδειξεν GB 17 πάντων J

**49.** *Ἔκτισε δὲ δρομικὴν τὴν ἁγίαν Σοφίαν καὶ ξυλό-
στεγον.* | *Ἀπὸ δὲ τῆς ἁγίας Σοφίας στῆλαι ἀφηρέθησαν ἐξ
αὐτῆς υκζ', πλεῖαι μὲν Ἑλλήνων ὑπάρχουσαι, αἵτινες ἐκ
τῶν πολλῶν ὑπάρχουσιν τοῦ τε Διὸς καὶ Κάρου τοῦ πα-
τρῳοῦ Διοκλητιανοῦ καὶ τὸ δωδεκάζῳδον καὶ ἡ Σελήνη καὶ
ἡ Ἀφροδίτη καὶ ὁ Ἀρκτοῦρος ἀστὴρ παρὰ δύο Περσικῶν
στηλῶν βασταζόμενος καὶ ὁ νότιος πόλος καὶ ἱέρεια τῆς
Ἀθηνᾶς ἀπὸ τοῦ πλευροῦ τὸν Ἥρωνα φιλόσοφον μαντεύ-
ουσα· ἐκ δὲ τῶν Χριστιανῶν ὀλίγαι μὲν ὡσεὶ π'.* || **50.** *Ἔκ-
B 17 τισεν δὲ καὶ τὸν ἅγιον Ἀγαθόνικον καὶ τὸν ἅγιον Ἀκάκιον
καὶ τοὺς ἁγίους Ἀποστόλους σὺν τῇ μητρὶ αὐτοῦ, δρομικὴν
ξυλόστεγον ποιήσας, καὶ μνημοθέσιον τῶν βασιλέων, ἐν ᾧ
κεῖται αὐτός.*

B 24 **51** (1, α').*) *Χρὴ δὲ γινώσκειν ὅτι τοῦ Βύζαντος τὰ
παλάτια ἐν τῇ ἀκροπόλει ἦσαν. Ὁ δὲ ναὸς τοῦ ἁγίου Μηνᾶ
ὑπῆρχε πρότερον τοῦ Διός· ἐξ οὗ καὶ εἰς τὰς μαρμαρίνους*

---

1 cf. Narr. de S. Sophia 1 (p. 74, 7) 1—9 Parast. 11 (p. 26, 4 sqq.); cf. infra II 96 9 sq. cf. infra III 1

---

1 Rubro appinxit J *ὁ τόπος τῆς ἁγίας σοφίας* *δὲ* A, *μὲν* J, om. G 2 post *ξυλόστεγον* addit A: *αὕτη δὲ ἦν ἡ νῦν ὀνομαζομένη ἁγία σοφία* 3 *αἵτινες* — 4 *ὑπάρχ.*] *αἵτινες τοῦ ἀπόλλωνός εἰσι* A 4 *τοῦ πατρὸς* AJ, pro hoc: *καὶ* G, rest. ex Parast. 7 *ἱέρεια* J, *ἡ ἐρίδια* A, *ἡ ἐρίβοια ἱέρεια* G 8 *τὸν ἱέρονα φιλόσοφον* J, *τὴν ἦριν ἀφιλοσόφως* A, rest. ex Parast. *μαντεύουσα*] *μαντευόμενον ἔχουσα* G 9 *ὡς εἶπον* J, om. A, rest. ex Parast. 11 *καὶ τοὺς ἁ. Ἀπ.* A, *σὺν τοῦς ἁ. ἀπ.* J 12 *μνημοθέσια τῶν β. ὧν ἐν ἑνὶ καὶ αὐτὸς τέθειται* G **51—71** ACM—JBG. Lambecius sine ulla codicum auctoritate § 51—53 post § 71 transposuit 14 *σχηματογράφια τοῦ βυζαντίου* suprascripsit J *Χρὴ γιν., ὅτι τὸ Βυζάντιον πόλις ἦν τοῦ Βύζαντος βασιλέως, οὗπερ τὰ παλάτια ἦσαν ἐν τῇ ἀκροπόλει* C *βύζα* J 16 *ἐξ οὗ ἔχει τὰς μαρμ. ἀψίδας* A *τὰς* omittit J

---

*) Numeri uncis inclusi spectant ad ordinem redactionum topographicarum, quem dabo in Appendice.

*ἀψίδας τὰς ὕπερθεν τῶν μεγάλων δύο κιόνων ὑπάρχουσι τοῦ μεγάλου Διὸς καὶ τοῦ Κρόνου αἱ στῆλαι. Ἔθος γὰρ ἦν τοῖς παλαιοῖς εἰς τὰς ἀκροπόλεις κτίζειν τὰς ἑαυτῶν κατοικίας ἤγουν παλάτια.* **52** (1, α'). *Ἤρχετο δὲ τὸ τεῖχος ἀπὸ τοῦ τείχους τῆς ἀκροπόλεως καὶ διήρχετο εἰς τὸν Εὐγενίου πύργον καὶ ἀνέβαινεν μέχρι τοῦ Στρατηγίου καὶ ἤρχετο εἰς τὸ Ἀχιλλέως λοετρόν· ἡ δὲ ἐκεῖσε ἀψὶς ἡ λεγομένη νῦν* B 25 *Οὐρβίκιος πόρτα ἦν χερσαία τῶν Βυζαντίων. Καὶ ἀνέβαινεν εἰς τὰ Χαλκοπρατεῖα τὸ τεῖχος ἕως τοῦ Μιλίου· ἦν δὲ κἀκεῖσε πόρτα τῶν Βυζαντίων χερσαία· καὶ διήρχετο εἰς τοὺς πλεκτοὺς κίονας τῶν Τζυκαλαρείων καὶ κατέβαινε τὸ τεῖχος εἰς τοὺς Τόπους καὶ ὑπέκαμπτεν εἰς ἀκρόπολιν διά τε τῶν Μαγγάνων καὶ Ἀρκαδιανῶν. Εἶχεν δὲ πύργους τὸ ὅλον τεῖχος κζ'. Αὕτη δέ ἐστιν ἡ σχηματογραφία τοῦ Βύζαντος.*

**53** (2, β'). *Ἡ δευτέρα σχηματογραφία, ἣν μετέθηκεν ὁ μέγας Κωνσταντῖνος, ἐστὶν αὕτη· προσέθηκεν τὸ τεῖχος ἀπὸ μὲν τοῦ Εὐγενίου μέχρι τοῦ ἁγίου Ἀντωνίου, ἀπὸ δὲ*

---

L. 2 cf. Geopon. 11, 2, 9: . . *τὰς κατασκηνώσεις τῶν βασιλέων, ὡς διὰ τὴν ἀσφάλειαν ἐν ταῖς ἄκραις τῶν πόλεων ᾠκοδομημένας.*

---

1 *καιονίων ὑπάρχουσαι* J  4 *ἤρχοντο* codd. praeter G *τὸ τεῖχος* om. codd. praeter G (qui habet *ἤρχετο δὲ τὸ τεῖχος καθὰ δὴ ἦν ἐπὶ τοῦ Βύζαντος ἀπὸ τοῦ πύργου τῆς ἀκρ.*) 5 *τῆς* om. J *διήρχοντο* AC 6 *ἤρχοντο* A 7 *ἀψίδα* A (*ἡ ἐν τῷ* (*ἐντὸς* G) *τοῦ Οὐρβικίου ὁρωμένη ἀψὶς πόρτα ἦν χερσαία Βυζ.* BG) *ἡ λεγ. τοῦ Οὐρβικίου* C 8 *τῶν Βυζαντίου* hic et l. 10 J 11 *τζυκαλαρέων* J 12 *εἰς τοὺς τόπους*] *ἀπὸ τῶν τόπων* AC *διά τε τῶν* G, *διὰ τὸν* J, *διὰ δὲ τῶν Μ. καὶ Ἀρκ. εἶχε πύργους κτλ.* AC 14 *κζ* CMAB, *ηκζ* J, *ζ* G, cf. Hesych. p. 5, 16 *σχηματογραφή* J 15 suprascripsit *σχηματογραφία Κωνσταντίνου* J *σχηματογραφή* J 16 *ἐστὶν αὕτη* CG, om. JA *προέθηκεν* J *προσέθηκεν κτλ.*] *κατὰ μὲν τὸ παράλιον μέρος προσετέθη ἀπὸ τῆς ἀκροπόλεως καὶ τοῦ Εὐγενίου μέχρι τοῦ Ζεύγματος καὶ τοῦ ἁγίου Ἀντωνίου* G 17 *τῶν Εὐγενίου* C

*τοὺς Τόπους μέχρι τῆς παναγίας θεοτόκου τῆς Ῥάβδου. Καὶ ἀνέβαινεν ἕως τοῦ Ἐξακιονίου τὸ χερσαῖον τεῖχος ἀπὸ τῆς Ῥάβδου καὶ κατέβαινεν μέχρι τῆς παλαιᾶς πόρτας τοῦ Προδρόμου καὶ τῆς μονῆς τοῦ Δίου καὶ τὰ Ἰκασίας καὶ διήρχετο μέχρι τῆς Βώνου καὶ εἰς τὸν ἅγιον Μανουήλ, Σαβὲλ καὶ Ἰσμαὴλ (ἐν ᾧ τόπῳ ἀνηρέθησαν οἱ ἅγιοι) καὶ διήρχετο εἰς τὰ Ἀρματίου καὶ μέχρι τοῦ ἁγίου Ἀντωνίου καὶ ἔκαμπτεν ἕως τοῦ Εὐγενίου. Διήρκεσε δὲ οὕτως τὸ τεῖχος ἔτη ρλβ΄, δέκα βασιλέων αὐτοκρατορησάντων. Αὕτη τοῦ μεγάλου Κων-* B 17 *σταντίνου ἡ σχηματογραφία.* [**54.** *Δεῖ εἰδέναι ὅτι ὁ μέγας Κωνσταντῖνος ἤρξατο κτίζειν τὴν Κωνσταντινούπολιν ἐν ἔτει ἀπὸ κτίσεως κόσμου ͵εωκη΄, κρατήσας ἐν αὐτῇ χρόνους ιθ΄. Περαιωθέντος οὖν τοῦ ἑνδεκάτου ἐνιαυτοῦ τοῦ αὐτοῦ βασιλέως καὶ ἀρχὴν λαβόντος τοῦ δωδεκάτου ἔτους ἐπεχείρησεν ἡ Βύζαντος πόλις κτίζεσθαι.*]

**55** (3, γ΄). *Χρὴ δὲ γινώσκειν ὅτι τῷ ͵εωλζ΄ ἔτει τοῦ κόσμου, τῷ τρίτῳ μηνὶ τῆς δευτέρας ἐπινεμήσεως, τῇ εἰκοστῇ ἕκτῃ τοῦ Νοεμβρίου μηνός, ἡμέρᾳ τετάρτῃ ὄντος τοῦ ἡλίου εἰς τοῦ τοξότου τὸ ζῷδον (ὡροσκόπει δὲ Καρκῖνος), τὸ*

---

1 *τῶν Τόπων* CG, *τοῦ τόπου* A  2 *ἕως τὸ ἐξακιόνιν* A *μέχρι τοῦ ἐξωκιονίου* G *ἀπὸ τῆς ῥάβδου* G, *ἀπὸ τοῦ μιλίου* JAC  3 *κατέβαινεν*] *ἤρχετο* $A_1$C  4 *δρόμου* J *Δίου*] *στουδίου* B  5 *σαβὲκ* J  6 *ἔνθα καὶ οἱ ἅγιοι οὗτοι παρὰ τοῦ Ἰουλιανοῦ ἀνηρέθησαν ἔξω τοῦ τείχους τῆς πόλεως καὶ κατήρχετο εἰς τὰ Ἁρμ. καὶ ἐπληροῦτο εἰς τὸν ἅ. Ἀντώνιον* G 7 *Ἀντωνίου τοῦ ἐν τῇ πλατείᾳ* E  8 *ἕως τῶν εὐγενίου* $A_1$  9 *αὕτη τοῦ*] *τοῦ αὐτοῦ* J  10 *ἡ* om. J  **54** Exstat in sola classe A praeter $A_1$  12 *ἐν αὐτῷ* $A_2$ Vat. 562, Coll. gr., *ἐν αὐτῇ* Monac. 48, Ambros.  16 de hac paragrapho v. Hermes XXXVI (1901) p. 338 sq.  *͵εωλζ΄* JG$A_2$, *͵εωνζ΄* $A_1$, *͵εων΄* C *τοῦ κόσμου* om. J  17 *τῆς δευτέρας*] *πρώτης* G, eius loco *σεπτεμβρίω* (sic) $A_1$, *νοεμβρίω* C  *τῇ εἰκοστῇ ἕκτῃ τοῦ Νοεμβρίου μηνός*] *τῆς κατὰ τὸν νοέμβριον μῆνα* AC (*κατὰ τὸν* natum esse videtur ex *κς΄*), *τῇ εἰκοστῇ ἕκτῃ* (*ἕκτῃ* om. G) *τοῦ σεπτεμβρίου μηνός* GB  18 *τετάρτῃ*] re vera *τρίτῃ*  19 *τὸν ζόδων* J *ὡροσκόπος* $A_2$, *ὡροσκόπ* $A_1$

*πρῶτον ἔτος τῆς σξε΄ ὀλυμπιάδος, ἐπήξαντο τοὺς θεμελίους τῶν δυσικῶν τειχῶν τῆς Κωνσταντινουπόλεως. Καὶ ιθ΄ μησὶ τό τε χερσαῖον καὶ παράλιον τεῖχος μετὰ καὶ πλείστων οἰκοδομημάτων τῶν ἐν τῇ πόλει δομηθέντων ἀπαρτίσαντες, τῇ ἑνδεκάτῃ τοῦ Μαίου μηνὸς τὰ ἐγκαίνια τῆς πόλεως γεγόνασι καὶ προσηγορεύθη ἡ πόλις Κωνσταντινούπολις.* [**56.** *Ὁ αὐτὸς* ⟦*ἡμέρας δευτέρας ἰνδικτιῶνος τρίτης ἔτους ,εωλη΄*⟧ *ἦρξεν ἐν Ῥώμῃ μετὰ Μαξιμιανοῦ καὶ Μαξεντίου ἔτη ἑπτά, μόνος δὲ ἔτη ἕτερα ἕξ, ὡς εἶναι ὁμοῦ τὰ ὅλα ἔτη τῆς αὐτοῦ βασιλείας τριάκοντα δύο, ἐν Ῥώμῃ δὲ δεκατρία, καὶ ἐν Κωνσταντινουπόλει δεκαεννέα.*]

**57** (4, δ΄). *Ἐπὶ δὲ τῇ τῶν ἐγκαινίων ἡμέρᾳ διέταξεν ἐπὶ τοὺς ἐφεξῆς χρόνους τὴν αὐτοῦ στήλην ὁρᾶσθαι μετὰ τῆς εἰθισμένης τιμῆς ἱππικοῦ ἀγομένου τῷ κατὰ καιρὸν βασιλεύοντι καὶ τῷ δήμῳ καὶ ἀνέρχεσθαι μέχρι τοῦ στάματος.* **58** (4, δ΄). *Ταῦτα ἐπράχθη τῷ δωδεκάτῳ ἔτει τῆς βασιλείας τοῦ μεγάλου καὶ ἐν ἁγίοις Κωνσταντίνου, συμ-* B 18 *πραττόντων καὶ συνευδοκούντων εἰς τὴν οἰκοδομὴν τῆς θεοφρουρήτου Κωνσταντινουπόλεως Εὐφρατᾶ τε φημὶ τοῦ παρακοιμωμένου καὶ Οὐρβικίου καὶ Ὀλυβρίου πραιποσίτου καὶ*

---

10 cf. Georg. Mon. p. 525, 11 de B. 12 sqq. Hesych. p. 18, 6—8; cf. infra II 42 (Parast. 38) et II 87.

---

1 *σξε΄*] debebat scribere *σοζ*, v. Hermes l. l. 2 *δυσικῶν* J, *δυτικῶν* G, *πρὸς δύσιν* AC *καὶ* — 6 *Κωνστ.* om. J *καὶ ἐν ἐννέα μησὶ* G, *ιθ΄ ἥμισυ* C **56** Hoc futile additamentum exstat in classe A praeter $A_1$ et in margine codicis B 6 *ὁ αὐτὸς*] *ζήτει ὅτι ὁ μέγας Κωνσταντῖνος* B 7 verba inclusa om. B; falso huc inserta sunt; etenim sunt glossema ad l. 5 *τὰ ἐγκαίνια τῆς πόλεως* *τρίτης* om. Vat. 562, Pal. 111, *τρίτου* rell., correxi 8 *ἑπτά* om. A 9 *ἕξ*] *ε΄* B 10 *δύο* om. B *δεκατρία*] *ιβ΄* et 11 *ιη΄* B 14 *εἰθισμένης*] *εἰρημένης* codd., corr. Lamb. ex Hes. 15 *καὶ* ante *ἀνέρχεσθαι* om. J *ἀνέρχεται* A, *ἀνήρχετο* C *στέμματος* A 19 *εὐφρατᾶ* C, *εὐφρανᾶ* $A_1$, *εὐφρατίου* J, *εὐφράτου* G, *εὐφραάτη* $A_2$ *τε φημὶ*] *τὲ καὶ εὐφιμίου* J, om. G 20 *καὶ* ante *Οὐρβ.* om. JG *οὐρβικίου τὲ καὶ λιβε-*

*Ἰσιδώρου καὶ Εὐστοργίου καὶ Μιχαὴλ πρωτοβεστιαρίου ἀμφοτέρων πατρικίων, καὶ Ὀνωρησίου ἐπάρχου, καθὼς ἱστοροῦσιν Εὐτυχιανὸς πρωτοασηκρήτης ὁ γραμματικός, ὁ συμπαρὼν τῷ παραβάτῃ Ἰουλιανῷ ἐν Περσίδι, Εὐτρόπιός τε ὁ σοφιστὴς καὶ ἐπιστολογράφος Κωνσταντίνου, Ἐλεύσιός τε διάκονος ὁ φιλόσοφος καὶ Τρωΐλος ὁ ῥήτωρ ὁ πολλὰς ἀρχὰς διανύσας μετὰ δόξης καὶ Ἡσύχιος ὁ ταχυγράφος — οὗτοι πάντες αὐτόπται καὶ θεαταὶ γενόμενοι τῶν τηνικαῦτα πραχθέντων ἀκριβῶς.* **59** (4, *δ'*). *Ἐν δὲ τῷ αὐτῷ δωδεκάτῳ ἔτει τῆς βασιλείας αὐτοῦ ἐποίησεν ὡς εἴρηται μείζονα τὴν Βυζαντίων πόλιν, ἐκάλεσέν τε αὐτὴν Κωνσταντινούπολιν· ἔκτισέ τε τὰ παλάτια ἀπό τε τῆς Χαλκῆς καὶ τῶν Ἐξκουβίτων καὶ τῶν Σχολῶν· καὶ τοῖς ἁγίοις Ἀποστόλοις ναὸν ἀνήγειρεν ἐκεῖσε καὶ τὴν θόλον τῆς Ἑπταλύχνου, ἣ καὶ μέχρι τοῦ νῦν σώζεται ἔσωθεν τῶν Σχολῶν, καὶ τὸ Τριβουνάλιον καὶ τὰ νῦν ὀνομαζόμενα Νούμερα, καὶ αὐτὰ εἰς παλάτιον, καὶ τὰ ιθ' Ἀκούβιτα καὶ τὸ Στέψιμον καὶ τὸν ναὸν τοῦ ἁγίου Στεφάνου, ὅνπερ εἶχεν χειμέριον κοιτῶνα.*

B 19 **60** (4, *δ'*). *Ἀνήγειρεν δὲ καὶ τὴν Μαγναῦραν καὶ τοῦ*

---

9 *δωδεκάτῳ ἔτει*] cf. Georg. Monach. p. 499, 10 de B., Hermes XXXVI (1901) p. 341.

---

*ρίου* JG, *ὀλυβρίου* $A_2$C, *ὀλυμβρίου* $A_1$ *πραιποσιτιου* J, *πραιποσίτου* $A_1$, *τοῦ πραιποσίτου* C, *πραιποσίτων* $A_2$G *καὶ* ante *Ἰσιδ.* om. JG 2 *ὀνορισίου* J, *ὀναρησίου* G, *ὠνορισίου* B; *ὀνοταρσίου* A, *πρωτονοταρίου καὶ ἐπάρχου τοῦ ὀνοταρίου* C; *Ὀνωράτου* Lamb. (Honoratus quidam fuit praef. praet. a. 354) 3 *ὁ συμπαρὼν κτλ.*] cf. Malal. p. 332, 9; BG attributum (*ὁ συμπαρὼν — περσίδι*) post *Εὐτρόπιος ὁ σοφιστής* ponunt (cf. Eutrop. X 16) 4 *ὁ* om. J 5 *στηλογράφος* AC *Ἐλεύσιος* — 6 *φιλόσοφος* om. C *διάκονος*] *τοῦ διακόνου* G 6 *καὶ* om. AC, *καὶ* — 7 *ταχυγρ.* om. J$A_2$ 8 *γεγόνασι* AC 9 post *ἀκριβῶς* add. *ταυτὶ συνεγράψαντο* G 11 *βύζαντος* $A_2$C 14 *τὸν θόλον* codd., corr. Lamb. *εὐταλύχνου* J *ἧς* J 16 *αὐτὸ* J 17 *κούβητα* J 18 *χειμερινὸν* AG, *χειμονικὸν* C 19 *μανουαύραν* JG

*Κυρίου τὴν ἐκκλησίαν καὶ τὸ Γενικὸν καὶ τὸ Ἰδικὸν καὶ τὸ Βεστιάριον καὶ τὸν Καβαλλάριν καὶ τὸ Σῖγμα καὶ τὸ Ὠάτον τὸ πρὸς τὴν Νέαν κείμενον καὶ μέχρι τῆς Σιδηρᾶς ὀνομαζομένης καὶ τὸ κάτοπτρον τὸ λοετρὸν καὶ τὰ παλάτια τὰ ἐπάνω μέχρι τοῦ Γερανίου καὶ τὸ Χρυσόκλαβον καὶ τὸ μέγα λοετρὸν τοῦ Οἰκονομίου τὸ πλησιάζον εἰς τὸ Τζυκανιστήριον, ἔχον ἑπτὰ ἐνθήκας καὶ δώδεκα στοὰς καὶ κολυμβήθραν εὐμεγέθη· ἔνζωδον δὲ ὑπῆρχεν· καὶ αἱ μὲν ἑπτὰ ἐνθῆκαι εἰς μίμησιν τῶν ἑπτὰ πλανήτων, αἱ δὲ δώδεκα στοαὶ κατὰ τῶν ιβ΄ μηνῶν τὰς κράσεις. Ἐσώζετο δὲ καὶ ἧπτε μέχρι τοῦ* 963—969 *Νικηφόρου τοῦ Φωκᾶ. Ὁ δὲ Ἰωάννης ὁ Τζιμισκῆς κατ-* 969—976 *έλυσεν αὐτὸ καὶ ἐκ τῆς ὕλης ἔκτισεν τὴν Χαλκῆν, ἐν ᾗ καὶ ἐτάφη.*

**61** (4, δ΄). *Βουλόμενος δὲ κτίσαι ἱππικὸν κατὰ μίμησιν τῆς Ῥώμης εὗρεν τὸ τοῦ Σευήρου καὶ ἀνεπλήρωσεν αὐτὸ ἤγουν τὸ ἓν μέρος τῶν βαθμίδων καὶ τῶν δύο περιπάτων καὶ τὸ ἄνω τῶν καγκέλλων καὶ τὸν Σφενδόνα καὶ τοὺς καμπτῆρας καὶ τοὺς δήμους.* **62** (4, δ΄). *Πάντα δὲ τὰ χαλκουργεύματα καὶ τὰ ξόανα ἐκ διαφόρων ναῶν καὶ πόλεων ἀθροίσας ἔστησεν αὐτὰ εἰς διακόσμησιν τῆς πόλεως, ὁμοίως δὲ καὶ τοὺς κίονας τῶν περιπάτων· ἐπάτωσε δὲ τοὺς αὐτοὺς περιπάτους μετὰ συγκοπῆς. Καὶ ἐπετέλεσεν αὐτὸς πρῶτος γυμνικὸν καὶ ἱππικὸν ἀγῶνα. Ὁ δὲ ἔχων τοὺς* B 20 *ὀνικοὺς πόδας ἧκεν ἀπὸ τῆς μεγάλης Ἀντιοχείας· ἔστιν δὲ*

---

2 τὸ καβαλὰν $A_1$, τὸν καβαλὰν $A_2$, τὸ καβυλάριον B, τῶν καβαλλαρίων G καὶ post καβαλλ. om. G τὸ σῆμα A 4 τὸ καθρύπτειν J, τὸν καθρύπτην G 5 τὸ χρυσόκλωβον G, τὸν χρυσόκλινον B 6 τζουκανιστήριον $A_1$ 7 θήκας $A_1$ κόλυμβον AC 9 μίμ.] ἀνάμνησιν C κατὰ G, om. JAC 11 τζιμισχῆς J 12 ἐν ᾧ J 15 εὗρεν τοῦ σευήρου J αὐτὸν J 16 τοὺς δύο περιπάτους διὰ καμαρῶν G 17 τὸ ante ἄνω om. A, τὸ ἄνω τῶν om. C τὴν σφενδόνα G τὸν καμπτῆρα $A_1$ 19 χαλκουργήματα codd. praeter J 20 αὐτῷ J 21 ἐπάτωσε — 22 περιπάτους om. J 24 ὀνικοὺς JAC, ἱππικοὺς G, ἀρνικοὺς et ὀρνιθείους edd. e coni.

ὁ Βελλεροφόντης καὶ ἐσέβοντο αὐτὸν ἐκεῖσε. Ὅσα δὲ ἀγάλματα καὶ τίνες εἰσὶ καὶ πόθεν ἥκασιν ἕκαστον καὶ διὰ τί ἐστηλώθησαν, ἔσχατον λεπτομερῶς ἐροῦμεν εἰς τὰ περὶ κτισμάτων.

**63** (5, ε'). Θέλων δὲ οἰκίσαι ὁ μέγας Κωνσταντῖνος τὴν πόλιν αὐτοῦ, μάλιστα δὲ τοὺς Ῥωμαίους εἰς τὸ Βυζάντιον ἀγαγεῖν, ἔλαβεν ἐξ αὐτῶν λαθραίως τὰ δακτυλίδια αὐτῶν, ἑνὸς ἑκάστου ἰδίως, καὶ ἀπέστειλεν αὐτοὺς ἐπὶ τὸν βασιλέα τῶν Περσῶν, ὅστις ἐκαλεῖτο Σάρβαρος, τέσσαρας μὲν μαγίστρους, τὸν Ἄδδαν, τὸν Πρωτάσιον, τὸν Σκόμβρον, τὸν Φιλόξενον, ὀκτὼ δὲ πατρικίους, τὸν Δομνῖνον, τὸν Πρόβον, τὸν Δαρεῖον, τὸν Μαῦρον, τὸν Ῥοδανόν, τὸν Σαλλούστιον τὸν ἔπαρχον, τὸν Μόδεστον, τὸν Εὔβουλον. **64** (5, ε'). Μετὰ πλείστου στρατοῦ, ὡς εἴρηται, ἐξαπέστειλεν αὐτοὺς ποιήσαντας ις' μῆνας ἐν τῇ Περσίδι. Ὁ δὲ μέγας Κωνσταντῖνος ἀποστείλας εἰς Ῥώμην ἀνελάβετο τὰς γυναῖκας καὶ τὰ τέκνα καὶ τὰς φαμιλίας αὐτῶν· ὥρισε δὲ καὶ κτίστας μηχανικούς, ἵνα θεάσωνται τοὺς οἴκους αὐτῶν καὶ τοὺς τόπους ἑνὸς ἑκάστου πῶς κεῖνται. Καὶ ὡς εἶδον τὰς οἰκίας

---

5 sq. cf. Georg. Monach. p. 499, 18 de B. 9—13 cf. Synops. Sathas p. 53, 8—17, Menaion 31. Dec. (Synax. S. Zotici), Glycas p. 463 Bonn. (Pargoire Revue des quest. histor. 1899 p. 88 sqq.) **64—66** Exscripsit cod. Mosqu. Georgii Monachi p. 399 not. (ed. Muralt)

---

1 ἔσεβον $A_1$ ὁπόσα δὲ καὶ ἄλλα ἀγ. AC 2 καὶ ante τίνες om. J τίνες] ἅτινα C 3 εἰς τὰ περὶ κτισμάτων om. AC 6 δὲ] καὶ J 7 ἀγαγεῖν om. codd. praeter G, κατακρατῆσαι C 9 σάρβαρις J τέσσαρις J 10 ἀδὰμ C, ἄδα J, ἀδδὰν $A_1$, ἄδαν $GA_2$ πορτάσιον J σκάμβρον $A_1$, σκόλυμβρον $A_2$ 11 δόμνον J, δομνῖνον AC 12 δάριον J σαλλούστιον Lamb., σαλτίωνα AC, σαλουστίονα JG, cf. § 67 et 70 13 εὔουλον J 15 ποιήσαντες J 19 πῶς] ποῦ τε A ὡς εἶδον] ὅπως ἰδεῖν τε A, ὅπως ἰδεῖν cod. Mosqu. Georgii ὡς — p. 147, 2 κτισμάτων] ὁποῖαι παρὰ τὸν αἰγιαλόν εἰσι καὶ ὁποῖαι καὶ ἐπὶ τῆς ἠπείρου ὡσαύτως· ἐθεάσατο δὲ C

*αὐτῶν, ἑτέρας ἐπὶ τὸν αἰγιαλὸν τῆς θαλάσσης, ἄλλας ἐπὶ τὰς ἠπείρους, καὶ τὰ σχήματα τῶν κτισμάτων καὶ τὰς ἀνόδους οἷαι ἦσαν κοχλιοειδεῖς, καὶ λαβόντες τὰς φαμιλίας αὐτῶν τῶν συγκλητικῶν ἀνῆλθον ἐπὶ τὸ Βυζάντιον καὶ ἀνθ-* B 21
*ομοίους ἔκτισαν τοὺς οἴκους αὐτῶν· καὶ ἐκάθισεν ἐκεῖσε τὰς φαμιλίας αὐτῶν.* **65** (5, ε′). *Ἐλθόντες οὖν ἀπὸ τῆς Περσίδος μετὰ νίκης ἀναλαβόμενοι καὶ πάκτα κεντηνάρια τξε′, δεξάμενος δὲ αὐτοὺς ὁ βασιλεὺς καὶ ποιήσας εὐωχίας εἶπεν αὐτοῖς· ʻθέλετε ἀπελθεῖν εἰς Ῥώμην;ʼ δοκιμάζων αὐτούς· οἵτινες ἔφησαν μὴ κατελθεῖν μέχρι δύο μηνῶν. Ὁ δὲ βασιλεὺς ἔφη· ʻἀπόψε ἔχω δοῦναι ὑμῖν τὰς οἰκίας ὑμῶν.ʼ Προστάξας δὲ Εὐφρατὰν τὸν παρακοιμώμενον αὐτοῦ (ὅστις ἐποίησεν τὸν Κωνσταντῖνον Χριστιανόν) ἕνα ἕκαστον ἀπέδωκεν τοὺς αὐτῶν οἴκους.* **66** (5, ε′). *Ἰδόντες δὲ τοὺς πυλῶνας αὐτῶν καὶ τὰς αὐλὰς καὶ τὰς ἀνόδους ὅτι ὅμοια Ῥώμης εἰσὶ καὶ τὰ μέτρα καὶ τὰ σχήματα καὶ τὰ ὕψη, καὶ τὴν ἀπόβλεψιν τῶν θυρίδων, ἔδοξαν εἶναι ἐν φαντασίᾳ ἐν Ῥώμῃ. Εὑρόντες δὲ καὶ τὰς φαμιλίας αὐτῶν ἐξεπλάγησαν· ὁμιλησάντων δὲ ἑκάστου αὐτῶν τὰς φαμιλίας αὐτῶν, τότε ἐπίστευσαν, ὅτι οὐκ ἔστιν φάντασμα, ἀλλὰ φρόνησις τοῦ βασιλέως, ὅτι ἄκοντας καὶ μὴ βουλομένους ἡμᾶς ἐνῴκισεν ἐνθάδε.* **67** (5, ε′). *Ἐκ δὲ τῶν ὀνομάτων αὐτῶν εἴληφαν οἱ τόποι τὰς προσηγορίας. Ὁ δὲ Φιλόξενος ἔκτισεν κιν-*

---

3 *ἦσαν*] *εἰσὶ* $A_1$ 4 *ἀνθόμοια ἔκτισαν ἕκαστα* A, *ἔκτισαν ὅμοια κτίσματα* C 5 *ἐκάθισαν* AC (*εἰσήγαγε* G) 8 *δεξάμενος δὲ* J, *ἐδέξατο* A, *ἐδέξατο οὖν* C *βασιλεὺς*] *ἀσμένως* add. C, *ὡς ἐχρῆν* G 9 *αὐτοῖς*] *αὐτοῦς* J 10 *δυὸν* J 11 *ἔφη* om. J 12 *εὐφρατᾶ* (*εὐφράτη* $A_2$) *τῷ παρακοιμ.* AC *παρακυμούμενον* J 13 *ἀποδοῦναι* A 14 *αἱ αὐτὸν* (= *ἑαυτῶν*) J, *τὸν οἶκον αὐτοῦ μετὰ ὀψικίου αὐτοῦ* (*μετὰ ὀψικίων* E) C 15 *ὅτι* — 16 *εἰσί*] *ὁμοίας τῶν ἐν τῇ ῥώμῃ* A, nil nisi *ὁμοίως* C 18 *ἐξεπλάγησαν*] *ὅτι ἔκστασις ἐστὶν* addit J 19 *ὁμιλησάντων δὲ ἑκάστου αὐτῶν*] *ἐρωτήσαντες δὲ* $A_2$C *αὐτῶν*] *καὶ μαθόντες ἀκριβῶς* addit AC 21 *ἡμᾶς*] *αὐτοὺς* $A_1$C 22 *εἰλήφασιν* AC

*στέρναν τὴν ἐπονομαζομένην Φιλόξενον. Ὁ Πρόβος ἀν-*
741—775 *ήγειρεν ναὸν τοῦ Προδρόμου, ὅνπερ ὁ Καβαλλῖνος ἐποίησεν*
*ἐργοστάσιον, τὰ λεγόμενα Πρόβου. Ὁ Δομνῖνος ἔκτισεν*
B 22 *οἶκον εἰς τὰ Μαυριανοῦ, ὃν εἶχεν ὁ Ἀγρικόλαος. Ὁ Δαρεῖος ἔκτισεν οἶκον τῆς Ἰκανατίσσης τοῦ Σκληροῦ. Ὁ Μαῦρος ἔκτισεν οἶκον, ὅνπερ εἶχεν ὁ Βελονᾶς. Ὁ Ῥοδανὸς ἔκτισεν οἶκον, ὅσπερ καλεῖται τὰ Εὐουράνης· ἔστι δὲ τῆς Μαμαίνης. Ὁ Σαλλούστιος ἔκτισεν οἶκον, ὅστις καλεῖται τοῦ Κοντομύτου. Ὁ Μόδεστος ἔκτισεν οἶκον εἰς τοὺς ἁγίους Ἀποστόλους τοῦ Λαμπροῦ. Οἱ δὲ τρεῖς πυλῶνες ἐκτίσθησαν παρὰ τοῦ Εὐβούλου.*

**68** (5, ε΄). *Ἔκτισε δὲ καὶ τέσσαρας ἐμβόλους ἀπὸ τοῦ παλατίου μέχρι τῶν χερσαίων τειχῶν, ἐγχορήγους θόλους· ὁ εἷς ἤρχετο ἀπὸ τοῦ Τζυκανιστηρίου καὶ τῶν Μαγγάνων καὶ τῆς ἀκροπόλεως καὶ τῶν Εὐγενίου καὶ διήρχετο μέχρι τοῦ ἁγίου Ἀντωνίου· ὁ δὲ ἕτερος ἀπὸ τῆς Δάφνης καὶ τῶν Σοφιῶν μέχρι τῆς Ῥάβδου· οἱ δὲ ἕτεροι δύο ἔμβολοι ἀπὸ τῆς Χαλκῆς καὶ τοῦ Μιλίου καὶ τοῦ Φόρου μέχρι τοῦ Ταύρου καὶ τοῦ Βοὸς καὶ τοῦ Ἐξακιονίου. Ἐπάνω δὲ τῶν*

---

1 *τὴν ἐπον. Φιλόξενον* $A_2$, om. $A_1$CJ, *ἥτις αὐτοῦ καὶ τὴν ἐπωνυμίαν κέκτηται* G 3 *ἐργοστάσιον* G, *ἐργαλοστάσιον* J, *ἐργοδόσιον* AC *δόμνος* J 4 *εἰς τοῦ ἀμαυριανοῦ* J *εἶχεν* JC, *ἔχει* A (*ὅστις λέγεται τοῦ Ἀγρικολάου* G) *ἀγρηκόλ*[α] J *δάριος* J 5 *κανάτισας* J, *κανατίσης* A, *ἱκαν.* rell. *Μαῦρος*] *εἰς τὰ μαυριανοῦ* add. G (cf. l. 4) 6 *ὅνπερ κτλ.*] *ὃς λέγεται νῦν τοῦ βελ.* A, *ὃς καλεῖται τοῦ βελ.* CG *ῥόδαμνος* A, *ῥάδαμνος* C, *ῥόδων ὄπισθεν τῆς ἁγίας σοφίας* G 7 *ὅσπερ*] *ἥτις* J *αὐγοράνις* JB, *εὐοράνης* CG, *εὐουράνοις* A, *εὐουράνης* M, *ἐν οὐρανοῖς* Lamb. 8 *ὅστις* — 9 *οἶκον* om. J 9 *κονδομύτου* AC, *κοντομύτου* G, *Κοντομίτου* Lamb. 10 *τὸν λεγόμενον τοῦ λαμπροῦ* AC (*ἀποστόλους, ὅπου καὶ τὴν ἐπωνυμίαν αὐτοῦ ἔχει* G) *πυλεῶνες* A 11 *εὐούλου* J 13 *καὶ ἐγχορ.* J *θολωτοὺς* G 14 *τζουκανιστηρίου* $A_1$ 15 *καὶ τῶν Εὐγ.* — 18 *Χαλκῆς* om. J *καὶ διήρχετο μέχρι τοῦ ἁ. Ἀντωνίου* habet solus $A_2$ 18 *καὶ μέχρι* J 19 *Ἐξακιονίου*] G add.: *ὅπου ἦν ἡ πόρτα τοῦ χερσαίου τείχους* (cf. Π 54)

*ἐμβόλων περίπατοι πλακωτοὶ λίθινοι καὶ στῆλαι χαλκαῖ ἄπειροι εἰς διακόσμησιν τῆς πόλεως ἵσταντο.* **69** (5, *ε*'). *Ἔκτισε δὲ καὶ τοὺς μυδρῶνας καὶ τοὺς ἀγωγοὺς ἔφερεν ἀπὸ Βουλγαρίας· ἐποίησεν δὲ καὶ καράβους ἐγχορήγους ἐπὶ πᾶσαν τὴν πόλιν βαθεῖς, τῷ ὕψει ὅσον τῶν ἐμβόλων, διὰ τὸ μὴ εἶναι δυσωδία τις καὶ ἐνσκήπτουσιν νόσοι πολλαί, ἀλλ' εἰς τὸ βάθος διέρχεσθαι τὰς δυσώδεις ὕλας καὶ κατέρχεσθαι εἰς* B 23 *τὴν θάλασσαν.*

**70** (5, *ε*'). *Ταῦτα δὲ ἐκτίσθησαν ὡς εἴρηται παρὰ Οὐρβικίου πραιποσίτου καὶ Σαλλουστίου ἐπάρχου καὶ τῶν λοιπῶν, καταλιπὼν αὐτοῖς κεντηνάρια χρυσίου ἑξακόσια εἴς τε τοὺς ἐμβόλους καὶ τοὺς ἀγωγοὺς καὶ εἰς τὰ τείχη. Ἐκεῖνος δὲ ἦν κατὰ τῶν Σκυθῶν καὶ ὑποτάξας αὐτοὺς ἔκτισεν πόλιν τὴν Περσθλάβαν καὶ τὴν Δίστραν καὶ τὴν Πλίσκουβαν καὶ τὴν Κωνσταντίαν. Ταῦτα δὲ ἐκτίσθησαν παρισταμένου τοῦ Οὐρβικίου εἰς χρόνους δύο ἥμισυ ἀπὸ φωνῆς Ἑρμείου.* **71** (5, *ε*'). *Ἔκτισε δὲ καὶ τὰ Ἀρματίου δι' ὧν ἔπηξεν τὴν κόρτην αὐτοῦ καὶ τὰ ἅρματα αὐτοῦ ἐκεῖσε ἀπέθετο, ὅτε ὑπέταξεν τοὺς Βυζαντίους. Εἰς δὲ τὰ ὀνόματα τῶν τριῶν αὐτοῦ υἱῶν ἔκτισεν παλάτια τὰ καλούμενα Κωνσταντιανὰς*

---

1 *ἐμβόλων*] *θολικῶν καμάρων τῶν ἐμβόλων ὅλων* G *λίθινοι*] *μαρμάρινοι* G 2 sq. G: *Μέσον δὲ τῶν ἐμβόλων, ἔνθα ἡ λεωφόρος ἐστὶν ὁδός, καὶ ἐπὶ πάντα ἄλλον τόπον τῆς πόλεως ἔκτισε καναλους θολωτούς κτλ.* 3 *μυδρῶνας* codd.; quid sit, incertum; sed cum Lamb. *ὑδρῶνας* aut *λυτρῶνας* scribere dubito *ἔφερεν*] *δι' ὧν τὸ ὕδωρ φέρεται* C 4 *καράβους*] *γάβους* („cavos") Lamb. 5 *ὅσον*] *ἦσον* (= *ἴσον*) J 6 *δυσωδίαν τινα* A, *δυσωδίας τινας* C *καὶ*] *ἔνθεν*? Bekker *ἐνσκήπτωσι* GC *πολοὶ* J *ἀλλ'* om. J 9 *ὡς εἴρηται*] v. § 58 et 63 10 *σαλουστίου* C, *σαλουστίονος* JA 11 *αὐτοὺς* J 13 *ἦν*] *ἐκίνησε* C 14 *περισθλάβαν* $A_1$, *περσθλαβίτζαν* C 15 *καὶ κωνστάντιαν* J *ἔκτισαν* J *παρισταμένου* G, *παρὰ* JA, *παρ. τοῦ Οὐ.* om. C 16 *καθὰ δὴ ἱστορεῖ ὁ ἑρμείας* G 17 *ἁρμασίου* A *δι' ἔπηξεν* (*ὧν* om.) $A_1$, *ἐν ᾧ ἔπηξε* C, *ἔνθα τὸ πρῶτον πρὸ τοῦ κατασχεῖν τὸ βυζάντιον ἔπηξε* G 19 *βύζαντας* $A_1$ *τὰ* om. J

*καὶ τὰ καλούμενα Κώνσταντος· ἔστιν δὲ ὁ οἶκος τοῦ Τουβάκη καὶ τοῦ Ἰβερίτζη, ὅνπερ ἔχει ὁ Ἀκροπολίτης. Τοὺς δὲ ναοὺς καὶ τὰ λοιπά, ὅσα ἀνήγειρεν ὁ μέγας Κωνσταντῖνος, ὕστερον εἰς τὰ περὶ κτισμάτων ἐροῦμεν.*

B 25 **72** (6, ς'). *Ὁ δὲ μικρὸς Θεοδόσιος εἰς τὸν πέμπτον*
B 26 *χρόνον τῆς βασιλείας αὐτοῦ σεισμοῦ γεγονότος καὶ τῶν*
408—450 *τειχῶν εἰς γῆν καταπιπτόντων διὰ τὸ τοὺς Ἀμαληκίτας τοὺς Χατζιτζαρίους οἰκῆσαι ἐν τῇ πόλει καὶ βλασφημεῖν σφοδρῶς εἰς τὸ Τρισάγιον — ποιήσας ὁ αὐτὸς βασιλεὺς ἱκεσίαν καὶ λιτὴν εἰς τὸν Κάμπον τοῦ Τριβουναλίου μετὰ τοῦ πατριάρχου Πρόκλου κραζόντων τὸ Κύριε ἐλέησον ἐπὶ πολλὰς ὥρας, πάντων ὁρώντων ἐπήρθη παιδίον εἰς τὸν ἀέρα καὶ ἤκουσεν ἀγγέλων μελῳδούντων καὶ ὑμνούντων· ʽἅγιος ὁ θεός, ἅγιος ἰσχυρός, ἅγιος ἀθάνατος, ἐλέησον ἡμᾶς'. Κατελθόντος δὲ τοῦ παιδίου ὁ λαὸς ἐμελῴδει οὕτως καὶ ἔστη ὁ σεισμὸς ἔκτοτε.* **73** (6, ς'). *Καὶ ἐξέωσεν ὁ βασιλεὺς πάντας τοὺς αἱρετικοὺς ἐκ τῆς πόλεως καὶ παρεξέβαλεν τὰ τείχη ἀπὸ τοῦ Ἐξακιονίου μέχρι Χρυσείας· ἐξ οὗ καὶ στήλην ἔστησεν αὐτοῦ ὄπισθεν τῶν ἐλεφάντων. Καὶ ἀνεβίβασεν τὸ παράλιον τεῖχος ἀπὸ τῆς Ῥάβδου μέχρι Χρυσείας καὶ ἀπὸ τὸν ἅγιον Ἀντώνιον τὰ Ἁρματίου μέχρι τῶν Βλαχερνῶν καὶ τῆς Χρυσείας. Οἱ δὲ δύο δῆμοι ἔκτισαν τὰ τείχη παρ' αὐτοῦ ὁρισθέντες, καθὼς εἰς τὰ περὶ κτισμάτων ἐροῦμεν.*

5—21 Ex Theodoro Lectore ut videtur; v. Theophan. p. 93, 5 sqq., Georg. Monach. p. 604, 16 de B.

1 *Κώνστα* AG 2 *ἰβηρίτζη* $A_2$ C *τοῦ ἰβερίτζη τὸν οἶκον ὅνπερ κτλ.* J (*ἅπερ εἰσὶν οἶκοι δύο τοῦ τουβάκη καὶ τοῦ ἰβερίτζη* G) **72** sq. ACM — JB 5 Suprascripsit *σχηματογραφία θεοδωσίου τοῦ μικροῦ* J 7 *τὸ* om. J *καὶ τοὺς χατζ.* JB 11 *Πρόκλου*] *καὶ παντὸς τοῦ λαοῦ* add. C 12 *πάντων τῶν ὁρ.* J *ἐπήρθη*] *ἡρπάγη* AC 15 post *οὕτως* add. solus $A_1$: *καθὼς τὸ παιδίον ὑφηγήσατο* *σεισμός· ἔκτοτε ἐξέοσεν* J 17 *ἐξέβαλε* AC 18 *ἐξ οὗ*] *ἐφῆν* $A_1$ *στίλας* J 19 *ἀνέβασεν* J 21 *ἁρμασίου* $A_2$ *καὶ τῆς Χρυσείας* falsum additamentum esse videtur 23 *ὁρισθέντος* J *ἐροῦμεν*] cf. II 58, III 140.

# II.

## (*Πάτρια τῆς Κωνσταντινουπόλεως· περὶ στηλῶν, ἐν ᾧ καὶ περὶ Ἀδιαβηνῆς.*)

**1.** | *Περὶ Ἀδιαβηνῆς. Αὕτη ἡ χώρα κεῖται πρὸ τῆς Μεσοποταμίας ὡς ἐπὶ ἀνατολὴν πέραν τοῦ Τίγριδος. ἀντικρὺς δέ ἐστιν ἡ ἄσφαλτος ἡ λεγομένη ⟨ν⟩άφθα· λέγεται δὲ Ἀδιαβηνὴ διὰ τὸ εἶναι πλείονας ποταμοὺς ἐν αὐτῇ καὶ δυσχερεστέραν ποιεῖν τὴν διάβασιν. Ἐκεῖ ἐστιν ἡ Νινευή· τοσαύτην δὲ ἀσφάλειαν ποιεῖ τοῖς κτίσμασιν ἡ ἄσφαλτος, ὥστε ταῖς ὀπταῖς πλίνθοις καὶ τοῖς λεπτοῖς λίθοις συμμιγεῖσα ἰσχυροτέρα γίνεται παντὸς σιδήρου. Ἐκεῖσε δέ ἐστιν ⟨τὸ⟩ Ἄορνον στόμιον, ἐξ οὗ δεινὸν πνεῦμα ἀναδίδοται, ὥστε ἐπίγειον ζῷον ἅπαν καὶ πᾶν πτηνὸν ἀποφθείρειν, εἰ προστύχοι ὀσφρανθῆναι. † Καὶ σκεδάννυται καὶ οὐ κατ'* (§ 1—13 om. Bekk.)

---

**1.** Anon. Treu p. 3, 1 (Suid. s. v., cod. Tischend.). Cf. etiam Cassius Dio 68, 27, Cramer Anecd. Par. I 383.

---

Titulus exstat in A; B in margine adscripsit: *περὶ τῶν ἀγαλμάτων καὶ στηλῶν*; in G post II 13 inseritur: *καὶ ταῦτα μὲν περὶ ἀγαλμάτων· τῶν δὲ ἑξῆς πάλιν ἐχώμεθα.* Ex I 62 et 73 et ex inscriptione codicis H II 107 concludere possis scriptorem hanc partem *περὶ κτισμάτων* inscripsisse item ac tertiam partem **1.** JA 4 *ἀντικρὺς*] *ἐν αὐτῇ* Tr. (= Anon. Treu) 5 *ἄφθα* A, *ἄνθα* J, *νάφθα* Tr. 9 *συμμιγνύσα* JA$_2$, *συμμιγῆσαι* A$_1$, *συμμιγεῖσα* Tr. 11 *τὸ* suppl. ex Tr. 12 *καὶ εἰ πρὸς τὸ τυχὸν ὀσφρήσοιτο* Tr. 13 sq. Locus corruptus; recte, ut videtur, Tr. (et Suid. et Tisch. et Cram. Anecd.): *καὶ εἰ ἐσκεδάννυτο, οὐκ ἂν ᾠκίσθη ὁ χῶρος, ἀλλὰ κατ' εὐθεῖαν ἄνεισιν καὶ ὀλίγον ἀνερχόμενον πάλιν ἀντανακλᾶται κτλ.*

εὐθεῖαν ἐξέρχεται καὶ ὀλίγον ἀνερχόμενον ἄνεισιν καὶ πάλιν ἀντανακλᾶται· καὶ ἐκ τούτου τὰ ἐν ὑψηλοῖς πετόμενα σώζεται καὶ τὰ πέριξ ⟨νεμόμενα. Λέγει δὲ ὁ Δίων τοιοῦτόν τι ἑωρακέναι ἐν Ἱεραπόλει τῆς⟩ Ἀσίας, ὥστε πάντα τὰ ὀσφραινόμενα φθείρει πλὴν τῶν εὐνούχων. Ἔστιν δὲ ἐν τῇ Αδιαβηνῇ ἡ Κτησιφῶν. ||

**2.** | *Περὶ ἀγάλματος Ἰανουαρίου.* Τὸ ἄγαλμα τοῦ Ἰανουαρίου ἱστοροῦσι τετράμορφον διὰ τὰς τέσσαρας τροπάς· ἄλλοι δὲ πλάττουσιν αὐτὸν ἐν τῇ δεξιᾷ χειρὶ κλεῖδα κατέχον⟨τα⟩ ὡς ἀρχὴν τοῦ χρόνου καὶ ἄνοιξιν τοῦ ἐνιαυτοῦ καὶ θυρεόν, ἕτεροι δὲ τῇ δεξιᾷ χειρὶ ψήφων κρατοῦντα τ', τῇ δὲ εὐωνύμῳ ξε' ὥσ⟨περ τὸν ἐνιαυτόν· ὅθεν καὶ ὁ Λογγῖνος Αἰωνάριον αὐτὸν ἑρμηνεῦσαι βιάζεται ὡσ⟩ανεὶ αἰῶνος πατέρα. ||

**3.** | *Περὶ ἀγάλματος κρατοῦντος δόρυ.* Τῆς Ἀθηνᾶς τὸ ἄγαλμα δόρυ κρατεῖ καὶ ἀσπίδα παρὰ τὸ σταθερὸν καὶ ἀνδρεῖον καὶ διὰ τὸ πᾶσαν ἐπιβουλὴν διὰ τῆς σοφίας ἀπωθεῖσθαι· ἡ αὐτὴ γάρ ἐστι τῷ νῷ. Καὶ περικεφαλαίαν διδόασιν αὐτῇ διὰ τὸ εἶναι τῆς σοφίας τὸ ἀκρότατον ἀθέατον· καὶ ἐλαίαν ὡς καθαρωτάτης αὐτῆς οὐσίας οὔσης· φω-

---

L. 3. Cf. Cassius Dio 68, 26 **2.** Anon. Tr. p. 4, 12 (Suid. s. v., cod. Tisch.). Cf. Lydus de mens. p. 63, 16 sqq. Wuensch. **3.** Anon. Tr. p. 4, 20 (Suid. s. v. *Ἀθηνᾶ*, cod. Tisch.)

---

3 *νεμόμενα* — 4 *τῆς* suppl. ex Tr. 4 *ὥστε*] *ὅπερ* Tr. **2—14** ABG 7 et 8 *Ἰάνου* Lamb. post alterum *Ἰανουαρίου* G inserit *ὃν καὶ πρῶτον τῶν μηνῶν νομίζουσιν* 8 *τέσσαρας τοῦ χρόνου τροπάς* G 9 *κατέχειν* A, *κατέχον* G, rest. ex Tr. 11 *θυραιον* Tr. 12 post *ξε'* habet *ὡσανεὶ πατέρα τοῦ χρόνου* A, *τὸν τῶν ἡμερῶν ἀριθμόν* G; ego restitui ex Tr.; etenim G in initio capitis exhibet: *ὅτι αἰωνάριος λέγεται παρὰ λογγίνου σοφοῦ τινὸς ὡς αἰῶνος πατήρ* 19 *διὰ — ἀθέατον*] *διὰ τὸν* (*τὸ* $A_2$) *νέον τῆς σοφίας καὶ ἀκράτητον* (*ἀκρότατον* $A_2$) *καὶ ἀθέατον* A, *διὰ τὸ φρόνιμον καὶ σοφόν* G, rest. ex Tr. 20 *ὡς καθαρωτάτης οὐσίας οὔσης* Tr., *ὡς καθαρωτάτην οὖσαν αὐτὴν οὐσίας* A, correxi (*διὰ τὴν καθαρότητα* G)

τὸς γὰρ ὕλη ἡ ἐλαία· καὶ Γοργόνα διδόασιν ἐπὶ τὸ στῆθος αὐτῆς διὰ τὸ ταχὺ τοῦ νοός. ||

**4.** | *Περὶ ἀγάλματος κρατοῦντος κιθάραν.* Κιθάραν ἐπὶ χειρῶν πλάττουσι τοῦ Ἀπόλλωνος, οἱονεὶ τὸν ἥλιον τὴν τοῦ παντὸς ἁρμονίαν· κιρνώμενος γὰρ τοῖς λοιποῖς ἀστράσι καὶ τίκτει καὶ ζῳογονεῖ. ||

**5.** | *Περὶ ἀγάλματος κρατοῦντος ψαλίδα χαλκῆν.* Τὴν Ἥραν λέγουσιν εἶναι τὸν ἀέρα· καὶ ἐπεὶ ὁ ἀὴρ καθαίρει, ποιοῦσι τῆς Ἥρας τὸ ἄγαλμα βαστάζειν ψαλίδα ἀπὸ μεταφορᾶς ψαλίδος τῆς ἀποκειρούσης τὰς τρίχας καὶ καθαρὸν ἀποδεικνυούσης τὸ σῶμα. ||

**6.** | *Περὶ ἀγάλματος βαστάζοντος πύργον.* Τὴν Δήμητραν οἱ παλαιοὶ τὴν γῆν καλοῦσιν· καὶ ἐπειδὴ ἕδρα πάσης πόλεως ἡ γῆ ἐστιν, ὡς βαστάζουσα τὰς πόλεις πλάττεται πυργοφόρος. ||

**7.** | *Περὶ ἀγάλματος κτένα φέροντος.* Τῆς Ἀφροδίτης τὸ ἄγαλμα κτένα φέρει. ἐπειδὴ συνέβη ποτὲ ταῖς τῶν Ῥωμαίων γυναιξὶ κνήφην λοιμώδη γενέσθαι, καὶ ξυρουμένων αὐτῶν πασῶν γεγόνασιν ⟨αὐταῖς οἱ κτένες⟩ ἀχρεῖοι· εὐξαμένας δὲ τῇ Ἀφροδίτῃ ἀνατριχωθῆναι, τιμῆσαί τε αὐτὴν

---

**4.** Anon. Tr. p. 4, 28 (Suid. s. v. *Ἀπόλλων*, cod. Tisch.) [cf. Lyd. de mens. p. 107, 19 W.] **5.** Anon. Tr. p. 5, 15 (Suid. s. v. *Ἥρα*, cod. Tisch.) **6.** Anon. Tr. p. 5, 20 (Suid. s. v. *Δημήτηρ*, cod. Tisch.). Cf. Lyd. de mens. p. 114, 6 W. **7.** Anon. Tr. p. 5, 24 (Suid. s. v. *Ἀφροδίτη*, cod. Tisch.). Cf. Lyd. de mens. p. 116, 18 W.

---

1 *ὕλη*] *ὅλη* A, *χορηγόν* G, rest. ex Tr. 2 *τοῦ νοῦ* Tr. *διὰ τὸ ταχύνουν* G 4 *οἱονεὶ τοῦ ἡλίου ⟨διὰ τὸ εἶναι αὐτὸν αἴτιον⟩ τῆς τοῦ παντὸς ἁρμονίας* coni. Lamb., qui idem affert locum Procli ex commentario in Cratylum sumptum 10 *ἀποκειρ.*] *ἄνω κειρούσης* codd., corr. ex Tr. 13 ante *καὶ* inserit *οἱονεὶ γήμητρα* Tr. 18 *κνίφην λοιμώδη* Tr., *κλῆφαν λιμώδαις* $A_1$, *κληφαιλιμόδαι* $A_2$, om. B (*συνέβη ποτὲ ἐν τῇ ῥώμῃ λοιμώδεις γενέσθαι τὰς γυν.* G) 19 *αὐταῖς οἱ κτένες* suppl. ex Tr.

ἀγάλματι κτένα φέρουσαν. Πλάττουσιν δὲ αὐτὴν καὶ γένειον ἔχειν, ὅτι τε καὶ ἄρρενος καὶ θηλείας ὄργανα ἔχει· αὐτὴν γὰρ λέγουσιν τὴν ἔφορον γενέσεως τοῦ παντός, καὶ ἀπὸ τῆς ὀσφύος καὶ ἄνωθεν λέγουσιν αὐτὴν ἄρρενα, τὰ δὲ κάτω θήλειαν. Πλάττουσι δὲ αὐτὴν καὶ ἔφιππον, ἐπειδὴ καὶ ὁ Αἰνείας ὁ υἱὸς αὐτῆς πλεύσας μέχρι τῆς δύσεως μετὰ τοῦτο ἵππῳ ἐπέβη καὶ τὴν μετέρα ἐτίμησε τοιούτῳ ἀγάλματι. ||

8. | *Περὶ ἀγάλματος τοῦ Διός.* Ἄγαλμα πλάττουσι τοῦ Διὸς καθήμενον, ἔχον τὰ ἄνω γυμνά, τὰ δὲ κάτω ἐσκεπασμένα· κρατεῖ δὲ τῇ μὲν εὐωνύμῳ σκῆπτρον, τῇ δὲ δεξιᾷ ἀετὸν προτείνει· καὶ τὸ μὲν καθέζεσθαι τὸ ἑδραῖον τῆς δυνάμεως αἰνίττεται, τὸ δὲ τὰ ἄνω γυμνὰ ἔχειν, ὅτι φανερὸς τοῖς νοεροῖς καὶ τοῖς οὐρανίοις τοῦ κόσμου μέρεσι· τὰ δὲ λοιπὰ σκέπεται, ὅτι τοῖς χαμαιζήλοις ὁ θεὸς ἄγνωστος· τὸ δὲ τῇ λαιᾷ σκῆπτρον κατέχειν τὸ ἐξουσιαστικὸν σημαίνει, τὸ δὲ τῇ ἑτέρᾳ προτείνειν ἀετόν, ὡς τῶν ἀεροφόρων πνευμάτων κρατεῖ, ὡς ἀετὸς τῶν μεταρσίων ὀρνέων. ||

8a. ⟨*Περὶ ἀγάλματος Ἡρακλέους βαστάζοντος*

---

8. Anon. Tr. p. 6, 8 (Suid. s. v. Ζεύς, cod. Tisch.) 8a. Cf. Anon. Tr. p. 6, 4 (cod. Tisch.): *Περὶ ἀγάλματος τοῦ Ἡρακλέους βαστάζοντος τῇ ἀριστερᾷ χειρὶ τρία μῆλα·* Τὸν Ἡρακλέα τὸν

---

1 φέροντι $A_1$, φέρουσαν $A_2$ Tr. 2 ἔχειν] ἔχουσαν Tr. ὅτι τε $A_1$, ἔτι τε $A_2$ (ὅτι καὶ ἄρρενα καὶ θήλεα ἔχει ὄργανα Tr. (ὡς ἔφορος τοῦ ἄρρενα καὶ θήλεα τίκτεσθαι G) 5 sqq. ἐπειδὴ καὶ κτλ.] ἔστι δὲ καὶ ὁ αἰνείας υἱὸς κτλ. A, υἱὸς γὰρ αὐτῆς αἰνείας κτλ. B, ὅτι ὁ αἰνείας Tr. (διὰ τὸ τὸν αἰνείαν ὡς μητέρα ἰδίαν οὕτω τιμῆσαι αὐτήν G), restituebam 8 περὶ ἀγάλμ. τοῦ Διός] περὶ ἀγ. ἡράκλι (om. $A_2$) βαστάζοντος τρία μῆλα A (cf. § 8a) 11 et 12 τῷ μὲν—τῷ δὲ G, item l. 14 et 15 sq. 13 τοῖς οὐρ.— 14 ὁ θεὸς om. A, suppl. ex Tr. (licentius G: ὅτι φανερός ἐστιν οἷα θεὸς καὶ τοῖς ἐπιγείοις τοῦ κόσμου μέρεσι καὶ τοῖς οὐρανίοις· τῷ δὲ τὰ κάτω ἔχειν σκεπόμενα ὅτι τοῖς χαμαιζήλοις ὁ θεὸς ἄγν.) 18 Inscriptio deest hoc loco in codd. et reliqua verba coaluerunt cum c. 8. Supplevi inscriptionem ex initio c. 8 (cod. A).

*τρία μῆλα.⟩ . . . διὰ δὲ τῶν τριῶν μήλων δηλοῖ, ὡς σφαίρας εἰς τρία κλίματα κατέχειν τὴν πᾶσαν διακόσμησιν.*

**9.** | *Περὶ ἀγάλματος πτερωτοῦ τοῦ Ἑρμοῦ.* *Τὸν Ἑρμῆν οἱ Ἕλληνες καὶ οἱ λοιποὶ τῶν ἀρχαίων [Ῥωμαίων] κατὰ τὴν αὐτῶν πεπλανημένην μυθολογίαν υἱὸν Διὸς λέγουσι καὶ Μαίας· Διὸς μὲν οἷον τοῦ νοῦ, Μαίας ⟨δὲ τῆς φρονήσεως· ἐκ νοῦ γὰρ καὶ⟩ φρονήσεως ὁ λόγος γεννᾶται. Διὰ τοῦτο καὶ πτερωτὸν αὐτὸν ⟨ποιοῦσιν ὡς ταχύν· οὐδὲν γὰρ λόγου ταχύτερον· ὅθεν καὶ Ὅμηρος ἔφη ‘ἔπεα πτερόεντα’ καὶ ‘ὡσεὶ πτερὸν ἠὲ νόημα’. Πάντων δὲ νεώτατον αὐτὸν⟩ ἐργάζονται διὰ τὸ μὴ γηράσκειν τὸν λόγον· ἀλλὰ καὶ τετράγωνον αὐτὸν ποιοῦσι διὰ τὴν στερρότητα τοῦ ἀληθοῦς λόγου.* ||

**10.** | *Περὶ ἀγάλματος Ἑρμοῦ βαστάζοντος μάρσιππον.* *Τοῦ κέρδους αἴτιον λέγουσι καὶ τῶν ἐμποριῶν τὸν Ἑρμῆν· ὅθεν καὶ τὸ ἄγαλμα αὐτοῦ ἱστῶσι βαστάζοντα μάρσιππον· ἀλλὰ καὶ οἱ Φοίνικες τοὺς θεοὺς αὐτῶν πλάτ-*

---

*χρόνον λέγουσιν, ὅς ἐστι τριμερής· ἔαρ, θέρος καὶ χειμών* [cf. Lydus de mens. p. 120, 14 W]. Suidas s. v. *Ἡρακλέους ἄγαλμα βαστάζον ἐν τῇ ἀριστερᾷ χειρὶ μῆλα γ΄ διὰ τὸ τριμερὲς τῆς ψυχῆς κεκοσμῆσθαι αὐτόν.* Cf. et quae apud Suidam sequuntur (sumpta ex Malala ed. Istrin I 21) et Suid. s. v. *Ἡρακλῆς Ἀλκμήνης υἱός.* **9.** Anon. Tr. p. 6, 18 (Suid. s. v. *Ἑρμῆν*, cod. Tisch.). Cf. Lyd. de mens. p. 129, 8 W. **10.** Anon. Tr. p. 7, 26 (Suid. s. v. *Ἑρμῆν*, cod. Tisch.).

---

1 Lacunam codice nescio quo Vaticano sic expletam esse Lamb. testis est: *Ἀλλὰ καὶ πλάττουσιν αὐτὸν* (sc. *Δία* ex falsa Lamb. sententia) *τρία μῆλα ἐν τῇ χειρὶ βαστάζειν. διὰ δὲ τῶν κτλ.* 2 an *σφαῖρα . . κατέχει?* *ὡς σφαίρας εἰς* secl. Lamb. 4 *ῥωμαίων* A (*καὶ οἱ ἀρχαῖοι ῥωμαῖοι* G), om. Tr., seclusi 6 *καὶ Μαίας κτλ.*] *καὶ ῥέας. διὸς μὲν οἷον τοῦ νοῦ μετὰ φρονήσεως* A, *καὶ ῥέας, διὸς μὲν οἱονότι ἐκ τοῦ νοὸς μετὰ φρον.* B (*καὶ μαίας, ἤγουν λόγον ἐκ νοῦ καὶ φρονήσεως·* G), suppl. ex Tr. 8—11 *διὰ τοῦτο τὸν αὐτὸν ἐργάζονται* $A_2$, om. $A_1$; supplevi B ex Tr. (G habet: *διὰ τοῦτο καὶ νέον αὐτὸν ἱστοροῦσι διὰ τὸ μὴ γηράσκειν τὸν λόγον, ἀλλ' ἀεὶ ἀκμάζειν*). 16 *βαστάζον* Tr.

*τουσιν ἐπιφέροντας βαλάντιον χρυσοῦ συμβόλου ὄντος δυναστείας· οἱ δὲ Ἕλληνες σιδηροφοροῦντας αὐτοὺς πλάττουσιν ὡς τοῖς ὅπλοις ὑποταττομένων τῶν ἀνθρώπων.* ||

**11.** | *Περὶ ἀγάλματος Εὐγνωμοσύνης.* *Ἄγαλμα τῆς Εὐγνωμοσύνης τῇ δεξιᾷ χειρὶ σκῆπτρον κατέχει ὡς ἀγχίνου οὔσης τῆς εὐγνωμοσύνης, τῇ δὲ ἀριστερᾷ βιβλίον διὰ τὸ τὸν εὐγνώνομα δέεσθαι ἀναμνήσεως, ἥτις διὰ βιβλίων γίνεται.* ||

**12.** | *Περὶ ἀγάλματος τοῦ Πριάπου.* *Τὸ ἄγαλμα τοῦ Πριάπου τοῦ Ὥρου παρ' Αἰγυπτίοις κεκλημένου ἀνθρωποειδὲς ποιοῦσι, τῇ δεξιᾷ σκῆπτρον κατέχον, ὡσανεὶ παρ' αὐτοῦ φανῆναι τὴν ξηρὰν καὶ τὴν θάλασσαν· ἐν δὲ τῇ εὐωνύμῳ κρατῶν τὸ αἰδοῖον αὐτοῦ ἐντεταμένον, ὅτι τὰ κρυπτὰ ἐν τῇ γῇ σπέρματα φανερὰ καθίστησιν. ἔχει δὲ καὶ πτερὰ διὰ τὴν ταχυτῆτα τῆς κινήσεως· τὸν δὲ κύκλον τοῦ δίσκου ⟨διὰ⟩ τὴν περιφέρειαν· ταὐτὸν γὰρ εἶναι τῷ ἡλίῳ αὐτὸν δοξάζουσιν· ὡς εἴρηται γάρ, ἀνθρωπόμορφον ἔχει ἄγαλμα τῇ δεξιᾷ χειρὶ σκῆπτρον κατέχον, τῇ δὲ εὐωνύμῳ τὸ αἰδοῖον*

---

**11.** Anon. Tr. p. 6, 28 (cod. Tisch.) **12.** Anon. Tr. p. 7, 1 (Suid. s. v. *Πρίαπος*, cod. Tisch.)

---

1 *βαλάντιον χρυσοῦν* codd., *βαλάντια ὡς τοῦ χρυσοῦ* Tr., *βαλάντια χρυσᾶ ὡς τοῦ χρυσοῦ* Lamb. 3 *ὑποτατт. τῶν ἀνθρ.* G Tr., *ὑποταττομένοις τὸ ἀνθρώπινον* $A_2$ 5 *ἀγχίνου*] *ἰσχυούσης* Tr. 11 *παρ' αὐτοῦ φανεῖσαν* Tr., *παρὰ τὸ φανῆναι* A, *παρὰ τὸ φανῆναι δι' αὐτοῦ* B (*παρ' αὐτοῦ γῆς τε καὶ θαλάσσης φανείσης* G); *ὡσανεὶ παρὰ τὸ φανῆναι κατὰ τὴν ξηρὰν καὶ τὴν θάλ.*. 'eo quod terra marique appareat' Lamb.; restituebam 13 *τὰ κεκρυμμένα* Tr. 14 sq. *τὰ δὲ πτερὰ τὴν ταχ.* (*ἔχει* om.) Tr. 15 sq. *τὸν δὲ κυκλοτερῆ δίσκον ᾧ ἐποχεῖται διὰ τὸ περιφερὲς τῷ ἡλίῳ τοῦτον δοξάζειν* G, *μέσον δὲ τῶν πτερῶν δισκοειδὴς κύκλος δηλῶν τὴν περιφέρειαν. ταὐτὸν κτλ.* B, sequor A Tr., nisi quod *διὰ* inserui; *τοὺς δὲ κύκλους διὰ τὴν τοῦ δίσκου περιφέρειαν* Lamb. nullius codicis auctoritate nisus.

*αὐτοῦ ἐντεταμένον· ἐπὶ δὲ τούτῳ πτερά· κατὰ μέσον δὲ τῶν πτερῶν δισκοειδὴς κύκλος.* ||

**13.** | *Περὶ ἀγάλματος τῆς Γῆς. Ὅτι γυναῖκα λέγουσι τὴν Ἑστίαν καὶ πλάττουσιν οἱονεὶ τὴν Γῆν τύμπανον βαστάζουσαν, ἐπειδὴ τοὺς ἀνέμους ἡ γῆ ὑφ' ἑαυτὴν συγκλείει.* ||

**14.** | *Περὶ ἀγάλματος ἔχοντος ἐν τῇ κεφαλῇ* B 27
*κέρατα. Τὸ δὲ ἄγαλμα τοῦ Σελεύκου τοῦ δι' ἀνδρείαν ὀνομασθέντος Νικάνορος τοῦ δόντος τῷ υἱῷ αὐτοῦ Ἀντιόχῳ Στρατονίκην τὴν ἑαυτοῦ γυναῖκα ἐρασθέντι αὐτῆς καὶ διὰ τὸν πρὸς αὐτὴν ἔρωτα ἀσθενήσαντι καὶ ἐπικρυπτομένῳ, γνωσθέντι δὲ ὑπὸ Ἐρασιστράτου τοῦ ἰατροῦ — φασὶ συνόντα Σέλευκον Ἀλεξάνδρῳ τῷ Μακεδονικῷ ταῦρον θυομένῳ ἀποδράντα μόνον Σέλευκον περιγενέσθαι αὐτοῦ τῶν κεράτων κρατήσαντα· καὶ διὰ τοῦτο τῷ ἀγάλματι αὐτοῦ περιτιθέασι κέρατα ἐν τῇ κεφαλῇ.* ||

**14a.** | *Περὶ ἀτραβατικῶν. Ἐν ταῖς ἑορταῖς καὶ ἐπινικίοις καὶ παρόντων πρέσβεων ἐνεδύοντο χλαμύδας ποικίλας ἀπὸ χρυσοῦ καὶ πορφύρας ἢ ἄλλως πως πολυτελεῖς·* B 28
*ἐν δὲ ταῖς κοιναῖς συνόδοις ξηραμπελίνας τῷ χρώματι, ἃς*

---

**13.** Anon. Tr. p. 7, 13 (Suid. v. *Γῆς ἄγ.*, cod. Tisch.)
**14.** Anon. Tr. p. 7, 17 (Suid. s. v. *Σέλευκος*, cod. Tisch.)
**14a.** Anon. Tr. p. 4, 3 (Suid. s. v. *Ἀτραβατικάς*, cod. Tisch.) Cf. Lyd. de mag. p. 21, 18 W.

---

1 *ἐπὶ δὲ τούτου* Tr. 3 *ὅτι γυν. πλάττουσι τὴν ἑστίαν οἱονεὶ κτλ.* Tr., *τὴν γῆν λέγουσιν Ἑστίαν καὶ πλάττουσιν αὐτὴν γυν. τύμπ. βαστ.* Lamb. falso, auctoritate cuiusdam codicis nisus 8 *τὸ δὲ ἄγ.*] *περὶ ἀγάλματος* Tr. 9 *τῷ ἰδίῳ υἱῷ* Tr. *Νικάνορος*] *Νικάτορος* Lamb. (falso) 11 *ἐπικρυπτόμενον* AB (om. G) 12 *φασὶ δὲ* Lamb. 13 *ἀλεξάνδρω τὸν μακεδονικὸν ταῦρον θυόμενον* $A_2$ B, rest. ex Tr. (*Ἀλεξάνδρῳ τῷ Μακ. τυθῆναι μέλλοντος ταύρου καὶ ἀποδρ. κτλ.* G) *Μακεδόνι* Tr. 16 *τῇ κεφαλῇ κέρατα* Tr. **14a.** AB 18 *πρεσβειῶν* A 20 *τὸ χρῶμα* Tr.

*ἐκάλουν ἀτραβατικὰς ἢ ἀπὸ τοῦ χρώματος — τὸ γὰρ μέλαν ἄτρον ἐκάλουν — ἢ ὅτι μετὰ τὰς τραβέας ταύταις εἰώθασι χρῆσθαι· τραβέαι δὲ λέγονται αἱ πολυτελεῖς χλαμύδες.* ||

**15** (7, ζʹ).| *Περὶ Αὐγουστίωνος. Τῇ πέμπτῃ τοῦ Ὀκτωβρίου μηνὸς ἐχόρευον οἱ ῥηγεωνάρχαι ἐν τῷ [αὐ]γουστίωνι ἤγουν τῷ ὀψοπωλείῳ εἰς τιμὴν τοῦ βασιλεύοντος κατὰ τὸν καιρόν. Τὸν αὐτὸν οὖν τόπον νῦν οἱ ἰδιῶται Αὐγουστίωνα καλοῦσιν· ἐν ᾧ καὶ στήλην ὁ μέγας Κωνσταντῖνος ἔστησεν τῆς ἑαυτοῦ μητρός· διὸ καὶ ἐπωνόμασε τὸν τόπον Αὐγουστίωνα*||, *πρότερον Γουστίωνα λεγόμενον ἤγουν ὀψοπωλεῖον.*

**16** (29, κθʹ). | *Περὶ τῶν στηλῶν τῶν ἐν τῇ ἀψῖδι τῆς καμάρας τοῦ Φόρου. Ὅτι ἐν τῇ ἀψῖδι τῆς καμάρας τοῦ Φόρου ἵστανται δύο στῆλαι Ἑλένης καὶ Κωνσταντίνου καὶ σταυρὸς μέσον αὐτῶν γράφων· εἷς ἅγιος, εἷς κύριος Ἰησοῦς Χριστὸς εἰς δόξαν θεοῦ πατρός· ἀμήν. Καὶ δύο ταχυδρόμων*

---

**15.** Anon. Tr. p. 3, 18 (Suid. s. v. *Αὔγουστος*, cod. Tisch.) Cf. Lyd. de mens. p. 163, 3 W **16.** Anon. Tr. p. 10, 15. (Suid. s. v. *Ἑλένη*), cuius verba exscripsi ad Parast. 16. Res iterum narratur infra II 102.

---

2 *ἀτρέον* codd., rest. ex Tr.. 2 *καλοῦσιν* Tr. *ἢ ὅτι*] *ἢ ἔτι* $A_1$, *οἱ ἔστι* $A_2$, *ὅ ἐστι* B, rest. ex Tr. *μετὰ τραβέων* Lamb. **15—18.** ABCMJG 4 *αὐγουστίονος* J $A_1$ D, *αὐγουστιῶνος* $A_2$ E, *αὐγουστεῶνος* B, *αὐγουστείου* Tr., (*περὶ τὸν*) *αὐγουστεῶνα* G; hoc modo codd. etiam infra variant 5 *οἱ ῥεγεων. καὶ σεβαστοφόροι* Tr. *αὐγουστείῳ* Suid., Tisch; *αὐγουστίωνι* omnes codd. Codini, nisi quod $A_1$ *αὐ* rasura delevit; *γουστείω* Tr. *ἤγουν τὸ ὀψωπόλιον* J 6 *τοῦ βασιλέως τοῦ κατὰ τὸν καιρόν* $A_1$, *Τιβερίου* (*τοῦ — καιρόν* om.) Tr. 7 *τὸν δὲ τοιοῦτον τόπον οὕτως ἐκάλεσαν ἀπὸ τοῦ αὐγούστου* Suid. post *καλοῦσιν* add.: *ὡς ἀπὸ τοῦ αὐγούστου* E, *ὡς ἀπὸ τοῦ αὔγουστοι τούμβικες* (i. e. 'Auguste, tu vincas') D 8 sq. *ἐν ᾧ καὶ στῆλαι ἔστησαν τοῦ μεγάλου κωνσταντίνου καὶ τῆς μητρὸς αὐτοῦ* $A_2$B, *εἰς τὸ ἄσκεπτον* (*ἄσκεπον* coni. Tr.) *τῆς Δάφνης εἰς τὴν μικρὰν αὐλὴν Κωνστ. ὁ μέγας ἔστησε στήλην κτλ* Tr. *τῆς αὐτοῦ μητρὸς* J 9 *πρότερον* om. J 10 *ὀψωμοπουλίον* J 14 sq. *εἷς κύριος — ἀμήν* om. Tr.

*ὁμοίως στῆλαι πτερωτῶν· ἀνετέθησαν δὲ παρὰ τοῦ τὸν Φόρον ἐπαρχοῦντος.* ||

**17** (8, *η'*). | *Περὶ τοῦ ἀγάλματος τοῦ ἐν τῷ Αὐγουστίωνι ἐφίππου κρατοῦντος σταυρὸν καὶ σφαῖραν.* *Κτίσας ὁ Ἰουστινιανὸς τὴν ἁγίαν Σοφίαν* 527-565 *ἐκάθηρεν τὴν αὐλὴν καὶ ἐμαρμάρωσεν αὐτὴν τὸ πρώην οὖσαν γουστεῖον ἤγουν ὀψοπωλεῖον· διὸ καὶ ἔστησεν τὴν ἑαυτοῦ εἰκόνα ἔφιππον ἐπὶ κίονος· καὶ τῇ μὲν ἀριστερᾷ χειρὶ φέρει σφαῖραν ἐμπεπηγότος σταυροῦ ἐν αὐτῇ καὶ* B 29 *ὑποσημαίνοντος, ὡς διὰ τῆς εἰς τὸν σταυρὸν πίστεως τῆς γῆς πάσης ἐγκρατὴς γέγονε· σφαῖρα μὲν γὰρ ἡ γῆ διὰ τὸ σφαιροειδὲς τοῦ αὐτῆς σχήματος, πίστις δὲ ὁ σταυρὸς διὰ τὸν ἐν αὐτῷ προσηλωθέντα σαρκὶ θεόν. Τὴν δὲ δεξιὰν χεῖρα ἀνατεταμένην ἔχει κατὰ ἀνατολὰς στάσιν τῶν Περσῶν σημαίνων καὶ μὴ μεταβαίνειν ἐπὶ τῆς Ῥωμαϊκῆς γῆς, διὰ τῆς ἀνατάσεως καὶ ἀπώσεως τῆς χειρὸς βοῶν· στῆτε, Πέρσαι, καὶ μὴ πρόσω χωρεῖτε· οὐ γὰρ συνοίσει ὑμῖν.* || [*Τὸν οὖν αὐτὸν Ἰουστινιανὸν λέγεται ἐπαρθῆναι τοῖς τοῦ Βελισαρίου εὐτυχήμασιν. Οὗτος οὖν σταλεὶς κατὰ τῶν Περσῶν καὶ τῶν λοιπῶν τῶν τῆς ἀνατολῆς παρὰ τοῦ βασιλέως καὶ πάντας κατατροπωσάμενος καὶ* | *Γελίμερα κρατήσας ἀπέστειλεν αὐτὸν εἰς Μαυρουσίαν ἐκεῖσε τηρεῖσθαι ὑπὸ τοῦ Φαρές ὃς εἰς μεγάλην ἔνδειαν ἄρτου γεγονὼς διὰ τὸ μὴ ἐν τῷ*

---

**17.** Anon. Tr., p. 5, 1 (Suid. s. v. *Ἰουστινιανός*, cod. Tisch.) L 21 — p. 160, 9. Cf. [Georg Monach.] p. 549 Muralt (Leo Gramm. p. 131)

---

1 *πτερωτῶν* om. Tr. *πτερωταί* A 3 *αὐγουστείω* Tr. 6 *πρὶν* Tr. 7 *αὐγουστεῖον* Suid. *ἤγουν*] *ὃ ἑρμηνεύεται* Tr. *διὸ* om. Tr. 11 *πάσης* om. Tr. 14 *ἔχων* Suid. 16 *τῶν χειρῶν* $A_1$, Suid. *Πέρσαι* om. Tr., Suid. 17 — p. 160, 14 exstant in solo C, nisi quod F hac parte mancus est 22 *Φάρας* nominatur apud Procop. et Gg. Mon. 23 *ἐν τῷ τόπῳ*] *εἰς τὸν τόπον* E

*τόπῳ τῆς Μαυρουσίας σῖτον γεωργεῖσθαι, ἀλλ' ἑφθὰς τὰς ὀλύρας σιτεῖσθαι, ἔγραψε τῷ βασιλεῖ στεῖλαι αὐτῷ ἄρτον καὶ σπόγγον καὶ κιθάραν. Ὁ δὲ ἐκπλαγεὶς ἐπὶ τούτοις ἤρετο τὸν ἐπιστολέα, τίνος χάριν ταῦτά γε ἐπιζητεῖ. Καὶ ἐξεῖπεν, ὅτι ἄρτον μὲν διὰ τὸ αὐτὸν ἐπιθυμεῖν τοῦ ἰδεῖν τε καὶ φαγεῖν, σπόγγον διὰ τὸ λούειν τὸ ἅπαν αὐτοῦ σῶμα ὑπὸ τῶν δακρύων, τὴν δὲ κιθάραν διὰ τὸ παραμυθεῖσθαι ἑαυτοῦ ταῖς συμφοραῖς. Ὁ δὲ βασιλεὺς ἐκπλαγεὶς καὶ θαυμάσας ἔστειλε τοῦτον τὰ αἰτηθέντα. || Διὰ ταῦτα οὖν Ἰουστινιανὸς ἐπαρθεὶς ἔφιππον ἑαυτὸν ἔστησεν ἐπὶ κίονος. Ὃς ὕστερον φθονήσας τῷ ῥηθέντι στρατηγικωτάτῳ Βελισαρίῳ ἐξώρυξε τοῦτον τοὺς ὀφθαλμοὺς καὶ προσέταξε τοῦτον καθεσθῆναι εἰς τὰ Λαύσου καὶ ἐπιδοῦναι αὐτῷ σκεῦος ὀστράκινον καὶ ἐπιρρίπτειν αὐτῷ τοὺς διερχομένους ὀβολόν.]*

**18** (30, λ'). | *Περὶ τοῦ ἐν τῷ βορείῳ μέρει τοῦ Φόρου σταυροῦ. Ὅτι ἐπὶ τὸ βόρειον μέρος τοῦ Φόρου ἵσταται σταυρός, ὡς εἶδεν αὐτὸν Κωνσταντῖνος ἐν τῷ οὐρανῷ, χρυσέμπλαστος ἐν τοῖς ἀκρωτηριακοῖς στρογγύλοις μήλοις· ἔνθεν καὶ αὐτὸς καὶ οἱ υἱοὶ αὐτοῦ καθορῶνται χρυσέμβαφοι || μέχρι τοῦ νῦν.*

B 30 **19** (σξε'). | *Περὶ τοῦ Ξηρολόφου. Ὅτι τὸν Ξηρόλοφον πρώην τινὲς θέαμα ἐκάλουν· ἐν αὐτῷ γὰρ ἔστησαν*

---

**18.** Anon. Tr. p. 10, 21 (Suid. s. v. *σταυρός*), cuius verba videsis ad Parast. 16., res iterum narratur infra II 102
**19.** Anon. Tr. p. 11, 1 (Suid. s. v. *Ξηρόλοφος*) et p. 19, 13 (ex Parast. 20 et 71) Cf. Beiträge p. 38 et infra II 105.

---

1 *ἐφθὸν* E, *ἐνθὰς* D 8 *ἑαυτῷ* D *βασιλεὺς*] *Φαρὰς* Georg Mon. 9 *τούτῳ* edd., sed nolui corrigere 12 *τοὺς τούτου ὀφθαλμοὺς* E *καθισθῆναι* D 15 *τοῦ φόρου τοῦ σταυροῦ* J $A_1$, correxi **19.** ABMJG 21 sq. *τὸν ξ.* $A_2$G, *τὸ ξιρόλοφον* JB, *ξυλοφόρον* $A_1$ M (hic etiam in lemmate et p. 161, 6) 22 *ἔστησαν* om. Tr.

*κοχλίαι ις´ καὶ Ἀρτέμιδος συνθετὴ στήλη καὶ Σευήρου τοῦ κτίσαντος καὶ θεμάτιον τρίπουν. Ἔνθα ἐθυσίαζεν πολλὰς θυσίας Σευῆρος· ἔνθα καὶ χρησμοὶ πολλοὶ τῷ τόπῳ γεγόνασιν· καθ' ὃν καὶ κόρη παρθένος ἐτύθη. Καὶ θέσις ἦν ἀστρονομικὴ λς´ χρόνους διαρκέσασα.* || — | *Ὁ αὐτὸς δὲ Ξηρόλοφος, καθὼς ὁ Διακρινόμενος λέγει, στήλην εἶχεν τοῦ μικροῦ Θεοδοσίου καὶ Οὐαλεντινιανοῦ καὶ Μαρκιανοῦ κάτωθεν τοῦ κίονος· σεισμοῦ δὲ γενομένου πεπτωκέναι τὰς στήλας.* ||

**20** (31, *λα´*). | *Περὶ τῶν δύο σταυρῶν τῶν λῃστῶν.* *Ὅτι κάτωθεν τοῦ Φόρου κεχωσμένοι ὑπάρχουσιν οὗτοι οἱ δύο σταυροὶ καὶ βικίον μύρου, ᾧ ἠλείψατο ὁ Χριστός· καὶ πολλὰ ἕτερα σημειοφορικά, τεθέντα μὲν παρὰ Κωνσταντίνου τοῦ μεγάλου, ἀσφαλισθέντα δὲ ὑπὸ Θεοδοσίου τοῦ μεγάλου.* || 379-395

**21** (239, *σμς´*). | *Περὶ τῆς γεφύρας τῆς πέραν τῆς πόλεως τοῦ ἁγίου Μάμαντος.* | *Ὅτι εἰς τὸν ἅγιον Μάμαντα τὸν πέραν ἵστατο γέφυρα μεγάλη οἵα τῆς Χαλκηδόνος, δώδεκα καμάρας ἔχουσα. Ποταμὸς γὰρ κατήρχετο παμμεγέθης καὶ μάλιστα τῷ Φεβρουαρίῳ μηνί. Ἔνθα καὶ*

---

**20.** G in hac paragrapho longius discrepat: *Κάτωθεν δὲ τοῦ πλακωτοῦ φόρου περὶ τὸν θεμέλιον τοῦ πορφυροῦ μεγάλου κίονος ἐναπόκεινται οἱ δύο σταυροὶ τῶν λῃστῶν καὶ τὸ βικίον τοῦ μύρου, οὗ ἤλειψεν ἡ πόρνη τὸν Χριστόν· καὶ ἄλλα πολλὰ θαυμαστὰ κατάκεινται, τὰ μὲν ὑπὸ τοῦ μεγάλου Κωνσταντίνου καὶ Κωνσταντίου τοῦ υἱοῦ αὐτοῦ τεθέντα, τὰ δὲ ὑπὸ τοῦ μεγάλου Θεοδοσίου.* Subiungit etiam narrationem de Pulcheria et Marciano sumptam ex Georgio Monacho p. 607, 7—18 et 611, 18 sq. de Boor

---

**20.** Anon. Tr. p. 11, 9 (Suid. s. v. *Φόρος*) ex Parast. 23
**21.** Anon. Tr. p. 11, 13 (Suid. s. v. *Μάμας*) ex Parast. 22.

---

1 *κοχλίαι* G, *κοχλίας* J, *κοχλιάδας* ABM 2 et 3 *ἐθυσίαζον* et *σευήρου* codd. nisi quod *σευήρω* GB, *ἐθυσίασεν* et *σευῆρος* Tr., *ἐθυσίαζεν* scripsi 4 *καθὸ* codd., restitui ex Tr. 6 post *Ξηρόλοφος* inserit G: *ὁ ἔνζωδος κίων στήλας εἶχεν ἄνωθεν* G 7 *μαρκίωνος* codd., corr. ex Tr. **20—25.** ABCMJG 11 *ᾧ* scripsi, *ὃ* ACJ et Tr., *οὗ* G 14 sq. *Ἀντιπέραν δὲ τοῦ ἁγίου μάμαντος* G 16 *τὸν πέρ.ν* om. Tr. *οἵα τῆς Χαλκηδόνος* om. Tr.

*δράκων ἵστατο χαλκοῦς· διὰ δὲ τὸ λέγειν τινὰς δράκοντα οἰκεῖν ἐν τῇ γεφύρᾳ, πολλαὶ παρθένοι ἐτύθησαν καὶ πλῆθος προβάτων καὶ βοῶν καὶ ὀρνέων. Βασιλίσκος γάρ τις ἐρασθεὶς τοῦ τόπου, ὃς ἦν εἷς τῶν ἀπὸ Νουμεριανοῦ Καί-*
B 31 *σαρος, κτίσας κατῴκησεν ἐν αὐτῷ· ἔνθα καὶ ναὸν τοῦ Διὸς*
475 *ἤγειρεν παμμεγέθη. Ταῦτα δὲ πάντα Ζήνων τῷ δευτέρῳ ἔτει τῆς βασιλείας αὐτοῦ κατέστρεψεν.* ||

**22** (80, ρ̅ι̅γ̅′). *Περὶ τῶν ὀστῶν τῶν γιγάντων.* |*Ὅτι ἐν τῷ ναῷ τοῦ ἁγίου Μηνᾶ ἐν τῇ ἀκροπόλει ὄρυγμα εὑρέθη, ὅτε ἐκαθαίρετο, καὶ ὀστᾶ ἀνθρώπων γιγάντων εἰς*
491-518 *πλῆθος· ἅτινα θεασάμενος Ἀναστάσιος ὁ βασιλεὺς καὶ ἐκπλαγεὶς εἰς τὸ παλάτιον κατέθετο εἰς θαῦμα ἐξαίσιον.* ||

**23** (110, ρμγ′). *Περὶ στήλης εὐνούχου ἐν τῇ Χελώνῃ.* | *Ἐν τῷ ναῷ τοῦ ἁγίου Προκοπίου ἐν τῇ Χελώνῃ στήλη ἵστατο εὐνούχου τινός, ᾗ ἐν τῷ στήθει ἔγραφεν· ʻὁ μετατιθεὶς θεμάτια τῷ βρόχῳ παραδοθήτω.ʼ Ἦν δὲ ἡ στήλη Πλάτωνος κουβικουλαρίου, ὃς ἐν ταῖς ἡμέραις τοῦ*
475-477 *βασιλέως Βασιλίσκου πυρίκαυστος γέγονε· τῶν δὲ γονέων αὐτοῦ αἰτησάντων τῷ βασιλεῖ εἰς μνημόσυνον τοῖς ἀνταίρουσιν βασιλεῖ στηλωθῆναι τὸν εὐνοῦχον Πλάτωνα, οὐκ ἐκώλυσεν. Ἐν δὲ τῷ ἀνακαινίζεσθαι τὸν τοῦ ἁγίου μάρτυρος ναὸν μετετέθη εἰς τὸ Ἱπποδρόμιον. Οἱ δὲ οἶκοι τοῦ αὐτοῦ εὐνούχου σῴζονται ἐν τῇ Χελώνῃ ἕως τῆς σήμερον.* ||

**24** (79, ριβ′). *Περὶ τοῦ τόπου τοῦ Κυνηγίου.*

---

**22.** Anon. Tr. p. 11, 23 (Suid. s. v. *Μηνᾶς*) ex Parast. 25
**23.** Anon Tr. p. 11, 28 (Suid. s. v. *Προκόπιος*) ex Parast. 26
**24.** Anon. Tr. p. 12, 7 (Suid. s. v. *Κυνήγιον*) ex Parast. 28

---

1 *δὲ* om. $A_2$ Tr. 2 *πολλαὶ*] *ἔνθα καὶ πολλαί* Tr. 4 *ἀπὸ Νουμεριανοῦ Καίσαρος τὸ γένος ἕλκων . . . καὶ κτίσας διάφορα περιφανῆ οἰκήματα κατῴκει κτλ* G 8 Lemma sumpsi ex G, sim. C; *περὶ τοῦ ἁγίου μηνᾶ* J$A_2$, *περὶ ὀστῶν* Tr., om. $A_1$ 9 *ἐν τῇ ἀκροπόλε.* om. Tr. 10 *εὑρέθη μέγα* Tr. 12 *κάτωθεν τοῦ παλατίου* G 16 *θεαμάτιον* Lamb.

| *Ἐν τῷ Κυνηγίῳ τὸ πρότερον ἐρρίπτοντο οἱ βιοθάνατοι· ἦσαν δέ τινες ἐκεῖσε στῆλαι. Ἀπελθὼν δὲ Θεόδωρος ὁ ἀναγνώστης μετὰ Ἱμερίου χαρτουλαρίου εἶδεν ἐκεῖσε στήλην* B 32 *μικρὰν τῷ μήκει καὶ πλατεῖαν πάνυ. „Ἐμοῦ δὲ θαυμάζοντός φησιν ὁ Ἱμέριος· ‛θαύμαζε, ὅτι ὁ κτίσας τὸ Κυνήγιόν ἐστιν.’ Ἐμοῦ δὲ εἰπόντος· ‛Μαξιμῖνος ὁ κτίσας καὶ Ἀριστείδης ὁ καταμετρήσας’ παρευθὺ πεσεῖν τὴν στήλην ἐκ τοῦ ἐκεῖσε ὕψους καὶ δοῦναι τῷ Ἱμερίῳ καὶ παραυτὰ θανατῶσαι. Ἐμοῦ δὲ φοβηθέντος καὶ πρὸς τὴν ἐκκλησίαν φυγόντος καὶ καταγγέλλοντος τὰ πραχθέντα, οὐδείς μοι ἐπίστευσεν, ἕως ὅρκοις αὐτοὺς ἐβεβαίωσα τὸ γεγονός. Οἱ οὖν οἰκεῖοι τοῦ τελευτήσαντος καὶ οἱ φίλοι τοῦ βασιλέως σὺν ἐμοὶ ἐπορεύθησαν ἐν τῷ Κυνηγίῳ καὶ πρὸ τοῦ τὸ πτῶμα τοῦ ἀνδρὸς ἐγγίσαι* ⟨*τὸ πτῶμα*⟩ *τῆς στήλης ἐθαύμαζον.“ Ἰωάννης δέ τις φιλόσοφός φησιν, ὅτι εὗρον ὑπὸ τούτου τοῦ ζώδου ἔνζωδον καὶ ἐνίστορον ἐγγεγλυμμένον ἄνδρα τεθνηξόμενον. Ἐξ οὗ Φιλιππικὸς ὁ βασιλεὺς* 711–713 *πληροφορηθεὶς ἐκέλευσεν τὸ αὐτὸ ζῶδον ἐν τῷ αὐτῷ τόπῳ καταχωσθῆναι.* ||

25 (173, ϙε′). | *Περὶ τῶν δύο στηλῶν Βηρίνης* B 33 *τῆς γυναικὸς τοῦ μεγάλου Λέοντος. Δύο στῆλαί εἰσιν τῆς Βηρίνης, μία μὲν νοτιωτέρα τοῦ ἁγίου μάρτυρος Ἀγαθονί-*

---

**25.** Anon. Tr. p. 12, 24 (Suid. s. v *Βηρίνα*) ex Parast. 29 (ubi verba adscripsi)

---

4 *πλάτει* codd., corr. ex Tr., qui habet *πλατεῖαν καὶ παχεῖαν* 5 *μὴ θαύμαζε* G (ex coniectura ut videtur) 10 *τὸ πραχθὲν* Tr. 13 *κυνηγίῳ*] *τόπῳ* Tr. 14 *προσεγγίσαι* Tr. *τὸ πτῶμα* suppl. ex Tr. 16 *ζωδίου* et 18 *ζώδιον* Tr. *ἔνζωδον*] *ἔνδοξον* Tr. *καὶ ἐνίστορον ἐγγεγλ.* om. Tr. *ἐγγεγλυμμένον* JG, *ἐγγεγυμνασμένον* ABC (*ὅτι ἐγὼ ἐθεασάμην ὑπὸ τοῦτο τὸ ζώδιον ἐγγεγλ. ἄνδρα τεθνεῶτα, ὥστε δοκεῖ μοι ὅτι προεστοιχεῖτο* (scr. *προεστοιχείωτα*) *φονεὺς γενέσθαι ἀνδρός* G) 17 *ἐφ’ οὗ* codd., *ὑφ’ οὗ* edd., *ἐξ οὗ* Tr. **25.** ABC (praeter F) MJG 20 et 22 *βερίνης* J 22 *νοτιωτέρα* et *βορειοτέρα* p. 164, 2 inverso ordine posita esse videntur *νοτιωτέρα*] *βορειοτέρα* Tr.

*κου μετὰ τὴν ἄνοδον τῶν ἐκεῖσε βαθμίδων, ἑτέρα δὲ βορειοτέρα ἄντικρυς αὐτῆς πλησίον τοῦ ναοῦ τῆς ἁγίας Βαρβάρας τοῦ Ἀρτοτυριανοῦ τόπου. Καὶ ἡ μὲν τοῦ ἁγίου*
457-474 *Ἀγαθονίκου γέγονεν ζῶντος Λέοντος τοῦ Μακέλλη τοῦ ἀνδρὸς αὐτῆς, ἡ δὲ τῆς ἁγίας Βαρβάρας μετὰ τὴν τελευτὴν*
475 *αὐτοῦ, ἡνίκα Βασιλίσκον τὸν ἀδελφὸν αὐτῆς ἔστεψεν φυγόντος Ζήνωνος τοῦ γαμβροῦ αὐτῆς.* ||

**26.** ⟨*Περὶ Εὐφημίας τῆς γυναικὸς Ἰουστίνου.*⟩|
518-527 *Εὐφημίας τῆς γυναικὸς Ἰουστίνου τοῦ Θρᾳκὸς στήλη ἵσταται ἐν τῇ ἁγίᾳ Εὐφημίᾳ τῇ ὑπ' αὐτῆς κτισθείσῃ.* ||

**27** (*μβ'*). *Περὶ τῶν Ἀρκαδιανῶν. Ἀρκαδίας τῆς*
474-491 *γυναικὸς Ζήνωνος τῆς ἐν τῷ δευτέρῳ συνοικεσίῳ ἐν τοῖς πλησίον μέρεσι τῶν βάθρων τῶν λεγομένων ⟨Τόπων⟩ ἐν τοῖς τοῦ Ἀρχιστρατήγου μέρεσιν εἰς Ἀρκαδιανὰς ἐστηλώθη· ἔνθα Ζήνων ἔκρινε τοὺς μετὰ Βασιλίσκου καὶ σέκρητον τὸν τόπον ἐποίησε. Τῆς δὲ πρώτης αὐτοῦ γυναικὸς Ἀριάδνης καὶ τοῦ Ζήνωνος ἐν τῇ βασιλικῇ πύλῃ* || *τῆς Χαλκῆς ἔστησαν.*

B 34 **28** (9, *θ'*). *Περὶ τῆς Χαλκῆς.* | *Ὅτι ἐν τῇ Χαλκῇ*

---

**26.** Anon. Tr. p. 13, 1 (Suid. s. v. *Εὐφημία*) ex Parast. 30
**27.** Anon. Tr. p. 13, 4 (Suid. s. v. *Ἀρκαδία*) ex Parast. 32
**28.** L 19 — p. 165, 2: Anon. Tr. 13, 10 (Suid. s. v. *Πουλχερία*) ex Parast. 33

---

2 *βορειοτέρα* om. codd. praeter JG, *βορ. ἄντ. αὐτῆς* om. Tr. *ἄντικρυς αὐτοῦ* AC 3 *τοῦ Ἀρτ. τόπου* om. Tr., *ἐν τῶ τόπω τῶ τοῦ ἀρτοτυριανοῦ* G 4 *τοῦ Μακ. — αὐτῆς* om. Tr. 5 sq. *ἡ δὲ ἄλλη μετὰ θάνατον αὐτοῦ παρὰ βασιλίσκου τοῦ ἀδελφοῦ αὐτῆς, ἡνίκα αὐτὸν κτλ* G **26.** ABJG 8 Lemma suppl. ex Tr. 10 *ἵσταται* G Tr., *ἵστατο* Suid., *ἐστηλώθη* rell. codd. **27.** ABMG 11 Lemma habet solus M, *περὶ τῆς ἀρκαδίας εἰς ἀρκαδιανάς* Tr. 13 *Τόπων* suppl. ex Tr., cf. G: *εἰς Ἀρκαδιανὰς τοὺς τόπους ἐν τοῖς τοῦ ναοῦ τοῦ ἀρχιστρ. μέρεσιν* 14 *μέρεσιν — ἐστηλώθη* om. Tr. 15 *ἔνθα κτλ*] cf. III 26 *σέκρετον* aut *σεκρέτου* codd., correxi 18 *ἔστησαν* M, *ἔστησεν* AG **28—31.** ABCMJG

*πλησίον Πουλχερίας τῆς ἀοιδίμου ὡς πρὸς τὸν περίπατον τοῦ παλατίου ἀνηγέρθη στήλη αὐτῆς.*|| |*Ἐν αὐτῷ δὲ τῷ τόπῳ καὶ ὁ Ζήνων καὶ ἡ Ἀριάδνη ἵστανται καὶ ἕτεραι δύο στῆλαι πεζαὶ ἐπὶ κιόνων βραχέων, ἐλεγεῖα ἔχουσαι Σεκούνδου φιλοσόφου.*|| |*Ἀντικρὺ δὲ τῆς Χαλκῆς ἐπὶ ἀψίδος γοργονοειδεῖς κεφαλαὶ ἡμίσειαί εἰσιν δύο χρυσέμβαφοι γυναικοειδεῖς· ἥκασι δὲ ἀπὸ Ἐφέσου ἐκ τοῦ ναοῦ τῆς Ἀρτέμιδος στῆλαι ὀκτὼ καὶ αἵ μὲν τέσσαρες ἐν τοῖς τοῦ Ταύρου μέρεσιν ἐν τοῖς παλατίοις προσεπάγησαν Κωνσταντίνου καὶ Ἰουλιανοῦ καὶ τῆς γυναικὸς αὐτοῦ καὶ τῶν υἱῶν αὐτοῦ καὶ Γάλλου· τὰ δὲ τέσσαρα ἐν τῇ Χαλκῇ ἐν τῷ εὐωνύμῳ μέρει. Ἔνθα καὶ σταυρὸς ὑπὸ Ἰουστινιανοῦ πέπηγε καὶ στήλη χρυσέμβαφος* 527–565 *Βελισαρίου καὶ Τιβερίου* [*καὶ*] *τοῦ κυρτοειδοῦς Θρᾳκός,* 578–582 *καὶ Ἰουστῖνος ὁ πρῶτος λεπτοειδὴς καὶ τῶν συγγενῶν αὐτοῦ* 518–527 *στῆλαι ἑπτά, αἵ μὲν ἀπὸ μαρμάρων, αἵ δὲ χαλκαῖ.*|| *Οἵ δὲ δύο ἵπποι οἵ ἐπάνω τῶν γοργονοειδῶν ἱστάμενοι ἐν τῇ ἀψίδι καὶ οὗτοι ἐκ τοῦ τῆς Ἀρτέμιδος ναοῦ ἀπὸ Ἐφέσου ἥκασι παρὰ Ἰουστινιανοῦ τοῦ κτίσαντος τὴν ἁγίαν Σοφίαν καὶ ἐστήλωσεν αὐτὰ διὰ τὸ μὴ ἀντιζηλοῦν ἀλλήλοις τοὺς*

---

L. 2—5: Anon. Tr. 20, 17 ex Parast. 80. — L. 5—15: Anon. Tr. 15, 30 qui neglegenter excerpsit Parast. 44a (ad quem verba illius adscripsi), ita ut apud eum et Codinum plane alia legantur. Cf. etiam Anon. Tr. 20, 10 (ex Parast. 78)

---

2 *παλατίου*] *ἱπποδρομίου* J  3 *ἡ* om. J  *ἵσταντο* J  *καὶ ἕτεραι δύο* om. Tr.  4 *ἐπὶ κίονος βραχέος* codd. praeter JG, *ἐν κίοσι* (*βραχ.* om.) Tr.  5 *ἐπὶ* om. AC (*ἐν τῇ ἀψίδι* G)  6 *ἡμίσειαί εἰσιν δύο* om. C  *αἱ ἡμίσειαι* M  *χρυσέμβαφε* J  10 *καὶ τῶν υἱῶν κωνσταντίνου καὶ γάλλου τοῦ ἀδελφοῦ τοῦ ἰουλιανοῦ* G (*καὶ τοῦ ἀδελφοῦ* (*υἱοῦ* E) *αὐτοῦ γάλου* C)  12 *στήλη χρυσέμβ.* om. Tr.  13 *καὶ* seclusi cum. Tr.  14 *ἰουστινιανὸς* J, *ἰουστινιανοῦ* rell., corr. ex Tr.  19 *ἐστήλωσε αὐτὰ καὶ ἐστοιχείωσε* G  *ἀντιζηλοῦν ἀλίλοις τοῖς ἵπποις* J, *ἀντιζηλοῦν ἀλλήλους τοὺς ἵππους* E, *ἀντιζηλεῖν τοὺς ἵππους* (*ἀλλ.* om.) $A_2$, *ζηλεῖν ἀλλήλοις τοὺς ἵππους* $A_1$, correxi; (*ἵνα μὴ ζηλῶσιν ἀλλήλους οἱ ἵπποι· οὓς καὶ μεγάλως ἐτίμων οἱ φιλιππόται τοῦ ἱπποδρόμου* G)

ἵππους· ὁμοίως καὶ τὸν σταυρὸν διὰ τὸ ἑδραῖον· | καὶ Μαξιμιανοῦ στήλη ἐν αὐτῇ τῇ Χαλκῇ ἵσταται βαρυτάτη·
B 35 ἔνθα νῦν καὶ τὸ γένος ἅπαν τοῦ μεγάλου Θεοδοσίου || ὑπάρχει καὶ τοῦ Μαυρικίου καὶ τῆς γυναικὸς αὐτοῦ καὶ τῶν τέκνων.

**29** (22, κβ'). *Περὶ τοῦ Μιλίου.* | Ἐν τῇ καμάρᾳ τοῦ Μιλίου στῆλαι Κωνσταντίνου καὶ Ἑλένης εἰσίν· ἔνθα καὶ σταυρὸς ὁρᾶται πρὸς ἀνατολὰς βασταζόμενος ὑπ' αὐτῶν· μέσον δὲ τοῦ σταυροῦ ἡ Τύχη τῆς πόλεως, || κατήνιον κλειδωμένον καὶ ἐστοιχειωμένον, τοῦ ἅπαντος εἴδους ἀνελλιπῆ εἶναι καὶ νίκην πᾶσαν τῶν ἐθνῶν ἐπιφέρειν, τοῦ μηκέτι ἰσχύειν προσεγγίσαι ἢ προσψαῦσαι ἐντὸς ἢ ἐπιφοιτῆσαι, ἀλλὰ πόρρω ἀπέχειν καὶ ὑπονοστεῖν ὡς ἡττωμένους. Ἡ δὲ κλεὶς τοῦ κατηνίου κατεχώσθη εἰς τὰς βάσεις τῶν κιόνων.

**30** (22, κβ'). | Ἐν αὐτῷ δὲ τῷ Μιλίῳ στῆλαι ἵστανται
518-527 Σοφίας τῆς γυναικὸς Ἰουστίνου τοῦ Θρᾳκὸς καὶ Ἀραβίας τῆς θυγατρὸς αὐτῆς καὶ Ἑλένης ἀνεψιᾶς αὐτῆς. ||

**31** (81, ριδ'). *Περὶ τοῦ Πιττάκη.* Ὁ δὲ λε-

---

L. 1—5 Anon. Tr. p. 20, 8 ex Parast. 77 **29.** L. 6—9. Anon. Tr. p. 13, 14 (Suid. s. v. *Μίλιον*) ex Parast. 34 **30.** Anon. Tr. p. 13, 17 (Suid. s. v. *Μίλιον*) ex Parast. 35 **31.** Ad p. 167, 1 cf. Parast 67: *Ὁ Πιττάκης ὁ λεγόμενος Λέων ὁ μέγας ἐστίν.*

---

2 *μαξιμίνου* codd., corr. ex Tr. 8 *πρὸς ἀνατολὰς β. ὑπ' αὐτῶν* om. Tr., *κατὰ ἀνατολὰς ὁρῶν* G *βασταζ. ὑπ' αὐτῶν* AC, *βαστάζωντες αὐτόν* J, om. G 9 *κατίνιον κλιδομένων καὶ ἐστυχιομένον* J, *κατηνίω κλιδωμένη καὶ ἐστηχιωμένη* $A_1$ (*μέσον δὲ τοῦ σταυροῦ ἐστι κλεὶς ἠσφαλισμένη ἐσφαγισμένη καὶ ἐστοιχειωμένη* G) *ἐκλειδωμένον* C, *κλειδώμενον* $A_2$ 11 *πασῶν τῶν ἐθνῶν* J$A_1$, *πᾶσαν τῶν ἐθνῶν* $A_2$, *κατὰ πασῶν τῶν ἐθνικῶν πόλεων* C, *κατὰ πάντων τῶν ἐχθρῶν* G 12 *ἰσχύη* J, qui idem post *ἐπιφοιτ.* inserit *ἰσχύειν τινά* *ἐντὸς ἢ ἐπιφοιτῆσαι* J, om. AC (*προσεγγίζειν ἐντὸς τῆς πόλεως ἢ προσψαύειν ἢ ὅλως ἐπιφοιτᾶν* G) 13 *ἀπέχει* J, *ἀπέχειν* G, *ἀπέχεσθαι* AC 15 Post *Μιλίῳ* add. G *περὶ τὸ ἕτερον μέρος τῆς ἀψῖδος* *ἵσταντο* JC

γόμενος Πιττάκης στήλη ἐστὶν τοῦ μεγάλου Λέοντος 457-474
τοῦ Μακέλλη, ‖ ἣν ἀνήγειρεν Εὐφημία ἡ τούτου ἀδελφή, διότι οἶκος ἦν αὐτῆς ἐκεῖσε· καὶ ἑκάστῃ ἑβδομάδι εἰς αὐτὴν ἀπήρχετο ὁ βασιλεὺς Λέων διὰ τὸ εἶναι σώφρονα καὶ παρθένον· καὶ πάντες οἱ ἀδικούμενοι εἴτε πολῖται εἴτε θεματικοὶ ἀπὸ πάσης οἰκουμένης ἐκεῖσε εἰς τὰς βαθμίδας τοῦ κίονος ἐτίθουν τὰ πιττάκια αὐτῶν, φυλαττόντων αὐτὰ ἐκεῖσε τῶν ταξεωτῶν. καὶ ὅταν ἤρχετο ὁ B 36
βασιλεύς, ἐδίδουν ἅπαντα ταῦτα οἱ ταξεῶται τῷ βασιλεῖ, καὶ παρευθὺ ἐλάμβανον τὰς λύσεις αὐτῶν ἕκαστος ἐκεῖσε. Ὅταν δὲ ἦν ὁ βασιλεὺς ἐν παλατίῳ, καθ' ἑκάστην πρωΐαν ἔπεμπεν ἑβδομάριόν τινα· καὶ ἀνελαμβάνετο ἐκ τῶν ταξεωτῶν καὶ ἐκόμιζεν τὰ ῥιπτόμενα δεητικὰ πιττάκια. Καὶ ἐδίδου καθ' ἑκάστην ὁ βασιλεὺς τὰς λύσεις καὶ τὰς ἀποφάσεις τῶν πιττακίων τοῖς ἑβδομαρίοις ἢ κοιτωνίταις καὶ ἀπήγοντο πρὸς τὴν αὐλὴν τοῦ Πιττακίου καὶ ἐδίδουν τοῖς φυλάττουσιν στρατιώταις κἀκεῖνοι τοῖς δεομένοις. Διὸ καὶ οἱ μέλλοντες διοικεῖσθαι ταχέως ἑσπέρας ἐτίθουν τὰς δεήσεις καὶ τῇ ἐπαύριον ἐλάμβανον τὸ πέρας· ὅθεν ἐκλήθη ὁ τόπος Πιττάκια.

---

1 στήλη $A_1$, ἡ στήλη J 2 τούτου γνησία ἀδελφή AC 3 καὶ ἑκάστῃ κτλ] ἣν καὶ ἀγαπῶν ὁ βασιλεὺς διὰ τὸ εἶναι π. κ. σ. καθ' ἑβδομάδα ἤρχετο πρὸς αὐτήν G εἶναι αὐτὴν AC 5 πολιτικοὶ DE 6 καὶ ἀπὸ C 7 sq. φυλ. αὐτὰ ἐκεῖσε τῶν τάξ. A, φυλ. αὐτὰ τῶν ταξ. DF, φυλαττόντων αὐτὰ καὶ ὑποδικνυομένον παρὰ τῶν ἐκῆσε φυλαττώντων τὰ ξεωτῶν J, φυλαττόμενα παρὰ τῶν ἐκεῖσε ταχθέντων φυλάκων G 8 sq. ὁ βασ. πρὸς τὴν αὐταδέλφην αὐτοῦ G 11 ὅταν κτλ] εἶτα τετύπωκεν ὁ βασιλεὺς καὶ καθ' ἑκάστην πρωίαν ἤρχετο ἀπὸ τοῦ παλάτου ἑβδ. κτλ. G 12 ἑβδομαδάριον hic et infra C 13 καὶ ἐκόμιζεν om. AC δεητικὰ $A_2$, δεκτὰ $A_1$, δεητικὰ καὶ JC καὶ ἐδίδου κτλ] καὶ τὰς ἀποφάσεις ὁμοίως τῶν πιττακίων καθεκάστην αἰδίδου τοῖς εὐδομαρίοις ἢ κτλ. J 15 ἢ] τοῖς $A_1$, καὶ CG κοιτωνίταις αὐτοῦ A ἀπήγαγον AC 16 πιττάκη $A_2$ ἐδίδουν C, ἐδίδου JA 20 πιττάκιον E, πιττάκης M, πιττάκιος DF

408-450 **32.** | *Ἐν τῷ τριβουναλίῳ τοῦ παλατίου Εὐδοκίας τῆς*
450-457 *γυναικὸς Θεοδοσίου καὶ αὐτοῦ Θεοδοσίου Μαρκιανοῦ τε καὶ*
*Κωνσταντίνου στῆλαι ἕστησαν· ἔνθα καὶ ὀρχήσεις τῶν δύο*
610-641 *δημοτικῶν μερῶν ἐγένοντο ἕως Ἡρακλείου.* ||

**33** (72, *ογ′*). *Περὶ τοῦ Ζευξίππου.* | *Ὁ δὲ Ζεύξιππος τὸ λοετρὸν ὑπὸ Σευήρου κατεσκευάσθη* || *καὶ ἐστοιχειώθη μετὰ κανδήλας ὑελίνης ἅπτεσθαι, τὸ δὲ ὕδωρ ζέειν σφοδρῶς καὶ τὸν ἀέρα τοῦ λοετροῦ. Ἀλόγιστοι δέ τινες ἐλθόντες τοῦτο κατέστρεψαν.*

602-610 **34** (73, *οδ′*). | *Ἡ στήλη ἡ ἱσταμένη εἰς τὰ Ἀρμανέντου Φωκᾶ*
*τοῦ στρατιώτου ἐστίν· καὶ ἐν τῷ ἑβδόμῳ ἔτει τῆς βασιλείας*
*αὐτοῦ περὶ τὸ τέλος σπουδάζων ἀναγαγεῖν αὐτὴν ἐν τῷ*
B 37 *κτιστῷ κίονι μετὰ τὸ ἀναγαγεῖν αὐτὴν δεκαοκτὼ πε*
*ελθουσῶν ἡμερῶν κατηνέχθη τῆς βασιλείας. Τότε δὲ ἦν*
*καὶ ὁ Σικεὼν ὁ ὅσιος.* ||

**35** (24, *κδ′*). *Περὶ τοῦ Διιππίου, τοῦ ἁγίου*
602-610 *Ἰωάννου τοῦ θεολόγου. Ὁ αὐτὸς δὲ Φωκᾶς ἔκτισεν*
*τὸν ναὸν τοῦ ἁγίου Φωκᾶ ἐν τῷ Μιλίῳ μήπω ὀροφώσας*

---

**32.** Anon. Tr. p. 13, 23 (Suid. s. v. *στήλη*) ex Parast. 36 **33.** Anon. Tr. p. 19, 22 ex Parast. 73 **34.** Anon. Tr. p. 19, 31 ex Parast. 74 (p. 68, 4)

---

**32.** ABG 3 *ἕστησαν* $A_2$, *ἀνέστησαν* $A_1$, *ἵστανται* G *ὀρχήσεις καὶ εὐωχίαι* G 4 *ἐγένοντο* $A_2$, *ἐγίνετο* $A_1$ **33—37.** ABCMJG 5 *τὸ δὲ ξεύξιππων* J 6 post *κατεσκ.* addit B *ὡς εἴρηται* 7 *ὑαλίνης* $A_2$, *ὑλίνης* M *τὸ δὲ ὕδωρ — ἀέρα*] sic A, *καὶ τὸ ὕδωρ — ἀέρα* C, *καὶ θερμένεσθαι τὸ ὕδωρ· καὶ καίη σφοδρὸς· καὶ ὁ ἀὴρ* J, *καὶ θερμαίνειν τὸ ὕδωρ σφοδρῶς* G 9 *ἐλθόντες καὶ ὑπὸ δουλείαν καὶ πάκτος ἐμβαλόντες αὐτὸ εὐθέως κατέστρεψαν* E (*ὅπερ ὁ παραβάτης κατέλυσεν Ἰουλιανός, οἷα δὴ φθονήσας τοῖς χριστιανοῖς τοῦ τοιούτου θαυμασίου ἔργου καὶ ἀμίσθου ἀγαθοῦ* G) In fine addit C: *ὢ τῆς ζημίας* 10 *ἡσταρμαμέντου* J, *εἰς τὰ ἀρμαμέντου* G, *ἐν τῷ ἀρμαμέντω* AC 15 *σιμεὼν* Tr. 16 *διππίου* J 17 *ἔκτισεν ἐκ βάθρων* DF 18 *ἐν τῷ Μιλίῳ*] *τὸν ἐν τῷ διιππίω τὸν ἄνωθεν τῶν καγκέλλων τοῦ ἱπποδρομίου* G *ὀροφώσας αὐτὸν*] *ὃς ἐφονεύθη δικαίως παρὰ τοῦ μεγάλου ἡρακλείου ἐν τῇ σφενδόνι τοῦ ἱππικοῦ ἐκκαυθεὶς* addit E

αὐτόν. Ἐκεῖσε δὲ ἦν ἕως τότε ἡ ἀλλαγὴ τῶν κουντούρων· ⟨. . . . .⟩ καὶ † καθ' ὃν τόπον ἠντζοκόπησεν τὰ κούντουρα ἐκ τῶν ἐκεῖσε ἄρας· καὶ γὰρ ἀλλαγὴ χερσαία ἦν· καὶ ἐκ τῶν ἐκεῖσε ἤλλαξεν μέχρι τῆς Χρυσείας πύλης ⟨. . . . .⟩. Μετὰ δὲ τὸ ἀνελθεῖν καὶ βασιλεῦσαι ἔστησεν ἐκεῖσε δύο ἵππους κουντούρους ἀντζοκοπημένους ἐπὶ βωμοὺς λιθίνους τετραδικοὺς σύνεγγυς τοῦ ναοῦ τοῦ ἁγίου Φωκᾶ· ὃν αὐτὸς ἀνήγειρεν Διίππιον αὐτὸν ὀνομάσας τὸν τόπον. Ἐκεῖσε γὰρ καὶ δύο κίονας διὰ ψηφίδων χρυσῶν Κωνσταντίνου

---

**35.** L. 1—4 in DF (cod. E om. l. 1—170, 1) sic exstant: ἐκεῖσε γὰρ ἦν ἡ ἀλλαγὴ τῶν κοντούρων καὶ (om. F) καθ' ὃν τρόπον ἠντζοκόπησε τὰ κόντουρα, ὅτε καὶ μαγκλαβίοις ἐτύφθη παρὰ Μαυρικίου τοῦ 582-602
βασιλέως, τολμήσαντος τοῦ αὐτοῦ Φωκᾶ ἐν τῷ κόντῳ (ὑν F) αὐτοῦ προςδῆσαι τὸ πιττάκιον, ὅπερ ἀπὸ Λαγγοβαρδίας (Λογγυβαρδίαν D) ἐλθὼν ἔφερε, τοῦ στρατοῦ ἐκεῖθεν ἀποστείλαντος τοῦτον διὰ τὴν ῥόγαν αὐτῶν· καὶ ἐγκαλέσας ἐν ἡμέρᾳ ἱπποδρομίου (καὶ γὰρ στάσεως οὔσης τοῦ ἱπποδρόμου add. F) ὁ τοιοῦτος εὑρὼν ἄδειαν καὶ ἀναλαβόμενος τὰ κόντουρα ὑπεχώρησε· τὰ δὲ καταλειφθέντα ἀντζήσας κατῆλθεν ἕως Λογγυβαρδίαν ἔτι τὰς πληγὰς ἔχων· διὰ τοῦτο γὰρ καὶ προετιμήθη εἰς τὴν βασιλείαν παρὰ τοῦ στρατοῦ. Μετὰ οὖν τὸ ἀνελθεῖν κτλ. G habet: ἐν τῷ τοιούτῳ τόπῳ ἀλλαγὴ κοντούρων τῷ τότε ἐτύγχανεν. ἐπεὶ δὲ οὗτος ὁ Φωκᾶς παρὰ Μαυρικίου ὀργισθεὶς ἠπειλεῖτο τὸ φονευθῆναι, λάθρα ἐν νυκτὶ μετὰ τῶν αὐτοῦ φίλων ἀποδιδράσκων καταλαβὼν τὸν τοιοῦτον τῆς πρώτης ἀλλαγῆς τόπον ἦρε μὲν τῶν κοντούρων ὅσα ἤθελε, τὰ δ' ἄλλα πάντα ἠντζοκόπησε ὥστε μὴ ἐξ ἑτοίμου διωχθῆναι· οὗ τὸ ἴσον ἔπραξε καὶ ἐν τῇ β' ἀλλαγῇ τῆς Χρυσείας καὶ καθεξῆς ἐν ταῖς λοιπαῖς καὶ οὕτω τὸν κίνδυνον ἀποδράσας μετὰ τὸ ἀνελθεῖν κτλ.

---

1 et 2 κουντούρων et κούντουρα A, κουνδ. J, (sed l. 6 κουντ.) κόντ. C Lacunam hic et l. 6 indicavi; quae perierint videmus ex G
2 τρόπον codd. praeter GB; an καταλαβὼν τὸν αὐτὸν τόπον?
3 ἄρας—5 ἐκεῖσε] sic M (nisi quod l. 5 δὲ om.); om. J (homoiotel.); pro his ὅτι ἐχρημάτισε πρότερον ἀλλαγὴ χερσαία ἐν τῷ ἐκείνῳ (ἤλλαξεν κτλ.) $A_1$, ὅτι ἐχρημάτιζε πρότερον ἀλλαγὴ χερσαῖα καὶ ἐκ τῶν ἐκεῖσε $A_2$ 5 δὲ om. codd. praeter B 6 ἠντζοκοπημένους DF καὶ βωμοὺς codd. praeter J (nisi quod ἐπὶ βωμοῖς λιθίνοις G) 8 διίππιον $A_1$, δίππιον C, δίπην J 9 δύο κίονας $A_1$, δ' κίονας DF, εἰκόνας δ' $A_2$, εἰκόνα J, εἰκόνας G κωνσταντῖνος καὶ ἑλένη ἱστόρησαν M

610-641 *καὶ Ἑλένης ἱστόρησεν. Ὁ δὲ Ἡράκλειος ἐλθὼν καὶ κρατήσας ἐτίμησεν τὸν ναὸν σκεπάσας αὐτὸν καὶ μετονομάσας εἰς τὸ ὄνομα τοῦ ἁγίου Ἰωάννου τοῦ θεολόγου.*

**36** (27, *κϛ´*). *Τὰ δὲ Λαύσου οἶκος ἦν Λαύσου πατρι-*
395-408 *κίου καὶ πραιποσίτου, ὅστις ἀρχὰς πολλὰς καὶ δόξας δι-*
B 38 *ήνυσεν ἐν τοῖς χρόνοις Ἀρκαδίου υἱοῦ τοῦ μεγάλου Θεοδοσίου. Ἐκόσμησεν δὲ αὐτὸν διὰ ποικίλων καὶ πολυτελῶν μικρῶν κιόνων καὶ μαρμάρων. Οὗτος δὲ ὁ οἶκος ἐκ τῶν δώδεκα τοῦ μεγάλου Κωνσταντίνου ὑπῆρχεν· ἐν ᾧ καὶ ἀετοὶ λίθινοι καὶ φιάλαι καὶ βαθμοὶ καὶ βωμοὶ τετράγωνοι ἐκχέοντες ὕδωρ εἰς διακόσμησιν τῆς πόλεως· ἵστανται δὲ μέχρι τῆς σήμερον.*

**37** (27, *κϛ´*). | *Πλησίον δὲ τοῦ Μιλίου τῆς ἀψίδος στήλη ἔφιππος Τραιανοῦ ἐστιν καὶ πλησίον αὐτοῦ στήλη*
408-450 *ἔφιππος Θεοδοσίου τοῦ μικροῦ.*
395-408 **38** (126, *ρνη´*). | *Ἀρκαδίου δὲ καὶ Θεοδοσίου τοῦ υἱοῦ*
408-450 *αὐτοῦ καὶ Ἀδριανοῦ πλησίον τῆς στήλης Θεοδοσίου τοῦ*

---

L. 1 sq. *Ὁ δὲ Ηρακλ. κτλ.*] *ἀνήγειρε τοῦτον καὶ ἀνεπλήρωσεν*
920-944 *Ῥωμανὸς ὁ Λακαπηνὸς καὶ ναὸν εἶναι τοῦ ἁγίου Ἰωάννου τοῦ θεολόγου προςέταξεν· καὶ ἐν τούτῳ τῷ ὀνόματι εἰς ἀεὶ τιμᾶσθαι ἐθέσπισεν· καθὰ δὴ καὶ μέχρι σήμερον τοῦ ἁγίου Ἰωάννου τοῦ θεολόγου ἐπικέκληται* E | L. 9 sq.: *ἐν ᾧ καὶ πρὸς τὴν λεωφόρον θαυμάσιά τινα καὶ ἡδονῆς πολλῆς γέμοντα ἔργα ἐτύγχανον· ἦσαν γὰρ βαθμοὶ μαρμάρινοι καὶ βωμοὶ τετράγωνοι καὶ φιάλαι ἐκχέουσαι ὕδωρ ἐκ ζωδίων χαλκῶν καὶ κισσοφύλλων μαρμαρίνων ἀένναον* G

---

**38.** Anon. Tr. p. 13, 20 (Suid. s. v. *Μίλιον*) ex Parast. 35a

---

1 *κρατήσας*] *καὶ τὸν φωκᾶν τιμωρήσας καὶ καύσας ἐν τῇ τοῦ βοὸς ἀγορᾷ* addunt DF 2 *καὶ μετονομάσας* om. J 4 *ἦν λαυσουσιάνοῦ* J, *ἦν λαύσου* rell. 7 *αὐτὸν ἔξωθεν διὰ κτλ* G 8 *μαρμάρων ὀρθῶν χροιακῶν* G 9 *τοῦ μεγ. Κωνστ.* AC, *τῶν μεγάλων* J 11 *ἐκχέοντες ὕδωρ* om. codd., praeter JG *ἵστανται* $A_1$M, *ἵσταντο* J$A_2$B, *ἱστάμεναι* C *δὲ* om. $A_2$C 13 Rubricam *περὶ τοῦ μιλίου* praemittit J, *περὶ τῶν β´ ἐφίππων μεγάλων στηλῶν τῶν ἀντικρὺ τοῦ αὐγουστεῶνος ἐν τῷ μιλίῳ* G, qui pergit *ἡ ὑποκάτωθεν τῆς ἀψίδος τοῦ μιλίου ἔφιππος μεγάλη στήλη κτλ.*
14 *τραιανοῦ* in *γρατιανοῦ* mutatum E 15 *τοῦ μικροῦ* — 16 *θεοδοσίου* om. J (homoiot.) **38—39.** ABCMJ

*μεγάλου ἀμφότεροι ἔφιπποι ἵστανται* ‖ *ἐν τοῖς Ταύρου μέρεσιν πλησίον τοῦ κίονος κάτωθεν.*

**39** (126, *ρνη'*). | *Ἡ δὲ ἐν τῷ Ζευξίππῳ λουτρῷ ἱσταμένη στήλη ἐκ χρωμάτων τοῦ Φιλιππικοῦ ἐστιν τοῦ πραοτάτου.* 711-713 ‖

**40.** *Περὶ τῆς βασιλικῆς κινστέρνης.* | *Ἡ δὲ λεγομένη βασιλικὴ κινστέρνα ἐκτίσθη ὑπὸ τοῦ μεγάλου Κωνσταντίνου. Ἡ δὲ καθεζομένη ἐπὶ δίφρου ἐκεῖσε μεγάλη στήλη ἐστὶν* ‖ *τοῦ Σολομῶντος, ἣν ἀνέστησεν ὁ μέγας Ἰουστινιανὸς κρατοῦντα τὴν σιαγόνα αὐτοῦ καὶ ὁρῶντα τὴν* 527-565 *ἁγίαν Σοφίαν ὅτι ἐνικήθη εἰς μῆκος καὶ κάλλος ὑπὲρ τὸν* B 39 *παρ' αὐτοῦ κτισθέντα ναὸν ἐν Ἰερουσαλήμ. Ἐκεῖσε δὲ ἵσταται στήλη τοῦ μεγάλου Θεοδοσίου ἐπὶ δύο κιόνων τετραδικῶν χρυσεμβάφων ὄπισθεν τῆς Βασιλικῆς πλησίον τοῦ Μιλίου.*

**41** (92, *ρκδ'*). | *Θέαμα α'. Τὸ δὲ ἐν αὐτῇ τῇ Βασιλικῇ χρυσορόφῳ ὀπίσω τοῦ Μιλίου ἦν ἀνδροείκελον ἄγαλμα χρυσέμβαφον· ἔνθα ἦν τὸ ἔξαμον Ἡρακλείου τοῦ βασιλέως·* 610-641 *καὶ γυνυκλινὲς Ἰουστινιανοῦ τοῦ τυράννου. Ἐν ᾗ ὁ Τερ-* 685-711

---

**39.** Anon. Tr. p. 20, 20 ex Parast. 82 **40.** L. 6—9 Anon. Tr. p. 19, 27 ex Parast 74; quorum uterque statuam sedentis non Solomonis, sed Theodosii Magni esse dicit. **41.** Anon. Tr. p. 13, 27 (Suid. s. v. *Βασιλική*) ex Parast. 37

---

1 *ἵστανται* AC, *ἵσταντο* J **40.** ABJG 8 Post *Κωνστ.* addit G: *ἐκλήθη δὲ βασιλικὴ διὰ τὸ καὶ ἄλλας παρὰ ἀρχόντων κτισθῆναι* 9 *σολομῶνος* $A_2$ 10 *κρατῶντα* J, *κρατοῦντος* (et *ὁρῶντος*) $A_2$, *κρατοῦντα* $A_1$ 11 *ὑπὲρ — Ἰερουσ.* A, *παρὰ τὸ ἐν αὐτῷ κτισθέντι ναῷ· παρὸ ἔκτισαν τὴν ἱερουσαλὴμ.* J 13 *ἵστανται στῆλαι ἐκ τοῦ μεγ.* $A_1$, *ἵστατο στήλη καὶ τοῦ μεγ.* $A_2$ 14 Post *χρυσεμβάφων* inserit J *θαίαμα πρότων* (v. l. 16), ut ab *ὄπιστεν* (sic) incipiat caput insequens **41.** ABCMJG 17 *χρυσόροφον* codd., corr. ex Tr. (*Εἰς δὲ τὸν ἐν τῇ βασιλικῇ χρυσόροφον κτλ.* F, *Τὸ δὲ ἀνδρείκ. ἄγ. τὸ ἐν τῷ μιλίῳ ἱστάμενον πρὸς τὸ μέρος τῆς βασιλικῆς τὸ χρυσέμβαφον ἀπαράλλακτον ἔξαμον ἦν ἡρακλείου* G)

*βέλις ἐδημηγόρησεν· ἐν οἷς ἐλέφας ἵστατο παμμεγέθης ὑπὸ Σευήρου κατεσκευασμένος· ὅρος δὲ ἦν πρὸ τοῦ μέρους τῶν ἀναβαθμῶν· ἔνθα καὶ σχολὴ φυλαττόντων πολλή· ἔμενε δὲ ἐκεῖσε ἀργυροκόπος ἐν πλαστοῖς ζυγοῖς τὴν πρᾶσιν ποιούμενος· καὶ τοῦ οἰκήματος αὐτοῦ πορθουμένου, ἠπείλει τῷ τὸν ἐλέφαντα φυλάττοντι θάνατον, εἰ μὴ τοῦτον κρατήσει. Ὁ δὲ θηροκόμος οὐκ ἐνεδίδου· ὃν φονεύσας ὁ ζυγοπλάστης δέδωκε βορὰν τῷ ἐλέφαντι· τὸ δὲ θηρίον ἀτίθασον ὃν καὶ αὐτὸν ἀνεῖλεν. Καὶ ὁ Σευῆρος ἀκούσας τῷ θηρίῳ θυσίας ἤνεγκεν. Ἐν αὐτῷ δὲ τῷ τόπῳ παρευθὺ καὶ ἀνετυπώθησαν τό τε θηρίον καὶ ὁ θηροκόμος. Ἔνθα καὶ Ἡρακλῆς ἐλατρεύθη πολλὰς θυσίας δεξάμενος· ὃς ἐν τῷ Ἱπποδρομίῳ μετετέθη Ἐπὶ δὲ Ἰουλιανοῦ ὑπατικοῦ ἀπὸ Ῥώμης ἦλθεν ἐπὶ τὸ Βυζάντιον καὶ εἰσήχθη ἐν ἀπήνῃ καὶ νηῒ μετὰ στηλῶν ι΄.* ||

B 40 **42** (32, *λβ΄*). | *Θέαμα β΄. Ὅτι ἅρμα Ἡλίου ἐν τέτρασιν ἵπποις πυρίνοις ἱστάμενον παρὰ δύο στηλῶν ἐκ παλαιῶν τῶν χρόνων ὑπῆρχεν ἐν τῷ ὠρέῳ Μιλίῳ. Ἔνθα εὐφημίσθη ὁ μέγας Κωνσταντῖνος μετὰ τὸ νικῆσαι Ἀζώτιον· ἐπειδὴ καὶ Βύζας ἐκεῖσε εὐφημίσθη. Κατενεχθὲν δὲ τὸ*

---

**42.** Anon. Tr. p. **14, 14** (Suid. s. v. *Μίλιον*) ex Parast. 38

---

1 *παμμεγέθης χαλκοῦς* G 2 *ὅρου* J, *ὄρους* A, *ὅρος* CG Tr., corr. Lamb. *πρώτου μέρους* Lamb. 3 *φυλαττόντων πολλῶν* J, *τῶν φυλασσόντων πολλή* G, *ἐφυλάττετο πολλή* rell., *φυλαττόντων ὑπῆρχεν* Tr.; *φυλ. τὴν πόλιν* Band., rest. ex Parast. 4 *ἐν πλαστοῖς* G, *ἐν πλατίοις* J, *ἐναντίοις* rell. 8 *γέγονε βορά* codd. praeter G, qui habet *δέδωκεν εἰς βοράν*, corr. ex Tr. *ἀντίθασον* J 9 *τὸ θηρίον θύσας ἤνεγκεν* J 10 *ἀνετυπώθ.*] *ἐκχαλκοῦ ἀνεστήλωσεν* G 12 sq. *Ὁ δὲ μέγας Κωνσταντῖνος μετέθηκεν αὐτὸν ἐν τῷ Ἱπποδρ.* G 15 *καὶ στῆλαι ι΄* Tr. *ιβ΄* G (cf. Parast.) **42.** ABCMG 16 *Θέαμα β̄ πλησίον τοῦ μιλίου* $A_2$ 17 *ἱστάμενον* G, *ἱπταμένοις* $A_2$B, *ἱπτομένοις* $A_1$, *ἁπτομένοις* CM 18 *τῶν χρόνων* om. codd. praeter G. 19 *Ἀζώτιον*] *τὸν ἀρχηγὸν Βύζαντος* addit G

*ἅρμα ἐν τῷ Ἱπποδρομίῳ δορυφορούμενον στηλίδιον καινὸν παρὰ Κωνσταντίνου κατασκευασθὲν ὑπὸ Ἡλίου φερόμενον, Τύχη πόλεως, εἰς τὸ στάμα εἰσήει καὶ στεφανωθὲν ἐξήει. Ἐτίθετο δὲ ἐν τῷ Σενάτῳ ἕως τῶν ἐπιόντων γενεθλίων τῆς πόλεως. Διότι δὲ ἐπὶ κεφαλῆς σταυρὸν εἶχεν, ὃν ἐχάραξε Κωνσταντῖνος, Ἰουλιανὸς αὐτὸ βοθύνῳ κατέχωσεν.* ||

**43** (32, λβ'). | *Περὶ Ἀρείου. Ἔνθα Ἄρειος τὸν ἔχθιστον ὑπέστη θάνατον, ἀπὸ τῆς καμάρας τοῦ Φόρου τοῦ Σενάτου ὡσεὶ κθ' παλαιστάς, ἐτυπώθη ὑπὸ τοῦ θεοφιλοῦς Θεοδοσίου Ἄρειος ἐν μαρμάρῳ ἀναγλύφῳ γειτνιῶντι τῇ γῇ καὶ σὺν τῇ τοῦ Ἀρείου Μακεδονίου, Σαβελλίου καὶ Εὐνομίου πρὸς αἰσχύνην αὐτῶν, ὡς ἂν οἱ παρερχόμενοι κόπρον καὶ οὖρα καὶ ἐμπτύσματα ἐπιρρίπτωσιν αὐτοῖς.* ||

**44** (33, λγ'). | *Περὶ τοῦ Σενάτου. Ὅτι τὸ σενάτον ὡς οἶμαι λέγει, ὅτι ἐξ ἀρχῆς τοὺς κωδικέλλους οἱ πατρίκιοι ἐκεῖσε ἐλάμβανον ἕως Κωνσταντίνου· πρῶτος δὲ Καλλίστρατος τὴν ἀξίαν τοῦ ὑπάτου ἐκεῖσε ἐδέξατο τοῦ δήμου κράξαντος· ‛Καλλίστρατος εὐτυχὴς καὶ εἰς ἄλλο προκόψει.'* B 41 *Ὁ δὲ φοβηθεὶς προσέφυγε τῇ ἐκκλησίᾳ. Κωνσταντῖνος δὲ ἐξωμόσατο μὴ ἀδικῆσαι αὐτόν. Ὁ δὲ μὴ ἀνασχόμενος ἐχειροτονήθη πρεσβύτερος, εἶτα ἐπίσκοπος· ὅθεν τὰ πολλά μοι ἐκφέρεται διηγήματα.* ||

**43.** Anon. Tr. p. 14, 25, qui misere excerpsit Parast. 39 Hanc paragraphum ex Codino transcripsit cod. Mosqu. Georgii Monachi p. 415 Mur. not. **44.** Anon. Tr. p. 17, 7 ex Parast. 59

2 *σκευασθὲν* $A_2$, *κατεσκευάσθη* C, (*κατασκευάσας* G), *παρασκευασθὲν* $A_1$. corr. ex Tr. 3 *εἰς τὸ στάμα εἰσήει*] *εἰς τὸ τάγμα ἔστη* A, om. C; rest. ex Tr. (cf. G *ὃ καὶ ἀνῆλθε μέχρι τοῦ στάματος*) 4 *σινάτῳ* G *ἕως — γεν.*] *ἑορτῶν ἐπιόντων* (*ἐπιουσῶν* BCG, *καὶ γενεσίων* (*γενεθλίων* G) codd., corr. ex Tr. 6 G verba capitis insequentis *ἔνθα — θάνατον* cum hoc capitulo iungit **43—61.** ABCMJG 8 sq. *τοῦ Σενάτου τοῦ Φόρου* Lamb. 14 *σενάτον*, sed mox *σινᾶτον* Tr. *Ὅτι τὸ σενάτον ὡς οἶμαι λέγουσιν εἶναι τῶν κωδικέλλων φυλακτήριον· ἐκεῖσε γὰρ κτλ.* C 21 *ὅθεν*] *ὅτε* J, *ὅταν* A, corr. ex Tr. (*ὅθεν — διηγήμ.* om. BCG)

**45** (34, λδ'). *Περὶ τοῦ πορφυροῦ κίονος.* *Ὑποκάτω δὲ τοῦ κίονος τοῦ Φόρου ἐτέθη καὶ τὸ Παλλάδιον στοιχεῖον καὶ ἕτερα πολλὰ σημειοφορικά. Ὁ δὲ κύκλος τοῦ Φόρου ἐστὶν τὸ ἴσον τῆς ποδέας τῆς κόρτης τοῦ μεγάλου Κωνσταντίνου, ἐν ᾧ αὐτὴν ἐκεῖσε ἔπηξεν, ὅτε ἀνῆλθεν ἀπὸ Ῥώμης. Οἱ δὲ σιγματοειδεῖς δύο ἔμβολοι ἐτύγχανον τότε σταῦλοι γύροθεν τῆς κόρτης. Καὶ ὁ περίβλεπτος οὗτος κίων καὶ ἡ στήλη τοῦ Ἀπόλλωνος, δίκην Ἡλίου ἔστησεν αὐτὴν ὁ μέγας Κωνσταντῖνος εἰς τὸ ὄνομα αὐτοῦ, θήσας ἐν τῇ κεφαλῇ ἥλους ἐκ τῶν τοῦ Χριστοῦ δίκην ἀκτίνων, ὡς Ἥλιος τοῖς πολίταις ἐκλάμπων.*

**46** (42, μγ'). *Περὶ τῶν Ἀρτοπωλείων.* | *Ἐν δὲ τοῖς Ἀρτοπωλείοις κυνάριόν ἐστιν οὔθατα μέχρι τῶν εἴκοσι περιφέρον· καὶ ταῶνες καὶ ἀετοὶ καὶ λέαιναι λαγωοί τε καὶ κριῶν κάραι καὶ στρουθῶν καὶ κορωνῶν καὶ τρυγόνος μιᾶς καὶ γαλῆς καὶ δαμάλεως καὶ Γοργόναι δύο, μία μὲν ἐκ δεξιῶν καὶ ἑτέρα ἐξ εὐωνύμων, ἡ μία τῇ ἑτέρᾳ κατ' ὄψιν βλεπόμεναι, ἀπὸ μαρμάρων ἐγγεγλυμμέναι [καὶ χοίρων*

---

**46.** Anon. Tr. p. 15, 1 ex Parast. 40, ubi illius textum adscripsi

---

1 *περὶ τοῦ κίονος τοῦ φόρου* $A_2$, om. $A_1$ 2 *τοῦ κίονος* ACG, om. J 4 *τῆς πεδιᾶς* $A_1$ 5 *ἐν ὧ ἐκεῖσε αὐτὰ ἔπηξε* $A_1$, *ἐν ὧ ἐκεῖσε αὐτὸς ἔπηξε* $A_2$B, *ἣν αὐτὸς ἔπηξε* C, *ἐν ὧ αὐτὴν ἔπηξε* G 8 *καὶ — Ἀπόλλωνος*] *οὗ ἄνωθεν καὶ τὴν κεφαλὴν αὐτοῦ ἔστησε* G *δίκην — Κωνσταντῖνος* JM, *ἔστι τοῦ μεγ. Κωνσταντίνου, ἣν ἔστησεν οὗτος δίκην ἡλίου* C 9 *θίσας* J, *θείς* A, *τιθείς* C 10 *τῶν* om. J 11 *ἥλιος — ἐκλάμπων* AC, *ἥλιον — ἐκλάμποντα* J 13 sq. *κυνάριον — περιφέρον*] locus in codd. valde corruptus; proximus ab auctore abest G, qui insuper pauca addit: *κυνάριον χαλκοῦν ἐστήλωται ἄνωθεν τῆς ἀψίδος, οὔθατα (ἃ εἰσὶ μαστοὶ) μέχρι τῶν κ' περιφέρον* (*κυνάρια ἔστισαν εἴκοσι γύρωθεν δὲ τῶν εἴκωσι κυναρίων* J, *κυνάρια ἔστησεν κ' περιφερῆ τὰ κ'* (sic) M$A_1$ et similiter ceteri.) 16 *μιᾶς*] *μυὸς* Lamb. 18 *ἀπὸ* C, *ὑπὸ* rell. 18 *καὶ χοίρων πλ. ἀγ.* J et similiter rell.; seclusi, cf. p. 175 12

*πλῆθος ἀγέλαι]· ἵσταντο δὲ μέχρι Ζήνωνος. Γαληνὸς δέ* 474-491
*τις, ἰατρὸς καὶ φιλόσοφος ὑπάρχων, ἐκεῖσε περαιωθεὶς τὰς*
*Γοργόνας ἔλεγεν ἱερογλυφικὰ καὶ ἀστρονομικά ὄντα τῶν* B 42
*μελλόντων δηλούσας τὰς ἱστορίας πάσας σὺν τῶν ὀνομάτων, Κωνσταντίνου τοῦ μεγάλου τυπώσαντος ταῦτα. Τοῦ δὲ αὐτοῦ Γαληνοῦ ἐπὶ πλεῖστον συχνάσαντος καὶ τοῖς ἀναγνώσμασιν προσέχοντος τὰ μέλλοντα συμβαίνειν Ζήνωνι παρὰ Βηρίνης καὶ γελάσαντος, Καλλίστρατός τις συρφετὸς τῷ γένει, κάπηλος τῇ τέχνῃ, μετὰ τὴν ἐπάνοδον Ζήνωνος διαβάλλει τὸν Γαληνόν· ὁ δὲ Ζήνων τοῦτον ἀνῃρήκει.* ||

**46a** (42, *μγ'*). *Λέγουσιν δὲ καὶ τοῦτο καί ἐστιν ἀληθές, ὅτι αἱ ἀγέλαι τῶν χοίρων ἐκεῖσε διερχόμεναι εἰς τὸν Ἀρτοτυριανὸν τόπον μέσον τῆς καμάρας, ὅθεν ἀνέρχονται, ἵστανται ἐνεοὶ καὶ οὐ δύνανται διέρχεσθαι, ἕως ὅτου οἱ χοιροδέται οἱ τούτους ἐλαύνοντες τύψωσιν τὴν ἀγέλην σφοδρῶς· μέχρι ὅτου αἷμα ἐκχυθῇ ἀπὸ τῶν ῥινῶν αὐτῶν εἰς θυσίαν τοῦ τόπου ἐκείνου, οὐ μεθίστανται ἐκ τῶν ἐκεῖσε· ἡνίκα δὲ χυθῇ αἷμα ὀλίγον, ἀθρόως ὁρμᾷ καὶ κινεῖ ἡ ἀγέλη τῶν χοίρων. Καὶ οὕτως ἐστὶν ἀληθές.*

**47** (48, *μθ'*). | *Περὶ τοῦ Ταύρου. Ὅτι ἐν τῷ Ταύρῳ*
*στήλη τοῦ μεγάλου Θεοδοσίου ἵσταται· ἦν δὲ πρώην ἀργυρᾶ·* 379-395

---

**47.** L. 20 — p. 176, 2 Anon. Tr. p. 19, 1 ex Parast. 66

---

3 *ὄντα* om. A C 3 sq. *τῶν μελλ. — ὀνομάτων* om. Tr. 4 *δηλούσας* AC, om. J (*ἰδὼν καὶ τὰ τοιαῦτα καὶ τὰς γοργόνας εἶπεν ἱερογλυφικὰ καὶ ἀστρονομικὰ εἶναι ταῦτα δηλοῦντα πάσας τὰς ἱστορίας σὺν τοῖς αὐτῶν ὀνόμασι* G) 4 *σὺν τῶν ὀνομάτων* J $A_1$, *σὺν τῷ ὀνόματι* $A_2$, *σὺν τοῖς ὀνόμασιν* C 5 *τυπώσαντος* Tr., *τοῦ τοιπόσαντος* J, *τυπωσαμένου* A C 8 *Καλλίστρατος δέ τις συρφ.* A, *Κ. δὲ συρφ.* J, *δὲ* om. C 11 *καὶ τοῦτο* om. A (*ὅπερ λέγουσιν εἶναι ἀληθές* in fine cap. antecedentis ponit C) 13 *ἀνέρχεται* $A_2$ C 14 *ἐνεοὶ* A, *ἐννεοὶ* J F *παρέρχεσθαι* $A_1$ C 15 *οἱ τούτους* A C, *τούτους* J 16 *ἐκχυθὲν ἐκ* $A_1$, *χυθὲν ἐκ* $A_2$ 17 *μεθίσταντι* A C, *μεθίστατε* J 18 *καὶ κινεῖ* om. codd. praeter J 19 *οὕτως*] *τοῦτο* A

*ἔνθα τοὺς ἀπὸ τῶν ἐθνῶν ἥκοντας ἐδέχετο· ἐκεῖσε δὲ πρώην παλάτια ὑπῆρχον ‖ καὶ ξενοδοχεῖον τῶν Ῥωμαίων, δηλονότι εἰς τὸ καλούμενον Ἀλωνίτζιν. Ἐπάνω δὲ τοῦ μεγάλου κίονος ἐστήλωται Θεοδόσιος· οἱ δὲ υἱοὶ αὐτοῦ, ὁ μὲν Ὀνώριος ἐπάνω τῆς λιθίνης ἀψίδος τῆς πρὸς δυσμάς,* B 43 *ὁ δὲ Ἀρκάδιος ἐν τῇ πρὸς ἀνατολὰς λιθίνῃ ἀψίδι ὕπερθεν τῶν περιβλέπτων μεγάλων κιόνων τῶν τετραδησίων. Μέσον δὲ τῆς αὐλῆς ἐστιν ἔφιππος μεγαλιαῖος, ὃν οἱ μὲν λέγουσιν Ἰησοῦν τὸν υἱὸν τοῦ Ναυῆ, ἕτεροι δὲ τὸν Βελλεροφόντην· ἤχθη δὲ ἀπὸ τῆς μεγάλης Ἀντιοχείας. Τὸ δὲ τετράπλευρον τοῦ ἐφίππου τὸ λιθόξεστον ἔχει ἐγγεγλυμμένας ἱστορίας τῶν ἐσχάτων τῆς πόλεως, τῶν Ῥῶς τῶν μελλόντων πορθεῖν αὐτὴν τὴν πόλιν. Καὶ τὸ † ἐμπόδιον, ὅπερ ἀνθρωποειδὲς χαλκούργημα βραχὺ παντελῶς καὶ δεδεμένον γονυκλινὲς ἔχει ὁ ποὺς ὁ εὐώνυμος τοῦ ἵππου τοῦ μεγαλιαίου, καὶ αὐτὸ σημαίνει, τί ἐστιν ἐκεῖσε γεγραμμένον. Ὁμοίως καὶ ὁ κοῦφος κίων ὁ μεγαλιαῖος ὁ ἐκεῖσε καὶ ὁ Ξηρόλοφος τὰς ἐσχάτας*

---

1 *ἔνθα πρώην παλάτιον ὑπῆρχε καὶ ξενοδοχεῖον τῶν Ῥωμαίων καὶ τοὺς ἀπὸ τῶν ἐθνῶν ἐδέχετο ἐκεῖσε δηλονότι κτλ.* Lamb.; quae refutat Tr. 2 *ξενοδοχεῖα* $A_1$G *τῶν Ῥωμαίων* om. G 3 *εἰς τὸ καλ. Ἀλ.*] *πρὸς τὸ μέρος, ὃ καλεῖται ἀλωνίτζιν* G 3 sq. *τοῦ ἐνζώδου κοχλωτοῦ μεγάλου κίονος* G 6 *ὕπερθεν* J, *ὕπερθεν δὲ* AC (*βασταζόμενοι ὑπὸ τῶν μεγάλων κιόνων τῶν τετραδ.* G) 8 *τῆς αὐτῆς αὐλῆς* $A_2$ *μεγαλιεῖος* om. AC (*στήλη μεγάλη* G) 9 *Ἰησοῦν* AC, om. J; de hac statua Nic. Chon. p. 848 et. 857 Bonn. 10 *δὲ* post *ἤχθη* om. J 11 *λιθόξεστον* A, *λιθόξευτον* JC, om. G *ἐγγεγραμμένας* codd. praeter JG 12 *ῥῶς* $A_1$C, *ρῶν* J, *ῥωσῶν* $A_2$, *ῥώσων* G *ἱστορίας τῶν ἐσχάτως μελλόντων ῥῶς πορθεῖν τὴν αὐτὴν πόλιν* C 13 *ἐμπόδιον* AC, *ἔμπαιδον* JG; *ἐμπρόσθιον* Heyne, an *ἐν ποδὶ ὄν*? *ὅπερ ἔχει ἄνθρ. . . . παντελῶς καὶ ὅπερ ἔχει ὁ ποὺς κτλ.* G Totum enuntiatum sic restituere conatur Lamb.: *Ὁ ποὺς εὐώνυμος ὁ ἐμπρόσθιος τοῦ ἵππου, ὃς τὸ ἀνθρωποειδὲς χαλκούργημα βραχὺ παντελῶς καὶ δεδεμένον γονυκλινὲς ἔχει, καὶ αὐτὸς σημαίνει, ὅ,τι ἐκεῖσε ἐγγεγραμμένον* 14 *παντελ<sup>ο</sup> δεμένον* J, *παντ. καὶ δεδεμ.* AC, *καὶ δεδ. γονυκλ.* om. G 15 *μεγάλου* codd. praeter J (om. G) *αὐτοῦ* $A_1$F 16 *ἐγγεγραμμένον* AC

*ἱστορίας τῆς πόλεως καὶ τὰς ἁλώσεις ἔχουσιν ἐνίστορας ἐγγεγλυμμένας.*

**48** (51, *νβ'*). | *Περὶ τοῦ Φιλαδελφίου. Ὅτι τὸ καλούμενον Φιλαδέλφιον υἱοί εἰσιν τοῦ μεγάλου Κωνσταντίνου. Ὁπόταν δὲ ὁ μέγας Κωνσταντῖνος ἐτελεύτησεν, τοῦ Κωνσταντίου ὄντος ἐν τοῖς ἀνατολικοῖς μέρεσιν, Κώνσταντος δὲ ἀπὸ δύσεως καὶ τῶν Γαλλιῶν ἐρχομένου, συνήφθησαν ἐκεῖσε καὶ ἀσπάζονται ἀλλήλους· οὐχ ὅτι ἐκεῖ συνήφθησαν, ἀλλὰ τῆς ὑπαντῆς αὐτῶν ἐκεῖσε ἀναστηλωθείσης.* || | *Ὡς δὲ ἕτεροί φασιν, ὅτι νῦν τὸ καλούμενον Φιλαδέλφιον, ἐν ᾧ ἐστὶ βόρροθεν ἀψίς, προτείχισμα ἦν καὶ χερσαία πόρτα τὸ παλαιόν, ὑπὸ Κάρου κατασκευασθεῖσα.* ||

**49** (51, *νβ'*). *Περὶ τοῦ Ἀνηλίου τοῦ ἐν τῷ Φόρῳ.* | *Ἐκεῖ οὖν ἵστατο πρῶτον ἡ στήλη τοῦ Φόρου, ἣν εἰς καροῦχαν ἤνεγκαν ἀπὸ τοῦ Φιλαδελφίου, ὡς* B 44
*δὲ ὁ Διακρινόμενος λέγει, ἀπὸ τῆς Μαγναύρας. Ἡ ἐν τῷ Φόρῳ τεθεῖσα στήλη πολλὰς ὑμνῳδίας δεξαμένη εἰς Τύχην τῆς πόλεως προσεκυνήθη παρὰ πάντων, ὑψωθεῖσα ἐν τῷ κίονι, τοῦ ἱερέως μετὰ τῆς λιτῆς παρεστηκότος καὶ*

---

**48.** L. 3—9 Anon. Tr. p. 19, 5 ex Parast. 70 L. 9—12 Anon. Tr. p. 16, 19 ex Parast. 56 **49.** Anon. Tr. p. 16, 20 sqq. ex Parast. 56

---

1 *ἀλλόσεις* J *ἐνιστόρους* C, *ἐν ἱστορίαις* $A_2$ *ἐγγεγραμμένας* A, om. C 7 *καὶ γάλλου ἐρχομένων* JAC, sequor cod. G (cf. Tr.) 8 post *ἀλλήλους* Lamb. ex coniectura inserit: *καλεῖται δὲ ὁ τόπος Φιλαδέλφιον*; sed talia non in Codino, sed in Anonymi archetypo excidisse videntur. (*ἀνεστηλώθη δὲ ἡ ὑπάντησις αὐτῶν ἐκεῖσε οὐχὶ διὰ τὸ συναφθῆναι* B, *καὶ διὰ τοῦτο μετὰ ταῦτα ἀνεστηλώθησαν ἐκεῖσε διὰ μαρμάρου Ῥωμαίου* G) 9 *δὲ* $A_1$ om. J$A_2$ 10 sq. *ἐν ῷ — ἀψίς* om. Tr. G 11 *πόρωθεν* $A_1$, *βορρειόθεν* C, *βόρωθεν* M, om. G, *βορόθεν* J, *βόθρῳ* $A_2$B *ἀψὶς* $A_2$B, *ἀψίδα* J$A_1$, *ἀψίδιον* C, *ἀψί*[δ] M 13 Rubrica praefigitur in solo J 16 *ἡ* codd., *ἣ* Tr.; an *ἦ*? ab hac voce novum caput incipiunt GB 17 *γυναικεία στήλη* G

μετὰ κραυγῆς τὸ ‘κύριε ἐλέησον’ βοώντων ἑκατοντάκις. Καὶ ἄνωθεν ἐκεῖσε ἐπὶ τὴν κεφαλὴν τοῦ κίονος πολλὰ ἐτέθησαν θαυμαστὰ καὶ παράδοξα. Πανήγυρις δὲ περὶ τούτου γέγονεν τεσσαρακονθήμερος καὶ σιτηρέσια πολλὰ τότε ὁ βασιλεὺς δέδωκεν. Τῇ δὲ ἐπαύριον τὸ γενέθλιον τῆς πόλεως γέγονεν καὶ μέγα ἱπποδρόμιον· ὅτε καὶ ἡ πόλις ὠνομάσθη Κωνσταντινούπολις. ||

**50** (52, νγ'). | *Περὶ τοῦ σταυροῦ τοῦ Φιλαδελφίου.* Τὸν δὲ εἰς τὸ Φιλιαδέλφιον ὄντα σταυρὸν ἀνέστησεν ὁ ἅγιος Κωνσταντῖνος ἐπὶ κίονος κεχρυσωμένον διὰ λίθων καὶ ὑέλων κατὰ τὸν σταυροειδῆ τύπον, ὃν εἶδεν ἐν τῷ οὐρανῷ. Καὶ ἐκ τοῦ κίονος ἐκείνου τοῦ πορφυροῦ ἐποίησεν στήλας τῶν υἱῶν αὐτοῦ καὶ ἀνετύπωσεν ἐπὶ θρόνου καθέζεσθαι. || Ἐποίησεν δὲ εἰς τὸν κίονα ἐκεῖνον ἱστορίας τὰς ἑαυτοῦ ἐνζώδους καὶ γράμματα Ῥωμαῖα τὰ ἔσχατα σημαίνοντα. Ἵσταται δὲ ἀντικρὺ τῶν δύο υἱῶν αὐτοῦ τῶν ἐπὶ θρόνου καθεζομένων καὶ τῶν ἄλλων τῶν ἀσπαζομένων.

---

**50.** 8—14 Anon. Tr. 17, 1 ex Parast. 58

---

2 sq. λέγουσι δὲ καὶ ἄνω πολλὰ παράδοξα πράγματα τεθῆναι Tr. 2 ἐπὶ τῆς κεφαλῆς CG, ἐπὶ — κίονος om. Tr. 3 θαυμαστά AC' θαύματα J περὶ τούτου AC, ἐπὶ τοῦτο J, μετὰ δὲ τὴν καθίδρυσιν G, ὑπὲρ τούτου Tr. 9 τὸν δὲ κτλ. AC, ὁ δὲ σταυρὸς τοῦ φιλ. ἔστην, ὃν ἔστισεν ὁ ἅ. Κ. J 10 διὰ λίθων καὶ ὑέλων om. Tr., ὑελίων CG 11 κατὰ τὸν σταυρ. κτλ. AC, σταυροειδῆ om. Tr.; κατὰ τύπον ὃν ἴδεν ἐν τῶ οὐρ. σταυρῶ ἰδὸς J 12 καὶ ἐκ τοῦ κίονος τοῦ πορφυροῦ ἀφ' οὗ δὴ καὶ στήλας τῶν δύο υἱῶν αὐτοῦ ἐποίησε τὰς ἔνθεν κἀκεῖθεν τῆς στοᾶς καθεζομένας ἐπὶ θρόνων G 14 ἐποίει (ἐποίησεν) δὲ καὶ τὸν κίονα codd. praeter J (et G, qui εἰσὶ δὲ ἐν τῷ τοῦ σταυροῦ κίονι κτλ.) 15 ἑαυτῶν $A_1$, τούτων C, ἐν αὐτῶ $A_2$ 16 τῶν ἐσχάτων σιμαίνοντα J, τῶν ἐσχάτων σημαινων $A_1$, τῶν ἐσχ. σημ' M, τὰ ἔσχ. σημαίνοντα $A_2$ (δηλοῦντα περὶ τῶν κτλ. G, τῶν ἐσχάτως μελλόντων γίνεσθαι (σημ. om.) C) ἵστανται vel ἵσταντο codd. praeter J 17 ἐπὶ θρόνων $A_1$, θρόνοις C, θρόνω M

**51** (53, *νδ'*). | *Περὶ τοῦ Μοδίου καὶ τῶν χειρῶν.* B 45
*Ὅτι τὸ λεγόμενον Μόδιον ὡρολογεῖον ἦν, ἤγουν τὸ ἔξαμον τοῦ Μοδίου· ἵστατο δὲ ἐπάνω τῆς ἀψῖδος τοῦ Ἀμαστριανοῦ μέσον τῶν δύο χειρῶν κατασκευασθὲν ὑπὸ Οὐαλεντινιανοῦ διὰ τὸ καὶ τὴν Λαμίαν εἶναι ἐγγὺς αὐτῶν.* ‖ *Ὑποκάτω δὲ ἐν τῷ εἰλήματι τῶν χειρῶν ἱστορίαι εἰσίν· οἱ δὲ πεπειραμένοι εὑρήσουσιν αὐτάς. Ὡρίσθη δὲ τὸ μόδιον κούμουλον πιπράσκεσθαι· εἷς δὲ τῶν ἐμπόρων πέπρακέ τινι τὸ μόδιον ῥῆγλον· γνοὺς δὲ τοῦτο ὁ βασιλεὺς ἐχειροκόπησεν αὐτοῦ τὰς δύο χεῖρας καὶ ἔστησεν ὁρᾶσθαι, ὁμοίως καὶ τὸ μόδιον· ἐχρημάτισεν δὲ ὡρολογεῖον.*

**52** (55, *νς'*). | *Περὶ τοῦ Ἀμαστριανοῦ. Ἐν τῷ τόπῳ τοῦ Ἀμαστριανοῦ Ζεὺς Ἥλιος ἵστατο ἐν αὐτῷ ἐν ἅρματι μαρμαρίνῳ στηλωθεὶς καὶ Ἡρακλῆς ὁ ἀνακείμενος· ἔνθα καὶ ποταμὸς ὁ ἀπὸ Λύκου λατρευόμενος καὶ χελῶναι ἐκεῖσε μεσταὶ ὀρνίθων καὶ δράκαιναι ιη'* ‖ *καὶ μαρμάρινος*

---

**51.** L. 1—5 Anon. Tr. p. 21, 20: *Περὶ τοῦ Μοδίου: Ὅτι τὸ λεγόμενον Μόδιον ὡρολογεῖον ἦν. τὸ δὲ Μόδιον ἤγουν τὸ ἔξαμον τοῦ μοδίου ἦν εἰς τὰ χέρια κατασκευασθὲν κτλ.* — *ἐγγύς*: (Deest in Parast.) L. 5 sqq. cf. II 97 et notam **52.** L. 12 — 15 et p. 180 l. 6 sq. Anon. Tr. p. 15, 17 ex Parast. 41

---

2 *ἤγουν*] *καὶ* coni. Lamb. 3 *ἀψῖδος*] *καμάρας* C *τοῦ ἀμαριανοῦ* J, *τῶν ἀμαστριανοῦ* A, *τῶν ἀμαστριανῶν* C, corr. Lamb. 5 *τὴν τοῦ παλατίου λαμίαν* G *λάμιαν* $A_1$ D 7 *αὐτὰς* AC, *αὐτά* J *ὥριστο* AC 8 sqq. *τινι σῖτον* (*σίτου* DE) *ῥίγλον τὸν μόδιον* AC 10 *τὸν μόδιον* AC 11 *δὲ καὶ τὸ ὁρολ.* J, *δὲ ὡρολ.* AEG, *δὲ ὡς ὡρ.* M 13 *ἵσταται* $A_1$
14 *ἀνακείμενος*] *καὶ αὐτὸς μαρμάρινος* add. G 15 *ποταμὸς ἀπὸ λίθων λαξευθείς* G, *ποταμὸς ὁ ἀπὸ Λύκου προσαγορευόμενος ποταμὸς ἀπὸ λευκοῦ λίθου ὁρώμενος* Lamb. coll. Man. Chrysol. epist. ad Joannem de vetere et nova Roma (ed. Lamb. post Codinum p. 122 B): *ἄλλον* (sc. *ἀνδριάντος*) *ἐπὶ τῆς αὐτῆς ὁδοῦ μικρὸν ἐκ λευκοῦ λίθου ἢ μαρμάρου, ὑπὲρ κεφαλῆς τοῦ διὰ τῆς πόλεως χειμάρρου, δοκοῦντος εἰς ἀγκῶνα ἀνακεῖσθαι* 16 post *ιη'* addit G: *λίθιναι ὅλαι*

*στήλη ἱσταμένη ἐκ χώρας Παφλαγονίας δεσπότου, καὶ ἑτέρα, κεχωσμένη τῇ κόπρῳ καὶ τοῖς οὔροις καὶ τῷ χοΐ, δούλου του ἐκ χώρας Ἀμάστριδος Παφλαγόνος. Ἐν αὐτῷ δὲ τῷ τόπῳ ἐτύθησαν τοῖς δαίμοσιν ἀμφότεροι καὶ ἀνεστηλώθησαν εἰς θάμβος. Ἐκεῖσε δὲ καὶ καλλωπισμὸς κιόνων λεπτῶν σιγματοειδῶς ἀνεγερθέντων.* | *Ἐγένοντο δὲ ἐκεῖσε δαιμόνων ἐπιστασίαι* || *πολλαί.*

B 46 **53** (56, *νζ'*). *Περὶ τοῦ Βοός. Εἰς δὲ τὸν καλού-*
*μενον Βοῦν κάμινος ἦν ἐκεῖσε παμμεγέθης ἐκτισμένη βοὸς*
*ἔχουσα κεφαλήν· ἔνθα καὶ οἱ κακοῦργοι ἐτιμωροῦντο· ὅθεν*
*καὶ ὁ Ἰουλιανὸς προφάσει τῶν καταδίκων πολλοὺς ἐν*
*αὐτῷ κατέκαυσεν Χριστιανούς. Ἦν δὲ ἡ κάμινος βοὸς τύπος*
*παμμεγεθεστάτου θεάματος· οὗ κατὰ μίμησιν καὶ ἐν τῷ*
602–610 *Νεωρίῳ βοῦς ἀπετυπώθη. Ἦν δὲ ἡ. κάμινος ἕως Φωκᾶ,*
610–641 *ἀλλ' ὑπὸ Ἡρακλείου ἐχωνεύθη λόγῳ φόλλεων.* || *Ἐν αὐτῷ δὲ*
*τῷ τόπῳ καὶ ἀψίδες ὅμοιαι τῷ Ξηρολόφῳ, ἔχουσαι ἀγάλματα πολλὰ καὶ ἱστορίας λιθίνας· ἃς οἱ διερχόμενοι εὑρήσουσιν οὐκ ὀλίγας.*

**54** (59, *ξ'*). *Περὶ τοῦ Ἐξακιονίου. Τὸ δὲ Ἐξακιόνιον χερσαῖον ἦν τεῖχος παρὰ τοῦ μεγάλου Κωνσταντίνου κτισθέν· διήρκεσε δὲ χρόνους ρλβ' μέχρι τῆς βασιλείας*

---

**53.** L. 8—15 Anon. Tr. p 15, 22 ex Parast. 42

---

1 *πεφλάγο῀* J, *παμφλαγωνίας* $A_1$ *δεσπότου* om. $A_1$
2 *ἐν τῇ κόπρω* codd. praeter JG *καὶ τῶ χοί* G, *καὶ τοῦ χοός* J, om. rell. 3 *δούλου τινός* G, *δούλου τοῦ* $A_1$C, corr. *ἐγχόρας* J *παμφλαγόνος* $A_1$ 4 *ἐτύθησαν* JA, *ἐτύθη* F, *ἐτυπώθησαν* G, *ἐτυπώθη* D, *ἐτέθησαν* M *ἀμφότερα* C, *ἀμφοτέροις* G
5 *εἰς θάμβος* om. codd. praeter JG 6 *λεπτῶν* $A_1$JG, *λευκῶν* $A_2$, om C 7 *πολλαί*] *καὶ διεμισήθη ὁ τόπος* addit G
14 *ἀνετυπώθη χαλκοῦς· τυραννικὴ τυγχάνων κάμινος* G
16 *τῶ ξηρολόφω* AC, *τοῦ ξιρολόφου* J, *ταῖς ἐν τῶ ξηρολόφω* G *ἔχοντες* J, *ἔχουσαι* rell. 18 *ὀλίγα* ADF 19 *ἐξωκιόνιον* CG, *ἐξακιώνην* $A_1$ 20 *χερσαίου τείχους πόρτα ἦν* G
21 *λβ'* AC

*Θεοδοσίου τοῦ μικροῦ. Ἔξωθεν δὲ ἵστατο κίων ἔχων στή-* 408-450
*λην τοῦ μεγάλου Κωνσταντίνου καὶ τούτου χάριν λέγεται Ἐξακιόνιον. Ἵσταντο δὲ ἐκεῖσε στῆλαι πολλαί· συνέτριψε δὲ ταύτας ὁ βασιλεὺς Μαυρίκιος. Εἰς δὲ τοὺς νῦν σωζομένους* 582-602
*κίονας ἵσταντο αἱ ἀπὸ Κυζίκου ἐλθοῦσαι στῆλαι.*

**55** (61, *ξα'*). *Περὶ τοῦ Τετραπύλου. Τὸ δὲ νῦν λεγομένον Τετράπυλον πρώην ὠνομάζετο Τετράβηλον καὶ διήρκεσεν ἔτη ρξ' μέχρι Ζήνωνος· ἦν δὲ ἐκεῖσε κουβούκλιον ἐπάνω τῶν κιόνων ὑπὸ τοῦ μεγάλου Κωνσταντίνου κτισθὲν καθ' ὁμοίωσιν τῆς Ῥώμης. Οἱ δὲ συγγενεῖς τοῦ τελευτή-* B 47
*σαντος βασιλέως καὶ ἡ Αὐγούστα προελάμβανον τὸ ἐξόδιον καὶ ἐθρήνουν ἐκεῖσε τὸν τελευτήσαντα ἔσωθεν· ἐρχομένη δὲ ἡ κλίνη ἔσωθεν τοῦ κουβουκλίου, ἀπελύοντο τὰ βῆλα εἰς τὸ μὴ εἰσέρχεσθαι ἢ κατοπτεύειν τοῦ λαοῦ τινα καὶ κατ' ἰδίαν ἐκόπτοντο οἰμωγὰς καὶ θρήνους ἕως ὡρῶν ἕξ· καὶ ἔκτοτε ἀνελάμβανον αὐτὸν τὸν ἀποιχόμενον μέχρι τῶν ἁγίων Ἀποστόλων καὶ ἐκήδευον αὐτόν· καὶ εἶθ' οὕτως ὑπέστρεφον αἱ γυναῖκες.*

**56** (58, *νθ'*). *Περὶ τοῦ Ἐξακιονίου. Ἡ δὲ ἱσταμένη εἰς τὸ Ἐξακόνιον στήλη ἐπὶ βραχέος κίονος κατὰ τὸ*

---

2 *τοῦ μεγ. Κωνστ.*] *τοῦ αὐτοῦ* (i. e. Theodosii) C 3 *ἐξακιόνιον* $A_2$, *ἐξωκιόνιον* C, *ἐξακιώνην* J$A_2$, om. G *λίθιναι στῆλαι πολλαί* G 7 *τετράβιον* A 8 *ρξ'*] *ξζ'* $A_1$, om. B

9 *τῶν* om. AC, *τῶν τεσσάρων κιόνων* G *κτισθέν* $A_1$
10 *οἱ δὲ* A, *αἱ δὲ* J; *καὶ ὅτε τις συγγενὴς βασιλέως ἢ αὐτὸς ἀπέθανε, προελάμβανεν ἡ Αὐγ. καὶ οἱ συγγενεῖς τοῦ τεθνεῶτος βασιλέως καὶ ἐθρήνουν κτλ.* C (*οἱ τοῦ βασιλέως συγγενεῖς, οἱ παῖδές τε καὶ ἡ γυνή* G) 12 sq. *ἐρχομένη—ἔσωθεν* om. AC (*ἀχθέντος δὲ τοῦ νεκροῦ καὶ προτεθέντος μέσον τῶν κιόνων* G) 13 *καὶ ἀπέλυον* AC 14 *κατοπτεύειν τοῦ λαοῦ τινα* A, *καθοπτεύϊν τὸν τοῦ λαοῦ τινὰ* J 15 *οἰμωγὰς σφοδρὰς καὶ θρήνους ποιούμενοι* C, *οἰμ. καὶ θρήνους σφοδροὺς* A 16 *ἐλάμβανον* AC *αὐτὸν τὸν ἀπ.* scripsi, *αὐτὸ τὸ ἀπυχούμενον* J, *τὸν ἀποιχ.* (om. *αὐτὸν*) rell. 17 sq *αἱ γυναῖκες*] *αἱ συγγενεῖς* G
19 et 20 *ἐξοκιονίου* et *ἐξοκιόνην* J, *ἐξοκιόνην* $A_1$, *ἐξωκιόνιον* GC, *ἐξακιόνιον* $A_2$, *ἐξακιόνιν* M 20 *τὸ* ante *Ἐξακ.* om. J

780–797 *βόρειον μέρος ὑπάρχει Κωνσταντίνου τοῦ τυφλοῦ τοῦ νεωτερίζοντος, τοῦ υἱοῦ Εἰρήνης.*

**57** (62, ξβ′). *Ἡ δὲ ἱσταμένη εἰς τὸ Σίγμα στήλη ἐπὶ*
408–450 *κίονος ὑπάρχει Θεοδοσίου τοῦ μικροῦ τοῦ υἱοῦ Ἀρκαδίου· ἣν ἀνήγειρεν Χρυσάφιος ὁ εὐνοῦχος ὁ τζουμᾶς καὶ παρακοιμώμενος.*

**58** (66, ξϛ′). *Περὶ τῶν ἐλεφάντων. Αἱ δὲ στῆλαι τῶν ἐλεφάντων τῆς Χρυσείας πόρτας ἥκασιν ἐκ τοῦ ναοῦ*
408–450 *τοῦ Ἄρεως ἀπὸ Ἀθήνας παρὰ Θεοδοσίου τοῦ μικροῦ τοῦ κτίτορος τοῦ χερσαίου τείχους μέχρι τῶν Βλαχερνῶν· ὅπερ ἔκτισεν εἰς ἑξήκοντα ἡμέρας· ἐχόντων τῶν δύο μερῶν τῶν δήμων ἀπὸ χιλιάδων ὀκτώ, ὄντων δημάρχων Μαγδαλᾶ μέρους τῶν Βενέτων καὶ Χαρισίου ἀδελφοῦ αὐτοῦ μέρους τῶν Πρασίνων μετὰ καὶ Εὐλαμπίου συγγενοῦς αὐτῶν. Καὶ ἤρξαντο κτίζειν οἱ μὲν Βένετοι ἀπὸ Βλαχέρνας, οἱ δὲ Πράσινοι ἐκ τῆς Χρυσείας πόρτης· καὶ ἡνώθησαν ἀμφότεροι εἰς τὴν Μυρίανδρον πόρταν τὴν καλουμένην Πολύανδρον, τῶν ἰδιωτῶν δὲ κα-*
B 48 *λούντων αὐτὴν Κολίανδρον· οὕτως δὲ ἐκλήθη Πολύανδρος διὰ τὸ ἀμφότερα τὰ μέρη ἐκεῖσε ἑνωθῆναι.*

**58a** (66, ξϛ′). *Περὶ τῶν λοιπῶν στηλῶν τῆς Χρυσείας. Αἱ λοιπαὶ στῆλαι αἱ ἱστάμεναι εἰς τὴν Χρυσείαν*

---

1 *ὑπῆρχε* AC 3 *εἰς τὸ σίγμα* AC, om. JG *ἐπὶ τοῦ μεγάλου κίονος* G 5 *καὶ*] *ὁ* CG *παρακυμούμενος* J
8 *χρυσῆς* codd. praeter JG *πόρτας* $JA_1$, *πόρτης* rell. *ἐκ τὸν ναὸν* J 9 *ἀπὸ ἀθηνῶν* C 11 *ἑξήκοντα* AC, *ἑπτὰ* JG *τῶν δήμων* $A_1$C, om. J, *τοῦ δήμου* $A_2$G *ἀπὸ χιλ.*] *ἀνὰ χιλιάδας* C 12 *ὀκτώ* AC, *πεντικοντα ὀκτῶ* J (*μιᾶς* G) *βινμάρχων* J *μανδαλᾶ* B, *μυγδαλᾶ* M, *μαγδαλα*[βέρ] G *τῶν* om. J 13 *χαρισίου* EG, *χαρσίου* rell. *αὐτοῦ*] *ἐξ οὗ καὶ ἡ λεγομένη χαρισίου πόρτα* add. G. 15 *βλαχερνῶν* codd. praeter J 16 *πόρτας* $A_1$ *ἡνώθησαν κτλ*] *ἡν. εἰς τὴν λεγομένην ἀγροικικῶς πόρταν κολίανδρον, πολύανδρον λέγεσθαι τυπωθεῖσαν* G *ἀμφότεροι* J, om. rell. 17 *πολύανδρον*] *κολύανδρον* A 17 sq. *τῶν ἰδιωτῶν — Κολ.* om. AC *καλοῦντιν* J, correxi 18 *πολυάνδροῦ* J 19 *τὰ* om. J In fine addit C: *ἔχων καὶ τὴν χρυσείαν πόρταν*, quae explicare non possum. 21 *τὴν* om. J

*ἥκασιν παρὰ Βιγιλίου ἀσηκρήτου καὶ ἀστρονόμου, μετὰ καὶ τῆς γυναικείας τῆς κατεχούσης τὸν στέφανον εἰς τύπον τῆς πόλεως. Ἄνωθεν δὲ καὶ κάτωθέν εἰσι καὶ λοιπὰ μικρὰ ξόανα, ἅτινα σημαίνουσιν τοῖς πεπειραμένοις ἀκριβῶς πολλὴν γνῶσιν.*

**59** (87, *ριθ´*). *Περὶ τοῦ Στρατηγίου. Τὸ καλούμενον Στρατήγιον ἡ στήλη ὑπάρχει Ἀλεξάνδρου τοῦ Μακεδόνος, ἡ ἐν τῷ μεγάλῳ ἱσταμένη· ἥτις ἵστατο πρώην εἰς Χρυσόπολιν, ὅτι τὸν στρατὸν αὐτοῦ ἐκεῖσε ἐρρόγευσε διπλῆν ῥόγαν τὸν ἕνα χρόνον· καὶ διὰ τοῦτο ὠνομάσθη Χρυσόπολις παρὰ τῶν Μακεδόνων· ἐκ δὲ τοῦ στρατοῦ ὠνομάσθη Στρατήγιον. Ἵστατο δὲ ἡ στήλη εἰς Χρυσόπολιν, ὡς ἀνήγειραν αὐτὴν οἱ λαοί, χρόνους χμη´· ὁ δὲ μέγας Κωνσταντῖνος ἔφερεν αὐτὴν ἐν τῇ πόλει. Ἐκεῖσε δὲ ἀπεδοκιμάζοντο οἱ στρατιῶται, ὅτι πεδίον ἦν ὁ τόπος.*

**60** (87, *ριθ´*). *Τὸ δὲ Μονόλιθον τὸ ἱστάμενον ἐκεῖσε ἀπόκλασμα ἦν τοῦ ἱσταμένου εἰς τὸ Ἱππικόν· ἧκε δὲ ἀπὸ Ἀθήνας παρὰ Πρόκλου πατρικίου ἐν τοῖς χρόνοις τοῦ μικροῦ Θεοδοσίου.* 408–450

---

1 *βιγλίου* A₂, *βασιλείου* G *ἀσηκρήτου* J A₁, *ἀσηκρῆτις* MG, *πρωτοασηκρήτου* C 2 *γυναικὸς στήλης τῆς ἔξωθεν ἱσταμένης καὶ κατεχούσης* C, *τῆς γυναικείας χαλκῆς στήλης* G 3 *πόλεως*] *μελλούσης στεφανῶσαι τὸν ἀπὸ δύσεως ἐρχόμενον* addit G 3 *δὲ* om. J 4 *σημαίν.*] *αὐτὰ* add. J *πεπηρασμένοις* J *ἀκριβῆ πολλὴν γνῶσιν* A (*ἅπερ σημαίνουσι καινά τινα μέλλοντα γενέσθαι ἐν τοῖς ἐσχάτοις* G) 6 sq. *Τὸ καλ. μέγα στρατήγιον στήλη ἐστὶν ἀλεξάνδρου τοῦ μακεδόνος καὶ ἵστατο εἰς χρυσόπ. κτλ.* G 7 *στήλη* JG, *ἡ στήλη* rell. *τοῦ* om. J 8 *ἱσταμένη* om. J *ἐν τῷ μεγάλῳ κίονι* edd.; perperam, immo *στρατηγίῳ* subaudiendum est *ἥτις κτλ.*] *ἔστη δὲ αὐτὸ παρὰ τοῦ στρατοῦ αὐτοῦ ὅτι ἐν τῇ τοιαύτῃ πόλει δὶς τοῦ ἐνιαυτοῦ ἐρρογεύθησαν* G 12 sq. *Ἵστατο κτλ.*] *ἀνηγέρθη δὲ ἡ στήλη παρὰ τοῦ πλήθους τοῦ λαοῦ χμη´ ὄντων* C, *ἀνήγειρε δὲ τὴν στήλην τὸ πλῆθος τοῦ λαοῦ χμη´* M 12 Post *δὲ* inserit *ὡς εἴρηται* A 13 *μετὰ χρόνους* J 14 *αὐτὸ* J *ἀπεδοκιμ.* = *ἐδοκιμάζοντο*? 15 *ὅτε* JE, *ὅτι* rell. 16 *τὸν δὲ μ. τὸν* J (*ὁ δὲ μονόλιθος ὁ — ἱστάμενος* G) 17 *ἧκι* J | *ἀπὸ ἀθηνῶν* codd. praeter J

**61** (87. 88, ριθ', ρκ'). Ἵστατο δὲ εἰς τὸ αὐτὸ Στρα-
τήγιον καὶ ὁ τρίπους ⟨ὁ⟩ ἔχων τὰ παρῳχηκότα καὶ τὰ ἐν-
B 49 εστῶτα καὶ τὰ μέλλοντα ἔσεσθαι· καὶ ὁ νότιος πόλος καὶ
ἡ λεκάνη τοῦ Τρικακκάβου ἡ τεθεῖσα εἰς τὰ Στείρου· εἰς
μαντεῖον γὰρ ἦν ὁ τόπος· πλησίον δὲ ἐκεῖσε καὶ ἡ Τύχη
856–866 τῆς πόλεως. Ὁ δὲ Βάρδας ὁ Καῖσαρ ὁ θεῖος Μιχαὴλ τοῦ
βασιλέως μετατέθηκεν καὶ παρέλυσεν αὐτὰ καὶ συνέτριψεν.—
Περὶ δὲ τοῦ Μονολίθου ὁ χρονικὸς δηλοῖ τὴν αὐτοῦ ἱστο-
457–474 ρίαν. Ὁ δὲ μικρὸς Στρατήγιος ὑπάρχει ἡ στήλη τοῦ Λεω-
μακέλλη.

**62.** Περὶ τῶν Σοφιῶν. Ὁ λιμὴν τῶν Σοφιῶν
518–527 ἐκτίσθη παρὰ Ἰουστίνου τοῦ ἀποκουροπαλάτου, τοῦ ἀνδρὸς
Σοφίας τῆς Λωβῆς. Μέσον δὲ τοῦ λιμένος ἵστανται στῆλαι
τέσσαρες, Σοφίας καὶ Ἰουστίνου καὶ Ἀραβίας καὶ Βιγλεντίας
τῆς μητρὸς αὐτοῦ· καὶ αἱ μὲν δύο ἀφῃρέθησαν παρὰ Φι-
711–713 λιππικοῦ· εἶχον δὲ γράμματα τῶν μελλόντων.

**63** (172, ϙδ'). Περὶ τοῦ Ἐλευθερίου. Ὁ δὲ λιμὴν τοῦ Ἐλευθερίου ἐκτίσθη παρὰ τοῦ μεγάλου Κωνσταντίνου· ἵστατο δὲ στήλη λιθίνη Ἐλευθερίου ἀσηκρήτου, φέρουσα ἐπὶ ὤμων καπούλιον καὶ πτύον ἐν τῇ χειρί, ἀμφότερα λίθινα. Κτισθείσης δὲ τῆς στήλης τοῦ Θεοδοσίου ἐπὶ τοῦ

2 ὁ supplevi ἔχων] ἱστορημένα φέρων G 4 ἡ τεθεῖσα κτλ.] ἥτις ἐτέθη εἰς τὸν ναὸν τῶν στείρου εἰς φιάλην G εἰς τὰ τζύρου vel τζίρου codd praeter JG ἧς μαντεῖον ἦν ὁ τόπος C 6 πόλεως] πρὸ τοῦ ἀρθῆναι addit G δὲ Βάρδας — 7 βασιλ. om. J 8 sq. Περὶ — ἱστορίαν om. C τὴν αὐτὴν ἱστ. A (περὶ δὲ τῆς ἱστορίας τοῦ μονολίθου λέγει ὁ χρονικός G) 9 ἡ om. AC **62.** A, JG 12 ἀπὸ κοροπαλάτου J, ἀπὸ (τῶν) κουροπαλατῶν AG 14 loco Viglentiae statua Narsis memoratur III 37 15 αὐτῶν JG, αὐ<sup></sup> A, αὐτοῦ Lamb. **63.** ACM, JG 17 sqq. cf. III 91 19 ἵστατο δὲ καὶ στ. A πρωτασηκρήτου C 20 καπούλιον $A_2$C, κάπου$^{λ}$ $A_1$, καποῦλην J, κόφινον G, σκαπούλιον Lamb. nescio unde. Est arca lignea aut corbis. De significatione vocis v. Reiske ad Const. Porph. 670, 17 21 κτισθέντος δὲ ἡ στήλη τοῦ κίονος τοῦ ταύρου ὁ χοῦς κτλ. J, κτισθέντος etiam $A_1$

*κίονος τοῦ Ταύρου ὁ χοῦς ἐχύνετο εἰς τὸν λιμένα καὶ ἐγεμίσθη.*

**64** (43, *μδ'*). *Περὶ τοῦ σταυρίου. Τὸ δὲ σταυρίον τὸ ἱδρυμένον ἐπὶ τοῦ κίονος πλησίον τῶν Ἀρτοπωλείων ἐν τῇ αὐλῇ τῇ λιθοστρώτῳ ἀνηγέρθη παρὰ τοῦ μεγάλου Κωνσταντίνου, ὅταν ἐκτίσθη ἡ πόλις. Τὸ δὲ παλαιὸν ἔφερον ἐκεῖσε τοὺς ἵππους ἑκατέρων τῶν μερῶν οἱ ἡνίοχοι καὶ εὐφημίζοντες ἔλεγον· 'τοῦ σταυροῦ ἡ δύναμις, βοήθει* B 50 *αὐτοῖς.' Ἐκεῖσε δὲ ἵσταντο καὶ πύλαι χαλκαῖ τέσσαρες ἐκ τῶν τεσσάρων μερῶν καὶ περίπατοι γύροθεν τέσσαρες καὶ σημειοφορικὰ πολλά· καὶ διήρκεσαν μέχρι Θεοφίλου. Ἔκ-* 829-842 *τοτε δὲ ἐκλήθη κοιλὰς κλαυθμῶνος παρ' αὐτοῦ καὶ προσετάγησαν οἱ σωματοπρᾶται ἐκεῖσε πιπράσκειν τὰ οἰκετικὰ πρόσωπα.*

**65** (120, *ρκβ'*). *Περὶ τοῦ ξενῶνος τῶν Θεοφίλου. Ἐν τῷ καλουμένῳ Ζεύγματι ἐπάνω τοῦ λόφου, ὅπερ ὁρᾶται εὔμηκες κτίσμα νοσοκομείου, ὁ μέγας Κωνσταντῖνος ἀνήγειρεν αὐτὸ εἰς πορνεῖον. [Γέγονε δὲ καὶ οἶκος Ἰσιδώρου πατρικίου, εἶτα μοναστήριον γυναικεῖον· καὶ ὁ Θεόφιλος* 829-842 *ἐποίησεν αὐτὸ ξενῶνα.] Ἵστατο δὲ στήλη ἐπὶ κλωστοῦ λιθίνου κίονος, ἡ Ἀφροδίτη· τῶν δὲ ἐρώντων ἀπερχομένων καὶ συνουσιαζόντων τὰς ἐκεῖσε οἰκούσας μοιχαλίδας, ἔξω δὲ*

---

L. 20 sqq. A, quocum faciunt CM, longius discrepat a J: *Ἵστατο δὲ στήλη ἐπὶ κλωστοῦ λιθίνου κίονος τῆς Ἀφροδίτης· τῶν δὲ ἐρώντων ἐκεῖ ἀπερχομένων καὶ συνουσιαζόντων τὰς*

---

**64—66.** ABCMJG 3 sqq. *Περὶ τοῦ σταυρίου τοῦ δεδεμένου ἐπὶ κίονος πλ. τῶν ἀρτ. . . . ἀνηγέρθη κτλ.* C 4 *δεδεμένον* M (cf. lemma in C), *ἱδρυσμένον ἐπικίονος* J 5 *τοῦ λιθοστρώτου* $A_1$ 7 *τῶν* om. J 8 *φιμίζωντες* JC, *εὐφημίζοντες* A 9 *αὐτοῖς* J$A_2$, *αὐτὰ* $A_1$, *ἡμῖν* C *ἐκ* om. C 10 *περίπατοι πλακωτοὶ γύρωθεν* G 11 *διήρκεσαι* J 12 *κυκλὰς* J 15 *περὶ τοῦ τρικλίνου τῶν θεοφ.* G, *περὶ τοῦ ξενῶνος τοῦ μεγάλου* M *τοῦ θεοφ.* $A_1$ F 16 *τοῦ κρημνώδους λόφου* G 17 *κτίσμα νοσ.*] *τὸ ὁρώμενον ἐπίμηκες τρικλινάριον* G 18 *Γέγονε* — 20 *ξενῶνα* addit solus C

*τοῦ οἴκου μὴ εὑρίσκεσθαι ἕτερον πορνεῖον ἢ τοιαύτην μοιχαλίδα γυναῖκα· ἔσωθεν δὲ τοῦ αὐτοῦ οἴκου ἦσαν διάχωρα ἐπὶ τοὺς κίονας μετὰ κρικίων καὶ κορτίνων· καὶ οὕτως οἱ ἐν ἀσωτίᾳ ἐκεῖσε ἐρώμενοι ἐτέρποντο. Ἦν δὲ σημεῖον ἡ στήλη τῶν ἐν ὑπολήψει ὄντων καθαρῶν γυναικῶν καὶ παρθένων, πλουσίων τε καὶ πενήτων· ἐάν τις ἔλυσεν τὴν παρθενίαν τινός, ἐκείνων πολλῶν τε καὶ ὀλίγων μὴ ὁμολογούντων ἔλεγον αὐταῖς οἱ γονεῖς καὶ φίλοι· 'ἀπέλθωμεν εἰς τὸ τῆς Ἀφροδίτης ἄγαλμα καί, εἰ καθαρὰ εἴης, ἐλεγχθήσει.' Ἐκεῖσε δὲ ὑπὸ τῆς στήλης πλησιαζουσῶν, εἰ μὲν ἄμεμπτος*
B 51 *ὑπῆρχεν, διήρχετο ἀβλαβής, εἰ δὲ ἐμιάνθη ἢ ἐλύθη αὐτῆς ἡ παρθενία, ἡνίκα ἐπὶ τὸν κίονα τοῦ ἀγάλματος ἐπλησίασαν, ἄκουσαν καὶ μὴ βουλομένην ἐπιστασία ἀθρόα*

---

*ἐκεῖσε οἰκούσας μαχλάδας ἔξωθεν τοῦ αὐτοῦ οἴκου οὐχ εὑρίσκετο ἕτερον πορνεῖον. Καὶ ἦσαν διάχωρα ἐπὶ τοὺς κίονας μετὰ κρικέλλων καὶ κουρτίων· καὶ οὕτως ἐκεῖ ἐν ἀσωτίᾳ οἱ ἐρῶντες ἐτέρποντο. Ἦν δὲ καὶ στήλη τῶν ἐν ὑπολήψει οὐσῶν γυναικῶν καθαρῶν καὶ παρθένων, πλουσίων τε καὶ πενήτων· ἐάν τις ἔλυσεν αὐτῶν τὴν παρθενίαν, ἐκείνων δὲ μὴ θελουσῶν (θελόντων* $A_1$) *ὁμολογεῖν, ἔλεγον αὐταῖς οἱ γονεῖς τε καὶ φίλοι· 'ἀπέλθωμεν εἰς τὸ τῆς Ἀφροδίτης ἄγαλμα· καὶ εἰ καθαρὰ εἶ, ἐλεγχθήσει ἐκεῖ ἐπὶ τῆς στήλης.' καὶ ὅτε ἐπλησίαζον, ἡ μὲν ἄμεμπτος διήρχετο ἀβλαβής· ἡ δὲ ἐφθαρμένη, ἡνίκα ἐπὶ τὸν κίονα τοῦ ἀγάλματος ἐπλησίαζεν, ἄκουσα καὶ μὴ βουλομένη ἐπιστασίᾳ ἀθρόᾳ ἐσηκοῦντο τὰ ἱμάτια αὐτῆς καὶ ἐδείκνυεν τὸ ἑαυτῆς αἰδοῖον. Ὁμοίως δὲ καὶ αἱ ἔχουσαι ἄνδρας, ἐὰν λαθραίως ἐμοιχεύοντο, τοῦτο ἐγίνετο, καὶ οὕτως ἀπηλέγχοντο. Καὶ ἐθαύμαζον πάντες καὶ ἐπίστευον τῇ γενομένῃ πορνείᾳ, ἐκείνων παρευθὺ ὁμολογουσῶν. Τῆς δὲ γυναικὸς ἀδελφὴ Ἰουστίνου τοῦ ἀπὸ κουροπαλατῶν συνέτριψε τὴν στήλην διὰ τὸ αὐτῆς αἰδοῖον φανῆναι μοιχευσάσης, διερχομένης δὲ ἐφίππου ἐκεῖσε ἐν τῷ λούματι τῶν Βλαχερνῶν διὰ τὸ ἐξαίσιον ὄμβρον γενέσθαι τότε καὶ μηκέτι δύνασθαί τινα πλεῖν ἐν τοῖς βασιλικοῖς δρόμωσιν.*

---

2 *εἰς τὰ διάχωρα τῶν κιόνων κελλία σκεπόμενα μετὰ κορτίνων* G 8 *αὐτὰς* J 13 sq. *ἀθρόον δαιμονία ἐπιστασία ἐσκότιζεν αὐτὰς καὶ αἴρουσαι τὰ ἱμάτια κτλ.*G

*ἐσκότιζεν αὐτὴν καὶ σηκόνουσα ἐν πᾶσιν τὰ ἱμάτια αὐτῆς, ἐδείκνυεν πᾶσιν τὸ ἑαυτῆς αἰδοῖον· ὁμοίως δὲ καὶ αἱ ὕπανδροι, ἐὰν λαθραίως ἐμοιχεύοντο, τοῦτο καὶ ἐν αὐταῖς ἐγένετο. Καὶ ἐθαύμαζον πάντες καὶ ἐπίστευον πάντες τῇ γενομένῃ πορνείᾳ ἐκείνων ὁμολογουσῶν. Ἡ δὲ γυναικαδέλφη Ἰουστίνου τοῦ ἀποκουροπαλάτου συνέτριψε τὴν στήλην διὰ* 518-527
*τὸ καὶ αὐτῆς τὸ αἰδοῖον φανῆναι μοιχευσάσης καὶ διερχομένης ἐφίππου ἐκεῖσε ἐν τῷ λουμάτι τῶν Βλαχερνῶν διὰ τὸ ἐξαίσιον ὄμβρον γενέσθαι καὶ μηκέτι δύνασθαί τινα πλεῖν ἐν τοῖς βασιλικοῖς δρομωνίοις.*

**66** (169, ϙγʹ) | *Τὰ δὲ λεγόμενα Κοντάρια, βίγλα ἦν ἐκεῖ μεγάλη τὸ πρότερον καὶ ἕως ἑπτὰ χρόνων ἐφυλάττετο ἐκεῖσε· καὶ πολέμου γενομένου δύο ἔτη ναὸς ᾠκοδομήθη εἰδώλων μικρὸς ὑπὸ Γαλλίνου· ὃν καθελὼν ὁ μέγας Κωνσταντῖνος τῆς θεοτόκου ναὸν ἤγειρεν καὶ ἐχάραξε τὸν Χριστὸν καὶ τὴν θεοτόκον καὶ τὴν αὐτοῦ μητέρα καὶ ἑαυτὸν καὶ ἐπετέλεσεν πανήγυριν ἡμέρας δώδεκα. ‖ Ὅστις ναὸς μετωνομάσθη ἡ ἁγία Θέκλα. Τότε δὲ καὶ τοῦ Μιλίου ἡ καμάρα χερσαία ἦν πόρτα· καὶ εἰς τὸ Διίππιν ἦν ἡ ἀλλαγή. Αὐτὰ δὲ τὰ λεγόμενα Κοντάρια μέγα ὄρος ἦν, ἐξ οὗ καὶ* B 52
*ἐφυλάττετο ἡ βίγλα τῶν Βυζαντίων πτοουμένων τοὺς δυσικούς.*

---

**66.** L. 11 — 17. Anon. Tr. p. 16, 9 ex Parast. 53.

---

2 *ὑοίπανδροι* (= *οἱ ὕπανδροι*) J 6 *συνέτριψε καὶ τῇ θαλάσσῃ ἔδωκε* G 7 *διερχομένη* J *αὕτη ποτὲ ἐκ τοῦ παλατίου τῶν Βλ. πρὸς τὸ μέγα παλάτιον ἀπερχομένη ἅμα τῇ βασιλίδι Σοφίᾳ καὶ αὐταδέλφῃ αὐτῆς καὶ ἐξαισίων ὄμβρων γενομένων ἐκ τῶν πλοίων ἀποβᾶσαι δι' ἵππων ἐφέροντο* G 11 *τὰ δὲ νῦν λεγ.* J 12 *τὸ πρότερον πρὸ τοῦ κατασχεῖν τὸν μέγαν Κωνστ. τὸ Βυζάντιον* G 14 *Γαλλιήνου* Lamb. (de imperatore Gallieno cogitans) 16 *τὴν θεοτόκον καὶ τὴν αὐτοῦ μητέρα* C, *τὴν αὐτοῦ μητέρα τὴν ἁγίαν θεοτόκον* A, *καὶ τὴν αὐτοῦ μητέρα* om. J; cf. Anon. Tr., apud quem *καὶ τὴν θεοτόκον* excidit, et Parast. 19 *διίππιν* G, *δίππιν* J, *δίππιον* $A_2$ C*, *δίπτην* $A_1$ *ἡ* om. J 20 *ἐξ οὗ* om. A 21 *ἡ* om. J *δυτικούς* GB

**67.** | Ὅτι τὰ λεγόμενα Βιγλεντίου ἰσχυροτάτη βίγλα ἦν τοῦ ἁγίου Κωνσταντίνου ||, ὅτε τὸ Βυζάντιον ἐπόρθει.

**68** (96, ρκθ'). *Περὶ τοῦ Νεωρίου.* | Ὅτι τὸ Νεώ-
717-741 ριον ὁ Κόνων ἐστοιχειώσατο· ἐν ᾧ καὶ ἀγορὰ τῶν θαλασ-
527-565 σίων ἐμπόρων πρῶτον ἦν· ἐπὶ δὲ Ἰουστινιανοῦ μετεποιήθη εἰς τὸν Ἰουλιανοῦ λιμένα. ||

**69** (187, ρϛε'). | Ὁ δὲ ἀγωγὸς τῶν μεγάλων ἀψίδων ὑπὸ Οὐάλεντος ἐκτίσθη || ὡς ὁρᾶται.

**70** (187, ρϛε'). | Ἐν τῇ καλουμένῃ Ἀετίου κινστέρνῃ, ἥτις ὑπὸ Ἀετίου πατρικίου ἐκτίσθη ἐπὶ Οὐάλεντος, στήλη ἵστατο τοῦ αὐτοῦ Ἀετίου. ||

**71** (188, ρϛϛ'). | Ἡ δὲ λεγομένη Ἄσπαρος κινστέρνα ὑπὸ Ἄσπαρος καὶ Ἀρδαβουρίου ἐκτίσθη ἐπὶ τοῦ μεγάλου
457-474 Λέοντος· καθ' ἣν ἀμφότεροι πληρωθείσης αὐτῆς ἀνῃρέθησαν || [παρὰ τοῦ αὐτοῦ βασιλέως· οἵτινες ἐβούλοντο μετὰ τοῦ δήμου καταβιβάσαι Λέοντα τῆς βασιλείας, εἰ μὴ ἐξ ἀγχινοίας οὗτος τούτους ἀνεῖλε δόλῳ.] Ὁ δὲ οἶκος τοῦ Ἄσπαρος ἦν, ὅνπερ εἶχεν Βασίλειος ὁ παρακοιμώμενος.

---

**71.** 12—14: *Περὶ τῆς Ἄσπαρος· Ἄσπαρ καὶ Ἀρδαβούριος οἱ πραιπόσιτοι ἔκτισαν κελευσθέντες ὑπὸ τοῦ μεγάλου Λέοντος τοῦ μακέλλου, οὓς καὶ ἅμα τῷ πληρῶσαι ταύτην ἀνῄρηκεν ἐπιβούλους αὐτοῦ εὑρών.* G

---

**67.** Anon. Tr. p. 16, 15 ex Parast. 54 **68.** Anon. Tr. p. 19, 17 ex Parast. 72 **69.** Anon. Tr. p. 19, 24 ex Parast. 74 **70.** Anon. Tr. p. 21, 12 ex Parast. 87 **71.** Anon. Tr. p. 21, 16 ex Parast. 88

---

**67.** AJG 1 *βιγλεντίας* J $A_1$, *βιγλέντια* $A_2$ G, correxi ex Tr. **68—71.** ABCMJG 4 sq. *ἀγοραὶ — ἦσαν — μετεποιήθησαν* Tr 7 *τῶν μεγάλων ἀψίδων* ACG, om. Tr; *τῶν ἀψίδων* J *ἀψίδων*] *ἐμεγάλε καμάρε* add. J, *ἤτοι αἱ οὐράνιαι καμάραι* add. C 11 *τοῦ αὐτοῦ Ἀετίου* AB, *τοῦ αὐτοῦ οὐάλεντος* E (cf. Parast.), *τοῦ αὐτοῦ* D 12 In cod. $A_2$ § 71 antecedit paragraphum 70 14 *πληρ. τῆς ἀρχῆς αὐτοῖς* J 15—17 exstat in solo C 17 *Ὁ δὲ οἶκος κτλ.* Cf. II 99 (cod. B.) 18 *παρακοιμούμενος* J

**72** (189, ϱϛζ′). *Τὴν δὲ Βώνου κινστέϱναν ἔκτισε Βῶνος πατϱίκιος ἀνελθὼν ἀπὸ Ῥώμης καὶ ἐσκέπασεν αὐτὴν διὰ κυλινδϱικῶν θόλων. Ὁ δὲ οἶκος αὐτοῦ ἐκεῖσε ἦν· ὁ αὐτὸς δὲ ἦν ἐπὶ Ἡϱακλείου βασιλέως.* 610-641

**73** (155, οε′). *Πεϱὶ τοῦ Ἱπποδϱομίου.* | *Ὅτι ἀπὸ Ῥώμης πολλὰ ἐνεχθέντα εἴδωλα ἔστησαν ἐν τῷ Ἱπποδϱομίῳ, ἐξαίϱετα δὲ ἑξήκοντα, ἐν οἷς καὶ τὸ τοῦ Αὐγούστου.* ‖ *Ἀπὸ* B 53
*δὲ Νικομηδείας στῆλαι πολλαὶ ἥκασιν, ὅθεν καὶ Διοκλητιανοῦ ἐν τῷ Ἱπποδϱομίῳ σώζεται ἕως νῦν, ἐπίκυφος οὖσα ἀναμέσον τοῦ καθίσματος* ¦ *ἱσταμένη τοῦ βασιλικοῦ. Ὁμοίως καὶ ἀπὸ Ἀθήνας καὶ Κυζίκου καὶ Καισαϱείας καὶ Τϱάλλης καὶ Σάϱδης καὶ Μωκησοῦ καὶ ἀπὸ Σεβαστείας καὶ Σατάλων καὶ Χαλδείας καὶ Ἀντιοχείας τῆς μεγάλης καὶ Κύπϱου καὶ ἀπὸ Κϱήτης καὶ Ῥόδου καὶ Χίου καὶ Ἀτταλείας καὶ Σμύϱνης καὶ Σελευκείας καὶ ἀπὸ Τυάνων καὶ Ἰκονίου καὶ ἀπὸ Βιθυνῶν Νικαίας καὶ ἀπὸ Σικελίας καὶ ἀπὸ πασῶν τῶν πόλεων ἀνατολῆς καὶ δύσεως ἥκασι διάφοϱαι στῆλαι παϱὰ τοῦ μεγάλου Κωνσταντίνου, αἳ καὶ ἐτέθησαν καὶ ἐστηλώθησαν, ἐν ᾧ οἱ διεϱχόμενοι ταῦτα καὶ πεπειϱαμένοι ἔχωσιν τὸ ἀλάθητον τῶν ἐσχάτων.*

---

**73.** l. 5—7 Anon. Tr. p. 17, 17 ex Parast. 60; l. 7 sq. Anon. Tr. p. 20, 3 ex Parast. 76

---

**72.** ABCM. Cf. III 83 3 *διὰ κ. θ.*] *κυλινδϱικῷ θόλῳ* C 3 sq. *Ὁ δὲ — βασιλέως* om. A **73—74.** ABCM, JG 6 post *εἴδωλα* add. *τὰ μὲν* $A_2$ *ἔστησαν* $A_2$, *ἐστάθησαν* $A_1$, *ἔστισαν αὐτά* J (*ἅτινα ἐτέθησαν* C) 7 *ἑξήκοντα*] *ἕξ* Tr. 9 *ἐπίκουφος* $A_1$, *ἐπίκωφον* G 11 *ἀθηνῶν* AC, *φϱυγίας* G 12 *τϱάλλης*] *τϱάλεως* G, *τϱωάδος* C *σάϱδεων* C, *σύϱων* G 13 *σατάλων*] *πατάϱων* B 14 *καὶ Ῥόδου — Σελευκείας*] nil nisi *καὶ Δυϱαχίου* G *καὶ Ἀτταλείας — Σελευκείας* om. J 16 *βιθυνίας καὶ νικαίας* G *νικολίας* J 17 *διάφοϱοι* CG *στῆλαι πολλαὶ διάφοϱα καὶ θεάματα* $A_1$, *στῆλαι καὶ θεάματα* $A_2$ 18 *αἳ*] *ἃ* J 19 *ἐν ᾧ*] *ἐν οἷς* $A_2$G, *ἵνα* C (*ἐν οἷς δὴ ἔχουσι διαγινώσκειν τινὰ τῶν ἐσχάτων οἱ σοφῶς καὶ πεπειϱαμένως ἐξετάζοντες ἅμα αὐτὰ καὶ στοχαζόμενοι* G) 20 *ἔχουσιν* $A_2$ *τὸ ἀλάθητον*] eodem sensu ni fallor quo *τὸ ἀληθές*

**74** (155, οε΄). | Ἀρτέμιδος δὲ ἡ στήλη ἐν τῷ Ἱππικῷ ἐστιν· ἔνθα οἱ παλαίοντες δοκιμάζονται. ||

**75** (155, οε΄). | Οἱ δὲ τέσσαρες κεχρυσωμένοι ἵπποι οἱ ὕπερθεν τῶν καγκέλλων ὁρώμενοι ἐκ τῆς Χίου ἥκασιν ἐπὶ
408–450 Θεοδοσίου τοῦ μικροῦ. ||

**76** (155, οε΄). | Αἱ δὲ ἐν τῷ Περιπάτῳ τῶν δύο μερῶν ἔφιπποι στῆλαι καὶ πεζαὶ Γρατιανοῦ καὶ Οὐαλεντινιανοῦ καὶ Θεοδοσίου καὶ τοῦ κυρτοῦ Φιρμιλιανοῦ πρὸς γέλωτα || ἔστησαν.

**77** (155, οε΄). | Αἱ δὲ γεννῶσαι θῆρας καὶ ἀνθρώπους
685–711 ἐσθίουσαι ἡ μὲν μία ἐστὶν Ἰουστινιανοῦ τοῦ τυράννου, δη-
B 54 λοῦσα τὴν ἱστορίαν τῶν δευτέρων αὐτοῦ πράξεων· ἡ δὲ ἑτέρα, ἐν οἷς καὶ πλοῖον ὑπάρχει ||, οἱ μὲν λέγουσιν ὅτι ἡ Σκύλλα ἐστὶν ἡ ἐκ τῆς Χαρύβδεως, ἐσθίουσα τοὺς ἀνθρώπους· καί ἐστιν ὁ Ὀδυσσεύς, ὃν κατέχει τῇ χειρὶ ἐκ τῆς κορυφῆς· ἕτεροι δὲ λέγουσιν, ὅτι ἡ γῆ καὶ ἡ θάλασσα καὶ οἱ ἑπτὰ αἰῶνές εἰσιν οἱ ἐσθιόμενοι διὰ κατακλυσμόν· ὁ περιὼν δὲ ὁ ἕβδομος οὗτος αἰών.

**78** (155, οε΄). | Ἡ δὲ καθεζομένη εἰς τὸ σελλίον τὸ

---

**74.** Anon. Tr. p. 20, 14 ex Parast. 79 **75.** Anon. Tr. p. 20, 23 ex Parast. 84 **76.** Anon. Tr. p. 10, 29 (Suid. s. v στήλη et Γρατιανός) ex Parast. 19 **77.** Anon. Tr. p. 17, 20 ex Parast. 61 (p. 60, 5 sqq.) **78.** Anon. Tr. p. 17, 25 ex Parast. 61 (p. 60, 13 sqq.)

---

**75.** ABCM, J 4 ὕπερθεν τῶν καγκέλλων] ἄνωθεν τοῦ ἱππικοῦ Tr. **76—78.** ABCM, JG 6 Cf. II 104a τῶν δύο μερῶν om. Tr. G 7 καὶ πεζαὶ om. Tr. 9 ἔστησαν ἀμφότερα J 11 ἐσθίουσαι] ἐν τῷ ἱπποδρόμῳ add. AC τυράννου] διὰ τὴν ἐν τῷ ἱπποδρόμῳ γενομένην τοῦ λαοῦ ἀναίρεσιν add. G 13 πλοῖον ὑπάρχει χαλκοῦν G 14 Χαρύβδεως $A_2$ C, χαράβδις J, χαριβδος $A_1$ 17 sq. ἡσὶν αἳ ἡσὶν οἱ ἐσθ. J οἱ ἐσθίοντες καὶ ἐσθιόμενοι C διὰ κατακλ.] οἱ δὲ κατακλυσμόν ABM (in C διὰ — αἰών desunt); an διὰ κατακλυσμῶν? ὁ περιῶν οὗτος εὔδομος αἰών $A_1$ 18 ὁ ἕβδομος] ὁ ζῶν J (ex ὁ ζ΄ natum) 19 σελλίον] ἣν λέγουσι βαλάνισσαν add. G.

*χαλκοῦν, ὁ μὲν Ἡρωδίων τὴν Βηρίναν λέγει τὴν γυναῖκα τοῦ μεγάλου Λέοντος· ἄλλοι δέ φασιν Ἀθηνᾶν ἐξ Ἑλλάδος* 457-474 *ἐλθοῦσαν.*

**79** (155, οε′). *Ἡ δὲ ὕαινα ἀπὸ τῆς μεγάλης Ἀντιοχείας ἤχθη ὑπὸ τοῦ μεγάλου Κωνσταντίνου. Τὰ δὲ λοιπὰ ἀγάλματα τοῦ Ἱππικοῦ τά τε ἄρρενα καὶ θήλεα καὶ οἱ διάφοροι ἵπποι καὶ τῶν καμπτήρων οἱ κίονες οἱ λίθινοι καὶ οἱ χαλκοῖ καὶ οἱ ὀβελίσκοι τῶν καμπτήρων οἱ χαλκοῖ καὶ αἱ ἱστορίαι τοῦ μονολίθου καὶ αἱ ἡνιοχευτικαὶ στῆλαι σὺν ταῖς βάσεσιν αὐτῶν ταῖς ἐνιστόροις καὶ τῶν περιπάτων οἱ κίονες σὺν τῶν κεφαλαίων καὶ ποδίσκων αὐτῶν καὶ τῶν ἐν σφενδόνι καὶ τῶν στηθέων καὶ συστεμάτων αὐτῶν καὶ σκαλίων καὶ σωλέων καὶ ἁπλῶς ὁπόθεν ἐκεῖσε εὑρίσκεται γραφή, κατ᾿ ἐξαίρετον εἰς τὰς χαλκᾶς στήλας — τῶν ἐσχάτων ἡμερῶν καὶ τῶν μελλόντων εἰσὶν πᾶσαι αἱ ἱστορίαι· ἃς ἐστηλώσατο Ἀπολλώνιος ὁ Τυανεὺς εἰς μνήμην τῶν ἐντυγχανόν-* B 55 *των διὰ τὸ ἀνεξάλειπτα εἶναι· ὁμοίως καὶ ἐπὶ πάσης τῆς πόλεως τὰ ἀγάλματα ἐστοιχειώσατο. Οἱ δὲ ἔχοντες δοκιμὴν τῶν στηλωτικῶν τῶν ἀποτελεσμάτων εὑρήσουσιν πάντα ἀλαθήτως. Ὁμοίως καὶ οἱ τρίποδες τῶν Δελφικῶν κακκάβων καὶ αἱ ἔφιπποι στῆλαι γράφουσιν, δι᾿ ἣν αἰτίαν ἐστησαν καὶ τί σημαίνουσιν.*

---

79 l. 4 — 5. Anon. Tr. p. 17, 29 ex Parast. 62

---

1 *ὁ μὲν ἡδιρωδίον* J, *ὁ μὲν ἡρωδιανὸς* G, *οἱ μὲν* rell., rest. ex Tr. **79.** ABCM, JG, H (a. l. 16) 9 *ἡ ἱστορίες* J 11 *κεφαλέων* (i. e. *κεφαλαίων*) J, *κεφαλῶν* rell. *ἐν τῷ σφενδόνι* C 12 *συστημάτων* $A_1$, *συστρεμμάτων* $A_2$ *αὐτῶν* om. A 13 *εὑρίσκετο* J 14 *στήλας*] *πύλας* AC 15 *καὶ τῶν μελλόντων* DG, *καὶ* om. JAF 16 *ὁ Τυανεύς*] inde exorditur codex H *Ἀπολλ. ἐκεῖνος ὁ σοφὸς ἀστρολόγος καὶ ἰητρός* G 17 *διὰ τὸ κτλ.*] *ὡς ἂν εἶεν ἀνεξ.* G 19 *ἀποτελεσμάτων* AC, *πάντων* J, *ἀπὸ τῶν ἀποτελεσμ.* G, *ἐκ τῶν ἀποτ.* H, scripsi *τῶν ἀποτελ.* coll. II 103 ('qui existimantur artis periti esse apotelesmata statuendi') 20 *ἀληθῆ* CHG *δελφικῶν καὶ κακκάβων* $A_1$C 21 *αἱ* C, om JA (*καὶ αἱ ἔφ. στ.* om. HG)

**80** (11, ι'). | Ὁ Αὔγουστος ὁ Ὀκταούιος Αὐγούστῳ μηνὶ ὑπάτευσε καὶ ἐτίμησεν αὐτόν, Σεξτίλιον πρώην λεγόμενον, ὀνομάσας Αὔγουστον· ἐν αὐτῷ δὲ καὶ ἐτελεύτησε τῇ ιθ' τοῦ μηνός. Τῷ δὲ Σεπτεμβρίῳ ἐγεννήθη τῇ κγ', καὶ τῇ β' τοῦ Σεπτεμβρίου Ἀντώνιον ἐνίκησε καὶ ἤρξατο τῆς μοναρχίας· καὶ ἐτίμησεν αὐτόν, ἀρχὴν ἰνδικτιῶνος ποιησάμενος αὐτὸν ἤτοι ἀρχὴν χρόνου, ὅθεν ὁ Σεπτέμβριος τετίμηται. ||

**81** (σξς'). | Φησὶν Ἀππιανός, Δίων τε καὶ ἄλλοι οἳ τὰ Ῥωμαϊκὰ ἱστορήσαντες, ὡς ὁ Καῖσαρ ἀπὸ Νικοπόλεως πρὸς τὸ Δυρράχιον περῶν μεγάλου κλύδωνος γενομένου καὶ τοῦ κυβερνήτου ἐξαπορήσαντος, ἀγνοοῦντος ὡς τὸν Καίσαρα φέρει — ἦν γὰρ κεκαλυμμένος τοῦ μὴ γνωρίζεσθαι — ἀνακαλυψάμενος εἶπεν πρὸς τὸν κυβερνήτην· 'ἴθι πρὸς τὸν κλύδωνα· Καίσαρα φέρεις καὶ τὴν Καίσαρος τύχην.' ||

B 56 **82.** | Κράνος ὁ φιλόσοφος, εἷς ὢν τῶν ζ' φιλοσόφων
408–450 τῶν σὺν τῇ Εὐδοκίᾳ ἀνελθόντων ἐξ Ἀθηνῶν, ᾔτησε τὸν Θεοδόσιον ἰδεῖν τὰ ἐν τῷ Ἱπποδρομίῳ στοιχεῖα· καὶ ἰδὼν τὸν Περιχύτην λεγόμενον καὶ τὸν ἔμπροσθεν αὐτοῦ ἱστάμενον ὄνον εἶπεν· 'τίς ὁ στήσας;' τοῦ δὲ ἀναγνώστου εἰπόν-

---

**80.** Anon. Tr. p. 8, 3 (et cod. Tisch.); Lydus de mens. p. 150, 4 et 159, 12 **81.** Anon. Tr. p. 8 12 (et cod. Tisch.) Cf. Dio Cass. 41, 46. **82.** Anon. Tr. p. 17, 31 sq. ex Parast. 64

---

**80.** ACM, GB, H 3 ὠνόμασεν ACH, rest. ex Anon. Tr. 4 τοῦ αὐτοῦ μηνός H τῇ κς' G, κγ' rell. 5 τοῦ σεπτεμβρίου A, τοῦ αὐτοῦ μηνός HG 6 ἰνδζ $A_1$, ἰνδίκτου rell. 7 ὅθεν ὁ Σ. τετ. certe nota marginalis quondam fuit, sed iam Anon. Tr. in textum recepit **81.** AM, GB, H 10 πρὸς τὸ Δ.] εἰς τὸ Βρεντέσιον Lamb. 14 ἴσθι AM, φράσον H, πάλαιε G, corr. ex Tr. 15 In fine add. G ὥστε τὸν κυβερνήτην ἐπιμελέστερον προστεθέντα καὶ τῆς τύχης διδούσης γαλήνην γενέσθαι καὶ διασωθῆναι. (Cod. Tisch. addit ὁ δὲ ἀκούσας θαρρήσας ἐπέρασεν). **82—83.** HGB Praemittit H περὶ τῶν ζ' φιλοσόφων τῶν Ἀθηναίων 17 Post ἐξ Ἀθηνῶν inserit G ἣν ἡρμόσατο ἑαυτῷ εἰς γυναῖκα Θεοδόσιος ὁ μικρός.

τος· Οὐαλεντινιανός· ‘ὦ συμφορά, φησίν, ὅτι ἄνθρωπος ὄνῳ ἀκολουθεῖ.’ —Ἦσαν δὲ οἱ φιλόσοφοι οὗτοι· Κράνος, Κάρος, Πέλοψ, Ἀπελλῆς, Νερούας, Σιλβανὸς καὶ Κύρβος. Θεωρούντων δὲ ἱππεύοντα τὸν βασιλέα καὶ θαυμαζόντων ἔφη ὁ βασιλεύς· ‘τί θαυμάζετε;’ Ἀπεκρίθη δὲ Ἀπελλῆς· ‘θαυμάζω εἰδώς, ὅτι τῶν Ὀλυμπίων ἀλλασσομένων ἵπποι γενήσονται ἀνθρώπων ἐπιβάται.’ Νερούας ἔφη· ‘κακὸν τῇ βασιλίδι, ὅτι τὸ στοιχεῖον τοῖς στοιχείοις συντρέχει.’ Καὶ ὁ Σιλβανὸς τὸ ὀκλάζον ζώδιον ἰδών· ‘καιροὶ ἐπὶ τούτου, ἔφη, ἀγόνατοι ἔσονται.’ Ὁ δὲ Κύρβος τὸν δῆμον ἰδὼν εἶπεν· ‘ὦ δῆμος, δι’ ὃν δήμιοι περισσεύουσι.’ Ὁ δὲ Κράνος ἰδὼν τὸ γυμνὸν ἀνδρείκελον, περικεφαλαίαν τῇ κεφαλῇ περιφέρον, καὶ τὸν ὄνον ἔμπροσθεν εἶπεν ‘ὥς ποτε ὄνος ἄνθρωπος ἔσται,’ καὶ ‘ὦ τῆς συμφορᾶς ὅτι ἄνθρωπος ὄνῳ ἀκολουθεῖν οὐκ αἰσχύνεται.’ Πέλοψ δὲ τοὺς ὅρους τῶν ἵππων ἰδὼν ἠρώτησε· B 57 ‘τίνος τὸ πρόβλημα;’ Τοῦ δὲ Θεοδοσίου εἰπόντος· ‘Κωνσταντίνου·’ ἐκεῖνον φάναι· ‘ἢ φιλόσοφος ἄκυρος ἢ βασιλεὺς οὐκ ἀληθής.’ Ἑώρα γάρ τι ὁ φιλόσοφος θηλύμορφον ζώδιον τετραμερέσι ζωδιακοῖς γράμμασι γεγραμμένον καὶ εἶπεν· ‘ὦ τετραπέρατε, ἐξ οὗ Κωνσταντῖνος καὶ ἀπέρατοι ἔσονται.’ Κάρος δὲ προτραπεὶς εἶπε· ‘δυστυχῆ μοι τὰ πάντα φαίνεται· εἰ γὰρ ταῦτα τὰ στοιχεῖα, ὡς πειρῶνται, ἀληθεύουσιν, ἵνα τί ἡ πόλις συνέστηκεν;’ ||

**83.** ¦ Ἀσκληπιόδωρος δὲ ὁ φιλόσοφος ἐπὶ Ἀναστασίου, 491–518

**83.** Anon. Tr. p. 18, 25 ex Parast. 65

1 συμφορᾶς B ὅτι — ἀκολουθεῖ] καὶ οὐαὶ ὅταν οὕτω καὶ ἀνθρώπων ὄνοι προτιμηθήσονται, τῶν ἀνθρώπων ἐν ταλαιπωρίᾳ καὶ γυμνότητι ὀπίσω ἀκολουθούντων G (similia B) 8 ὅτι τῷ στοιχείῳ τῆς τύχης συντρέχει G 13 ἕως πότε H, ὅτι ποτὲ G, ποτὲ B, corr. ex Tr. 19 sq. ὦ τετρ. — ἔσονται] ὁ τετραπέρατος κόσμος ἐστὶ H, ὦ τετραπέρατα (τετραπείρατε B) ὅτι ἐκ σοῦ κομψοὶ καὶ ἀπέρατοι (ἀπείρατε B) ἔσονται GB; correxi ex Tr. 23 ἡ πόλις διὰ τούτων δοκεῖ συνίστασθαι; G 24 Ἀσκληπιάδης HG ὁ φιλόσοφος om. B

*ἰδὼν τὸ μέγα ζώδιον τὸ ἐν τῷ Ἱππικῷ τὴν χεῖρα κατέχον ἐπὶ τοῦ προσώπου, ἔφη· ʽὦ βία, ὅτι πᾶσα ἀνθρωπίνη ἔνδεια εἰς μίαν ἀνθρώπου φρόνησιν ἐξυμώθη.ʼ Καί τις αὐτῷ ὑπέδειξε γράμματα ἐν τῷ μαρμάρῳ· ὁ δὲ ὑπαναγνούς φησιν· ʽἀγαθὸν μὴ φθάσαι τὰ τότε μέλλοντα γενέσθαι, ὡς καὶ ἐμοὶ κέρδος ἦν τοῦ μὴ ἀναγνῶναι.ʼ* ||

**84.** | *Θεοσάρης θεὸς σέβεται· Ἄραβες δὲ μάλιστα τιμῶσι· τὸ δὲ ἄγαλμα αὐτοῦ λίθος ἐστὶ μέγας τετράγωνος ἀτύπωτος ὕψος ποδῶν τεσσάρων, εὖρος δύο, βάθος ἑνός· ἀνάκειται δὲ ἐπὶ βάσεως χρυσηλάτου. Τούτῳ θύουσι καὶ τὸ αἷμα τῶν ἱερείων προχέουσι· τοῦτο αὐτοῖς ἐστιν ἡ σπον-*
B 58 *δή· ὁ δὲ οἶκος ἅπας ἐστὶν ὁλόχρυσος· οἵ τε γὰρ τοῖχοι χρύσεοι καὶ τὰ ἀναθήματα πολλά εἰσιν. Ἔστι δὲ τὸ ἄγαλμα ἐν Πέτρᾳ τῆς Ἀραβίας· καὶ αὐτοὶ σέβονται αὐτόν.* ||

**85** (69, ξθʹ). | *Στῆλαι Περσέως καὶ Ἀνδρομέδας.* *Ἐκ τοῦ Ἰκονίου Περσέως στῆλαι καὶ Ἀνδρομέδας θυγατρὸς Βασιλίσκου, ὑπαρχούσης ὡς οἱ μῦθοί φασιν δίδοσθαι θυσίαν τῷ ἐκεῖσε ἐμφωλεύοντι δράκοντι. Οὕτως γὰρ ἦν ἐκ παλαιᾶς συνηθείας δίδοσθαι παρθένον κόρην τῷ θηρίῳ· καθʼ ἣν Ἀνδρομέδα δεθεῖσα ἔμελλε τῷ θηρίῳ βορὰ δίδοσθαι. Ὁ γοῦν προειρημένος Περσεὺς ἐκεῖσε ἥκων πύθεται κλαιούσης τῆς Ἀνδρομέδας, τί ἂν ὠδύρετο· ἡ δὲ τὸ συμβὰν ἐξ-*

---

**84.** Anon. Tr. p. 8, 20 (cod. Tisch., Suid. s. v. *Θεὺς Ἄρης*): *περὶ ἀγάλματος ἐν πέτρᾳ τῆς Ἀραβίας* (*λίθου τετραγώνου ἀτυπώτου* add. cod. Tisch.). Inc.: *Θεοσάρης* (*θευσάρης* Suid. Tisch.) *θεὸς σέβεται παρʼ αὐτοῖς, ἤγουν θεὸς Ἄρης· τόνδε γὰρ μάλιστα τιμῶσι κτλ.* **85.** Anon. Tr. p. 20, 26 ex Parast. 85

---

5 sq. *καὶ ὡς ἐμοὶ ἄρα κέρδος ἦν* B, *καὶ ἐμοὶ δὲ κέρδος ἦν* G **84.** Exstat in sola classe A 7 *θέσαβρις* A, *θησαυρὸς* Lamb., corr. ex Tr. *ἄραβες*] *ἄριστον* A, corr. Lamb. 8 *μέλας* Tr. 11 *τὸ ἱερεῖον* $A_1$, *τοῦ ἱερείου* $A_2$ *σπουδή* $A_1$ 12 *πολύχρυσος* Tr. 14 *αὐτοὶ*] *αὐτοῦ* Lamb. **85.** ACM, J, GB (verbis copiosiores, non re).

*ηγήσατο. Τοῦ δὲ καθίσαντος ⟨ἧκε τὸ θηρίον⟩· αὐτὸς δὲ Γοργόνης κεφαλὴν ἐν πήρᾳ κατέχων ὀπισθοφανῶς στραφεὶς δείκνυσιν τὸ θηρίον τὸ δηλητήριον· ὅθεν ἰδὸν ἐκεῖνο ἀπέψυξεν. Ὅθεν καὶ ἐκλήθη Ἰκόνιον ἡ πόλις παρὰ Φιλοδώρου λογιστοῦ διὰ τὸ τὸν Περσέα δεῖξαι τὴν εἰκόνα ἐκεῖσε. Ἦν δὲ τῇ πόλει ὄνομα ἀπὸ γενέσεως Δάνεια· ἔπειτα ἐκλήθη Θρηνῳδία, παρὰ δὲ Φιλοδώρου Ἰκόνιον. Ἔνθα καὶ ἐτελειώθη ὁ αὐτὸς Περσεὺς σὺν τῇ Ἀνδρομέδᾳ· ἐπάνω οὖν τῆς πύλης τῆς πόλεως ἐστηλώθησαν ἀμφότεροι. Ἤκασιν οὖν αἱ στῆλαι ἐπὶ Κωνσταντίου μετὰ τὸ πληρωθῆναι τὴν* B 59 *Ἀντιοχέων ἐκκλησίαν, ἐν τῷ μεγάλῳ τοῦ Κωνσταντίνου λοετρῷ ‖ καὶ ἔστησαν πλησίον τοῦ Τζυκανιστηρίου.*

**86** (*σξα'*). *Ἐν τῇ κατωγαίᾳ πόρτῃ τῇ πληρεστάτῃ στοιχεῖον ἵστατό τινος Φιδαλίας Ἑλληνίδος. Ἀρθείσης δὲ τῆς στήλης θαῦμα ἦν ἰδεῖν μέγα, σείεσθαι τὸν τόπον ἐκεῖνον ἐπὶ πολύ, ὥστε καὶ τὸν βασιλέα θαυμάσαι καὶ λιτὴν ἀπελθεῖν ἐν τῷ τόπῳ καὶ οὕτως παῦσαι τὸν σεισμὸν Σάβα τοῦ ὁσίου δι' εὐχῶν.*

**87** (159, *οθ'*). *Ἐπὶ ἅρματος ἵστατο εἰς τοὺς πλεκτοὺς κίονας ἐν τῇ λεγομένῃ Νεολαίᾳ στήλη γυναικεία καὶ βωμὸς*

---

**86.** Parast. 4 **87.** Parast. 5, cuius initium tantum in cod. exstat; et reliqua et c. 88 — **91** iactura folii nunc in cod. Parast. desunt

---

1 *ἧκε τὸ θηρίον* inserui ex Tr. 3 *τῷ θηρίῳ* $A_1$; sed cf. Tr. et Parast. *ὅθεν*] *ἦν* C, *ὅπερ* Tr. *ἰδὸν* F, *ἰδὼν* rell. *ἐκεῖνος* $A_2$ M 6 *δανεία* codd. praeter GB, *δαναεία* Lamb. 6 sq. *ἐκλ. θρ.*] sic B (cum Tr.), *ἐπεκλήθη θρηνώδης* G, *ἐκλήθη θρηνῳδία καὶ οὕτως ἐκλήθη θρῆνος* $A_1$, *ἐπλήσθη θρηνωδίας καὶ ἔκτοτε* (*οὕτως* $A_2$ C) *ἐκλήθη θρῆνος* J $A_2$ C 11 *ἐν τῷ κτλ.*] *ἐν τῷ τοῦ μεγάλου Κ. λοετρῷ* J, om. G **86.** A M̃, GB 14 Post *Ἑλλην.* add. G: *οἶμαι δὲ τῆς ἀρχαιοτάτης ἐκείνης γυναικὸς τοῦ Βύζαντος. Ἀρθείσης δὲ κελεύσει τοῦ βασιλέως τῆς στήλης κτλ.* 15 *θαῦμα ἰδέσθαι* G (cf. Parast.), *θαῦμα ἦν ἰδεῖν* AM 17 *σάββα* AB
**87.** ACM, GB 19 sq. *ἐπὶ ἅρματος* et *εἰς τοὺς πλεκτοὺς κίονας* om. Parast. *ἐν τῷ ἅρματι* C *πλεκτοὺς*] *λευκοὺς* $A_2$
20 *νεωλία* G *γυναικεία*] *χρυσέμβαφος* G

μετὰ μοσχαρίου· ἐν οἷς καὶ ἵπποι χρυσολαμπεῖς τέσσαρες·
ἐπὶ δίφρου καὶ διφρελάτου γυναικὸς ⟨στήλη⟩ ἐν τῇ δεξιᾷ
χειρὶ κατέχουσα στηλίδιόν τι, ἄγαλμα διατρέχον. Τοῦτο οἱ
μὲν λέγουσι Κωνσταντίνου κατασκευήν, ⟨οἱ δὲ⟩ τὴν ζεῦξιν
μόνην, τὴν δὲ λοιπὴν ἀρχαίαν εἶναι καὶ μηδὲν παρὰ Κων-
379-395 σταντίνου κατασκευασθῆναι. Ἕως γὰρ Θεοδοσίου τοῦ με-
γάλου θέαμα παρὰ τῶν πολιτῶν γέγονεν ἐν τῷ Ἱπποδρομίῳ
ἀνὰ κηρῶν καὶ λευκῶν χλαμύδων φοροῦντας πάντας εἰς-
B 60 ἔρχεσθαι τὴν αὐτὴν στήλην μόνην ἐπάνω ἅρματος ἕως τοῦ
στάματος ἀπὸ τῶν καγκέλλων. Τοῦτο δὲ ἐξετέλουν, ὅτε τὸ
γενέθλιον τῆς πόλεως ἑωρτάζετο. Ἐκεῖ δὲ ἐν ζώδοις ἐστη-
λώθησαν εἰς τοὺς κίονας ὁ Ἀδὰμ καὶ ἡ Εὔα καὶ ἡ Εὐ-
θηνία καὶ ὁ Λιμός.

**88** (96, ρκη'). *Περὶ λίμνης τοῦ Νεωρίου.* Ἐν
τῇ λεγομένῃ λίμνῃ τοῦ Νεωρίου βοῦς ἵστατο χαλκοῦς παμ-
μεγεθέστατος πάνυ· κράζειν δὲ ἔλεγον αὐτὸν ὡς βοῦν μίαν
τοῦ ἐνιαυτοῦ· καὶ γίνεσθαι παραπτώματα ἐν τῇ ἡμέρᾳ
582-602 ἐκείνῃ, ἐν ᾗ ἔκραξεν· ἐπὶ δὲ Μαυρικίου τοῦ βασιλέως ἐν
αὐτῇ τῇ λίμνῃ κατεχώσθη.

**89** (10, ια'). *Περὶ τῶν στηλῶν τῶν ἐν τῇ Χαλ-*
582-602 *κῇ.* Τοῦ Μαυρικίου στήλη καὶ τῆς γυναικὸς καὶ τῶν

---

2 διφρελάτης E, διφρηλάτου DF; καὶ διφρηλάτης ἐπὶ τοῦ δίφρου G (γυναικός om.) 3 στηλοειδές τι ἄγαλμα, ὅπερ, ὡς προεγράφη, εἰς τύχην τῆς πόλεως ὁ μέγας Κωνσταντῖνος ἐτίμησε G διατρέχον τοῦτο iungit Band. 4 οἱ δὲ om. codd., suppl. Lamb. 6 καὶ ἕως θεοδ. $A_1$G, ἕως γὰρ θεοδ. $A_2$C 7 παρὰ πολίταις C 8 ἀνὰ κηρῶν λευκῶν καὶ χλαμύδων φοροῦντας AMDF; corrigebam; ἀνὰ κηροῦ ἕκαστον καὶ λευκῶν χλαμύδων φοροῦντα E; μετὰ κηρῶν γὰρ (γὰρ om. B) λευκοφοροῦντες οἱ πολῖται καὶ ὀψικεύοντες αὐτὴν (αὐτ. om. B) ἐπάνω ἅρματος φέροντες ἦγον ἕως τοῦ στάματος GB 9 ἅρματος G, καρούχας A, ἅρμ. ἤγουν καρούχας C 10 στέμματος $A_1$ 11 ἔνζωδοι $A_2$, ἐνζωδίῳ G, ἐν ζώδοις $A_1$C 12 εἰς τοὺς δύο κίονας B **88—89.** ACM, JGB 15 χαλκὸς J παμμεγέθης AC 17 παράπτωμα $A_1$, παράπτωμά τι G 18 ἐν ᾗ — κατεχ. om. AC 21 ἡ στήλη $A_2$G καὶ τῆς γυναικός om. JG

*τέκνων αὐτοῦ ἐν τῇ Χαλκῇ ἵσταται ἄνωθεν τῆς θεανδρικῆς εἰκόνος τοῦ Ἰησοῦ Χριστοῦ· ὑπ' αὐτοῦ γὰρ κατεσκευάσθησαν. Αἱ δὲ δύο στῆλαι αἱ ἐκτεταμέναι τὰς χεῖρας ὁ εἷς τῷ ἑτέρῳ ἐκ τῆς Ἀθηναίων γῆς ἥκασιν· φιλοσόφων δέ φασιν εἶναι, ὥς φησιν Λιγύριος ὁ Ἑλληνικός.*

**89a** (σξζ'). *Μετὰ τὸ ἀποθανεῖν Μαρκιανὸν τὸν βασιλέα* 450-457
*ἐγένετο Εὐτύχους τινὸς μαθητὴς ὀνόματι Ἄκατος, διάκονος ὑπάρχων τοῦ ναοῦ τῆς ἁγίας Εὐφημίας· ὃς ἰδὼν ἡττηθέντας τοὺς κατὰ Εὐτύχην κατέλαβε Σεραπίωνα τὸ κάστρον· τοῦτο δὲ ἦν ἓν τῶν Περσῶν, Ῥήγιον τοὔνομα. Ἐμήνυσε δὲ Περιττίῳ τῷ καστροφύλακι τὰ τῆς ἀσθενείας τῶν ἐν Καλχηδόνι οἰκούντων· ὃς παρευθὺ τοῦ ἅρματος ἐπιβὰς —* B 61
*οὕτως γὰρ τοῖς ἐν Ῥηγίῳ καστροφύλαξι πέφυκε — μετὰ*

---

12 Post *οἰκούντων* pergit G et item fere B: *προσθεὶς ὅτι ἅμα τῷ καταλαβεῖν αὐτὸν τούτους χειρώσεται καὶ δῆτα ἀμηνυτὶ στρατεύσας ὁ ῥηθεὶς Πέρσης μετὰ στρατιωτῶν χιλιάδων ο' καταλαμβάνει τὴν Καλχηδόνα· οἱ δὲ ἐν αὐτῇ μόλις*

---

1 *ἄνωθεν τῆς Χαλκῆς πλησίον τῆς θεανδρικῆς εἰκόνος* Lamb. 2 *ὑπ' αὐτοῦ* — 4 *ἥκασιν*] sic JA, nisi quod A l. 3 *ταῖς χερσὶν* et l. 4 *θηβαίων* pro *Ἀθηναίων*. Misere corrupti in CMGB: *ὑπ' αὐτοῦ κατασκευασθεῖσαι αἱ ἐκτεταμέναι ταῖς χερσίν* C, *ὑπ' αὐτοῦ γὰρ κατεσκευάσθησαν αἱ β' στῆλαι αἱ ἐκτετ. ταῖς χερσίν* M, *ἐκτεταμένας τὰς χεῖρας ἔχουσαι· ὑπ' αὐτοῦ δὲ τοῦ Μαυρικίου κατεσκευάσθησαν· αἱ δὲ λοιπαὶ ἐκ τῆς τῶν Ἀθ. ἥκασι γῆς* G 4 *φιλοσοφὸν δέ φασιν ἶνε, ὡς φησὶν λιγοιρίυς, ἑλινικοῖ δὲ* J, *φιλοσόφους δέ φασιν εἶναι ὡς λέγει καὶ λιγύριος* G, *φιλόσοφος δὲ φᾱ ὁ λογύριος ἑλληνικός* $A_1$, *φιλόσοφος δὲ φησὶν ὀλγύριος ἑλληνικοὶ* $A_2$, *ὥς φησιν φιλόσοφος ὁ λογύριος ὁ ἑλληνικός* C, *φιλόσοφος περὶ τούτου φασὶν ὁλογύριος ἑλληνικός* M; correxi. **89a.** AM, GB. 6 *Μετὰ τὸ σφαγῆναι παρὰ τοῦ τυράννου Φωκᾶ Μαυρίκιον κτλ.* G 7 *εὐτυχίου* AM, cf. infra p. 198 l. 5; *εὐτυχοῦς τοῦ αἱρετικοῦ* G; *εὐτύχους* scripsi 8 *ὡς εἶδεν* $A_1$ M 9 *εὐτύχιον* AM, *τοὺς περὶ τὸν αὐτοῦ διδάσκαλον* GB, correxi *σαραπίωνα* $A_2$ M, *σεραπίωνα* $A_1$ G 10 *ἓν*] *τοῦτο δὲ ἐτύγχανεν ὂν ἓν τῶν παρὰ πέρσαις ῥηγίων* G *ἐν τῇ* $A_2$ 11 *δὲ* om. $A_1$

*ἑβδομήκοντα χιλιάδων ἔρχεται ἐπὶ τὴν Καλχηδονίων μητρόπολιν· οἱ δὲ ἐκεῖσε προγνόντες ἔφυγον ἐν τῷ Βυζαντίῳ ἄραντες μεθ' ἑαυτῶν καὶ τὰ τίμια λείψανα τῆς ἁγίας Εὐφημίας· ὅπερ αὐτὸς Ἄκατος ἀμυνόμενος διὰ τὸ μὴ συγχωρηθῆναι Εὐτύχει τὴν ἐκκλησίαν κατὰ ταύτης τὸν Πέρσην Περιττίωνα ἤγαγε. Τότε ἡρπάγη παρὰ τῶν Περσῶν ὁ Ἥλιος θεὸς ὁ λεγόμενος Κρόνος, χρυσέγκαυστος, ὃς ἵστατο ἐν Καλχηδόνι· ὃν καὶ ἀπήγαγον εἰς Περσίαν.*

**90** (σξζ′). *Περὶ στηλῶν τῶν ἐν τῷ ἁγίῳ Μωκίῳ.*

717-741 *Ἐπὶ Λέοντος τοῦ Ἰσαύρου πολλὰ θεμάτια παρελύθησαν ἀρχαῖα διὰ τὸ τὸν ἄνδρα ἀλόγιστον εἶναι.*

**91** (σξζ′). *Τότε τὸ λεγόμενον Τρίζωδον τὸ εἰς τὰ κοῦφα τοῦ ἁγίου Μωκίου κάτωθεν ὑπάρχον ἐπήρθη· ἐν αὐτῷ ἠστρονόμουν ἕως τότε πολλοί· καὶ τύμβοι Ἑλλήνων*

---

*ἴσχυσαν διαφυγεῖν εἰς Κωνσταντινούπολιν μετὰ καὶ τῶν τιμίων λειψάνων τῆς ἁ. Εὐφημίας, ὑπὲρ ἧς τὸ πλέον ἐσπούδαζεν ὁ προδότης καὶ ἀνίερος Ἄκατος ἀμῦναι θέλων διότι τοὺς τῆς αἱρέσεως αὐτῶν τόμους κατῄσχυνεν, ἅμα δὲ καὶ διότι μὴ συνεχωρήθη Εὐτυχῆ τὸν ἀτυχῆ τὴν τοιαύτην εὐτυχῆσαι μητρόπολιν. Λεηλατήσαντες δὲ πάντα τὰ ἐκεῖσε οἱ Πέρσαι ἔλαβον καὶ τὸ χρυσέγκαυστον ἄγαλμα τοῦ Ἡλίου ἐκεῖσε που τοῦ κάστρου ἑστὼς καὶ ἀπήγαγον εἰς Περσίαν καὶ ἐτίμησαν εἰς θεόν.* **91.** *Ἐν δὲ τῷ ναῷ τοῦ ἁ. Μωκίου ἐν τοῖς κούφοις ἦν τὸ τρίζωδον κάτωθεν, ἐν ᾧ καὶ ἠστρονόμουν ποτὲ οἱ Ἕλληνες, εἰδωλείου τοῦ ναοῦ ὄντος· ἀλλ' ἐπήρθη καὶ ἠφανίσθη ἱερωθέντος τοῦ ναοῦ. Καὶ τύμβοι δὲ Ἑλλήνων πολλοὶ ὑπῆρχον ἐν τῷ πάτῳ καὶ σκηνώματά τινα συγκεχωσμένα εἰς πλῆθος*: G et simil. B

---

**91.** Parast. 5d

---

4 *ὅπερ αὐτὸς*] *ἥνπερ αὐτήν*? Cf. G  5 *εὐτυχῆ* aut *εὐτυχεῖ* hoc loco codd., correxi  **90—92.** AM, JGB  10 *θεμάτια* AMG, *θοίματα* (i. e. *θύματα*) J  12 *Τό τε λεγόμενον* A  *τριέξοδον* codex aliquis Lambecii  13 *κοῦφα κάτωθεν τοῦ ἁ. Μ.* A  *ὑπάρχωντα* J  14 *ἀστρονομούντων ἕως τότε ἐκεῖσε πολλοί· ἔνθα καὶ τύμβοι* $A_1$  *Ἑλλήνων κτλ.*] *ἑλινικοῖ καὶ ἀρίων ὑπάρχον καὶ χοσμένος* J

καὶ Ἀρειανῶν ὑπάρχουσι κεχωσμένοι καὶ ἄλλα εἰς πλῆθος σκηνώματα.

**92** (σξη'). | Τὸ δὲ Πάνορμον διπλότειχον κάστρον ὑπάρχει B 62 ὑπὸ τοῦ Πανόρμου Ἕλληνος κτισθὲν δίκην σιδήρου καὶ χαλκοῦ ἀναμεμιγμένου. Ἐν δὲ τῇ πρὸς βορρᾶν πόρτῃ τοῦ αὐτοῦ κάστρου ἵστατο στυράκιον ἰκμοειδὲς καὶ στήλη γυναικεία δικέφαλος. Ἔνθα καὶ θέαμα γέγονεν· ἐμπρησμοῦ γάρ ποτε τὸ κάστρον κατειληφότος καὶ πάσης τῆς πόλεως ἐδαφισθείσης μετὰ καὶ τῶν τειχῶν ἵστασθαι τὸ πυργίον ἐκεῖνο τῆς πόρτης, ἔνθα καὶ ἡ στήλη συνίστατο. Ἀλλὰ μὴν πολλάκις καὶ τοῦ πυρὸς προσεγγίζοντος τῷ προσώπῳ, ὡς ὑπό τινος διώκοντος αὐτὸ ὄπισθεν, ὡς ὀργυιὰς ε' ὑπεχώρει τῆς στήλης. Αὕτη δὲ παρελήφθη ὑπὸ Χοσρόου τοῦ 591–628 Περσῶν τυράννου καί ἐστιν ἐν Περσίδι λατρευομένη μέχρι τοῦ νῦν. ‖ Τῷ αὐτῷ δὲ χρόνῳ ἠχμαλώτευσεν ὁ Χοσρόης καὶ τὰ Ἱεροσόλυμα λαβὼν μεθ' αὐτοῦ καὶ τὸν τίμιον καὶ ζωοποιὸν σταυρὸν σὺν τῷ πατριάρχῃ Ζαχαρίᾳ. Ὁ δὲ Ἡράκλειος 610–641 τῷ εἰκοστῷ ἔτει τῆς βασιλείας αὐτοῦ τὸν Χοσρόην ἀνελὼν καὶ τὴν αἰχμαλωσίαν ἣν ἠχμαλώτευσεν ὁ Χοσρόης, καὶ τὸν τίμιον σταυρὸν εἰς τοὺς ἰδίους ἀπεκατέστησεν τόπους καὶ σπουδῇ καὶ χάριτι θεοῦ, Μοδέστου τοῦ ἐν ἁγίοις πατριάρχου Κωνσταντινουπόλεως τοῦτο δι' εὐχῆς αὐτοῦ σπεύσαντος γενέσθαι.

---

**92.** 3—15 Parast. 6

---

3 sq. *Περὶ στήλης: τὸ κάστρον ἡ πάνορμος ὑπάρχει διπλότιχον ὑπὸ πανόρμου τινὸς ἕλληνος κτιστέν* J 4 *δίκην*] *ἐκ* JAM, *διὰ* G, rest. ex Parast. 5 *ἀναμεμιγμένον* AMJ, rest. ex Parast. 6 *ἠκμοῖδὲς* J, *ἰχμύδιον* $A_1$ M, *ἰσχμάδιον* $A_2$ 11 *μὴν πολλάκις* om. J *πυρὸς*] *ποτε* addit J *τὸ πρόσωπον* J, *τῷ προσώπῳ* AM, *τῷ τόπῳ* Parast. 15 *τῶν αὐτῶν δὲ χρόνον* J 16 *ζωοποιὸν αὐτοῦ σταυρόν* J 17 *ἡρακλῆς* J 19 *ἣν ἠχμαλώτευσεν ὁ Χ.*] nil nisi *ἅπασαν* AM 20 *καὶ σπουδῇ καὶ χάριτι θεοῦ* om. AM

**93** (257, σξθ′). *Περὶ τοῦ Ὀκταγώνου.* | *Τὸ δὲ καλούμενον Σμύρνιον πλησίον τοῦ Τετραδησίου ἐμβόλου ἔχει ὑποκάτω τῆς γῆς τὸ πρὸς βορρᾶν μέρος ὀργυιὰς ι′, στήλας θ′· ἔστι δὲ πλησίον τοῦ ναοῦ τοῦ ἁγίου Θεοδώρου τῶν Σφωρακίου. Εἰσὶ δὲ αἱ στῆλαι αἱ μὲν τρεῖς Κων-*
B 63 *σταντίνου τοῦ μεγάλου καὶ τῆς γυναικὸς αὐτοῦ Φαύστας καὶ Ἱλαρίωνος πραιποσίτου καὶ τοῦ παιδὸς αὐτοῦ τοῦ τρίτου, ὁμωνύμου Κωνσταντίνου, Κρίσκεντος ὀνομαζομένου, ὃν Ἡρόδοτος καὶ Ἱππόλυτος χρονογράφοι λέγουσιν ἀποκεφαλισθῆναι ὑπὸ τοῦ πατρὸς ‖ διὰ τὸ εἰς ὑποψίαν ἐλθεῖν ἐπὶ Φαύστῃ τῇ μητρὶ αὐτοῦ. Ἐκείνην μὲν βαλανεῖον ἐκπυρώσας ἐκέλευσεν ἔσωθεν κατακαῆναι, τὸν δὲ υἱὸν αὐτοῦ ἀποτμηθῆναι ἄκριτον διὰ ὑποψίαν τινά. Διὸ καὶ τῆς μητρὸς Ἑλένης μὴ φερούσης τὴν ἀναίρεσιν τοῦ νέου, ἤδη τῆς τοῦ Καίσαρος ἀξιωθέντος τιμῆς, ἠδολέσχει ἐπὶ τῇ ἀκρίτῳ ἀποφάσει· καὶ ἐστήλωσεν τὸν υἱὸν αὐτοῦ ὁ Κωνσταντῖνος καὶ | λυπηθεὶς μετενόησεν καὶ ἔκλαυσεν ἐπ᾽ αὐτῷ μ′ ἡμέρας καὶ μ′ νύκτας μὴ λουσάμενος τὸ σῶμα καὶ μὴ ἀναψύξας ἐν κοίτῃ. Ἐποίησεν δὲ τὴν στήλην αὐτοῦ ἐξ ἀργύρου καθαροῦ βάψας αὐτὴν ἐκ χρυσίου πλείστου, τὴν δὲ κεφαλὴν αὐτοῦ μόνην ἐκ χρυσίου τελείου, γράφουσαν ἐν τῷ μετώπῳ· ‘ἠδικημένος υἱός μου.’ Ταύτην στήσας μετάνοιαν βάλλων*

---

L. 1—10 et 17 — p. 201, 7: Parast. 7 L. 10 sqq. exscripta sunt in cod. Mosqu. Georgii Mon. p. 428 Mur; cf. Zosim. p. 85 M.; Philostorg. ed. Franchi de Caval. Studi e documenti di storia 1897 p. 95

---

**93—95.** ACMJGB 1 *Περὶ τοῦ ὀκταγώνου* praemittit solus J 2 *σμυρνίον* AME, *σμυρνεῖον* D, *σμύρνιον* F, *δισμύριον* JG 4 *δὲ* om. J 5 *τοῦ σφαρακίου* J, *τῶν σφωρακίου* A, om. Parast. *τρεῖς* omnes codd. et Parast.; idcirco corrigere nolui 8 *κρίσκ. ὀνομαζομένου* omnes codd., om. Parast. 18 *καὶ μ′ νύκτας* om. Parast. 22 *βαλὼν* $A_2$DE, *λαβὼν* J$A_1$FM, rest. ex Parast.

*ἐλιπάρει τὸν θεὸν ὑπὲρ ὧν ἐπλημμέλησεν. — Αἱ δὲ λοιπαὶ
στῆλαι ὑπάρχουσιν Σευήρου, Ἁρματίου, Ζευξίππου, Βιγλεν-
τίου τοῦ καὶ τὰ Βιγλεντίου κτίσαντος καὶ Ἐλευθερίου τοῦ
εἰς τὸ Σινάτον παλάτια κτίσαντος. Οὗτοι δὲ πάντες παρ'* B 64
*αὐτοῦ ἐστηλώθησαν ὡς ἀποτμηθέντες· οἱ δὲ Ἀρειανοὶ
εὑρόντες αὐτὰς ἐπὶ Οὐάλη κατέχωσαν ἐκεῖ τὰς αὐτὰς στήλας.* | 364–378

**94** (35, λε'). *Περὶ τοῦ Σινάτου.* | *Ἐν δὲ τῷ Σινάτῳ ἀπετέθησαν ἡνίοχοι ἐν ζευξίπποις καὶ ἐτέθησαν ἐν τῷ ἀστρονομικῷ ὀργάνῳ, ἔνθα τῆς Ἀρτέμιδος καὶ τῆς Ἀφροδίτης ἵστανται στῆλαι· ἐν αἷς σκυτάλαις ἀπεκεφαλίσθησαν ὑπὸ τῶν Ἀρειανῶν. Αἱ δὲ καροῦχαι ἐν τῷ εἰλήματι κατεχώσθησαν ὑπὸ Θεοδοσίου τοῦ βασιλέως.* ||

**95** (35, λε'). | *Οἱ δὲ δώδεκα κόφινοι τῶν περισσευμάτων δέκα ἔτη ἐν τῷ παλατίῳ τοῦ Σινάτου κατέκειντο· μετὰ δὲ ταῦτα ἐν τῷ εἰλήματι κατεχώσθησαν.* ||

**96** (36, λϛ'). *Στῆλαι τῆς ἁγίας Σοφίας.* | *Ἐν τῇ
μεγάλῃ ἐκκλησίᾳ τῇ νῦν ὀνομαζομένῃ ἁγίᾳ Σοφίᾳ στῆλαι
ἵσταντο υκζ', αἱ πλεῖαι μὲν Ἑλλήνων ὑπάρχουσαι· αἵτινες ἐκ* B 65
*τῶν πολλῶν ὑπῆρχον τοῦ τε Διὸς καὶ Κάρου τοῦ πατρῳοῦ
Διοκλητιανοῦ καὶ τὸ δωδεκάζωδον καὶ ἡ Σελήνη καὶ ἡ
Ἀφροδίτη καὶ ὁ Ἀρκτοῦρος ἀστὴρ παρὰ δύο Περσικῶν στη-
λῶν βασταζόμενος καὶ ὁ νότιος πόλος καὶ ἡ ἱέρεια τῆς*

---

**94.** Ex Parast. 8 male excerptum (cf. l. 11) **95.** Parast. 9
**96.** Parast. 11; cf. supra I 49 (p. 140, 2).

---

1 *τὸν θεὸν*] *τὸν υἱὸν* J 5 *ἀποττμιθέντα* J, *ὡς ἀποτμ.* om. ACB, *ὡς* om. G 6 *εὑρόντες αὐτὰς ἐπὶ Οὐάλη* om. Parast. 10 *στῆλαι*] *σκύταλα* vel *σκυτάλαι* codd., restitui ex Parast. 11 *ἀπεκεφαλίσθησαν*] pluralis in omnibus codd. *ἐν εἰλήματι* G, qui insuper addit *τοῦ ἱπποδρομίου*; *ἐν τὸ ἥμματι* J, om. rell. 12 *ὑπὸ*] *παρὰ* GB, *ὑπὸ* rell., *ἐπὶ* Parast. 14 *κάτω ἔκειντο* $A_2$ D 15 *ἐν* om. JAC *ἐν τῷ εἰλήματι τοῦ φόρου* G **96.** ACM, JH et, qui maiorem partem om., BG 22 *ἡ ἱέρεια* H, *ἡ ἐριβοία* J, *ἱερεῖδεια* $A_1$, *ἡ ἱερίδια* C, *ἡ ἐριδία* $A_2$

*Ἀθηνᾶς ἀπὸ τοῦ πλευροῦ τὸν Ἥρωνα φιλόσοφον μαντεύουσα. Ἐκ δὲ τῶν Χριστιανῶν ὀλίγαι μὲν ὡσεὶ π΄· καὶ δέον ἐκ τῶν πολλῶν ὀλίγας μνημονεῦσαι· Κωνσταντίνου τοῦ μεγάλου καὶ Κωνσταντίου καὶ Κώνσταντος καὶ Γαληνοῦ κυαίστορος καὶ Ἰουλιανοῦ Καίσαρος καὶ ἑτέρου Ἰουλιανοῦ ἐπάρχου καὶ Λικινίου Αὐγούστου καὶ Οὐαλεντινιανοῦ καὶ Θεοδοσίου καὶ Ἀρκαδίου τοῦ υἱοῦ αὐτοῦ καὶ Σεραπίωνος ὑπατικοῦ καὶ Ἑλένης μητρὸς Κωνσταντίνου τρεῖς· ἡ μὲν μία πορφυρᾶ διὰ μαρμάρων, ἡ δὲ ἑτέρα διὰ ψηφίδων ἀργυρῶν ἐν χαλκῷ κίονι καὶ ἡ ἄλλη ἐλεφαντώδης Κύπρου ῥήτορος*
527–565 *προσενέγκαντος· ἅστινας Ἰουστινιανὸς μερίσας τῇ πόλει τὸν ναὸν μέγιστον ἀνήγειρεν μετὰ πίστεως καὶ πόνου. Οἱ δὲ πεπειραμένοι τῶν προειρημένων περιερχόμενοι τὴν πόλιν καὶ ζητοῦντες εὑρήσουσιν οὐκ ὀλίγας.* ||

**97** (54, *νε΄*). | *Μανανιαῇ στρατηγοῦ μετὰ τὸ νικῆσαι Σκύθας κατὰ κράτος στήλη ἠξιώθη τιμηθῆναι ἐν τῷ καλουμένῳ Ὡρείῳ, ὅ τινες καλοῦσι Μόδιον· ἦν δὲ καλούμενον ὡρολόγιον· ἔνθα νῦν ἵστανται κίονες καὶ ἀψὶς πρὸς τὸν οἶκον τὸν νῦν λεγόμενον Κρατεροῦ· ἔνθα ἵσταται καὶ μόδιος χαλκοῦς καὶ ὡρεῖον καὶ δύο χεῖραι χαλκαῖ ἐπὶ ἀκοντίων.*
B 66 *Τὸν δὲ μόδιον δέον ἐστὶ μὴ παραδραμεῖν ἡμᾶς ὅτι ἐπὶ Οὐαλεντινιανοῦ ἐτυπώθη· τότε γὰρ καὶ ἀρχιμόδιον ἐπὶ τῶν ἐν τῇ Κωνσταντινουπόλει οἰκούντων ἀνηρευνήθη † τοῦτο τοῦ ἀργύρου τυπώσαντος· ἄργυρος δὲ ἀπ' ἀρχῆς ἐτυπώθη τὸ*

---

**97.** Parast. 12, ubi 17 *ἦν δὲ* — 20 *ἀκοντίων* exciderunt

---

1 *ἔχουσα μαντευόμενον* H 2 *ὡσεὶ π΄*] *ὡσίπω* J, *ὡς εἶπον* AC, *ὡς εἰπεῖν* H, rest. ex Parast. 11 *πρὸς ἐνέγκαντος θυσίαν* J 12 *πόνου* $A_2$, *πολοῦ πόθου* J, *πόθου πολλοῦ* AC
**97.** ACM 15 *μανὰκ* AEF, *μαναναή* D, cf. Parast. 18 *ἀψὶς ἦν πρὸς* C 20 *τὸ ὡρεῖον* C *χεῖρε* D, *χεῖρες* rell., v. p. 203 l. 2 ibique Parast. *ἀκόντου* C, *ἀκοντίου* M 22 *ἀρ*$^{χ}$*μωδίου* $A_1$, *ἀρχὴ μοδίων* $A_2$, *ἀρχὴ μοδίου* E, *ἀρχηγὸν μοδίου* DF, rest. ex Parast. *ἐπὶ* om. C, an *ὑπὸ*? (*παρὰ* Parast.)

*νόμισμα. Τοῦτο δὲ καὶ Θεοδώρητος διασαφεῖ τρανότατα. Αἱ δὲ χαλκαῖ χεῖραι ἔκτοτε ἄνωθεν προετυπώθησαν. Τοῦ δὲ βασιλέως τὸ κουμούλιον μόδιον νομοθετήσαντος, μὴ ἀνταίρειν δὲ τοῖς ναυτιῶσι προστάξαντος καὶ σιτηρέσια εἰς ἐξ ἀμφοτέρων τῶν ναυτῶν τῷ βασιλεῖ τὸν σῖτον ἀπεμπωλῶν ἐν τοῖς ἐκεῖσε δίκην ἄδικον καταγγείλαντος ἐν τῷ κατωγαίῳ Μοδίῳ τὴν δεξιὰν χεῖρα ἀπώλεσεν· ὅθεν καὶ ἐτυπώθησαν αἱ χεῖραι τοῖς λαμβάνουσιν καὶ τοῖς διδοῦσιν ἀμφοτέρους ἐκ τῶν προστεταγμένων μὴ ἀγανακτεῖν.* ||

**97a** (54, *νε'*). | *Ἔνθεν τοῦ αὐτοῦ Οὐαλεντινιανοῦ στήλη ἵστατο εἰς τὴν ἀψίδα, ἔξαμον ἐν τῇ δεξιᾷ χειρὶ κατέχουσα· ἡρπάγη δὲ εἰς πάκτον διὰ τὸ καὶ αὐτὴν ἀργυρᾶν εἶναι ὑπὸ Κουρίου προτίκτορος ἐπὶ Ἰουστινιανοῦ τῷ δευ*- 685-711
*τέρῳ ἔτει.* ||

**98** (*σλγ'*). *Περὶ στήλης τῶν Ἀρτοπωλείων.* | *Μενάνδρου μάντεως στήλη ἧκεν ἐν Κωνσταντινουπόλει, ἣν ἔστησαν ἐπὶ τὸν Ἀρτοτυριανὸν οἶκον εἰς θέαν διὰ τὸ εἶναι*

---

**97a.** Parast. 12 (p. 28, 12) **98.** Parast. 13

---

1 *διασαφεῖ* AE, *διασαφοῖ* DF 2 *χεῖραι* D et Parast., *χεῖρες* rell. 3 *ἀντερεῖν* $A_2$ 4 *ναύταις* EF, *ναυτιῶσιν* A, *τοῖς αὐτοῦ νόμοις* D *καὶ σιτηρέσια* $A_1$; verba sensu carent, sed ne corrigas officiunt Parast. 4 sq. *καὶ σιτηρ.—ἀπεμπωλῶν* om. $A_2$, *καὶ σιτηρ.—ἀπώλεσεν* (l. 7) om. C, qui eorum loco scribunt: *εἰς ἐκ τούτων παριδὼν τὴν πρόσταξιν καὶ ῥίγλον πωλήσαντος τὰς χεῖρας ἀπώλεσεν* *εἰς ἐξ ἀμφω τοῦ τὸ ναυτῶν* $A_1$, rest. ex Parast. 5 exspectamus *τὸν σῖτον ῥῆγλον ἀπεμπωλῶν* (cf. C et Π 51); sed repugnat cod. Parast. 8 *χεῖρες* codd., corrigebam *ἀμφότερα* AE, *ἀμφότεραι* DF, rest. ex Parast. 9 *ἐκ τῶν προστετ. μὴ ἀγαν.*] *μετὰ τῶν σιτηρεσίων κούμουλα δίδοσθαι τὰ μόδια* C **97a.** ACM, HGB 11 *εἰς τὴν ἀψίδα*] *ἐν τῇ ἀψίδι τῶν χερίων καὶ τοῦ μοδίου* H, *ἐν δὲ τῇ ἀψίδι τῇ ἐν τῷ ἀμαστριανῷ* (cf. Π 51), *ἔνθα καὶ αἱ χαλκαῖ χεῖρες ἐστήλωνται καὶ τὸ μόδιον* G, om. Parast. *ἔξαμον κτλ.*] *καὶ ἐν τῇ δεξιᾷ κατεῖχεν ἔξαμον ἀργυροῦν, ὃ καὶ ἡρπάγη ὑπὸ Κουρίου κτλ.* H, sim. G 13 *Ἰουστινιανοῦ τοῦ ῥινοτμήτου* G **98.** AM, JHGB 17 *Ἀρτοτ. οἶκον*] *εἰς τὸ ἀρτοπωλεῖον* add. G

τὴν στήλην εἰς μῆκος πηχῶν ιε', πλάτος δὲ πηχῶν η'· ἥν-
B 67 τινα χυμευτὴν ὑπάρχουσαν καὶ ἀργυροελάτην καθαρὰν Μαρκιανὸς ὁ εὐσεβὴς εἰς ἀργύρια ἐχάραξεν καὶ τοῖς πένησιν διένειμεν. ||

457-474 **99** (σξγ'). | Ἀρδαβούριος στρατηγὸς ἐπὶ Λέοντος τοῦ εὐσεβοῦς ἐν τοῖς Θρακῴοις μέρεσιν Ἡρωδιανοῦ στήλην εὑρὼν ἐπίκυρτον πάνυ καὶ παχεῖαν θυμωθεὶς ὤλεσεν· ἥντινα ὀλέσας εὗρεν χρυσίου τάλαντα, λίτρας ρλγ'· ἃ μετὰ προθυμίας τῷ βασιλεῖ κατεμήνυσεν. Ὁ δὲ ὑπ' αὐτοῦ ἐσφάττετο καὶ ὀδυνώμενος ἔλεγεν· 'οὐδεὶς μολίβδῳ χρυσὸν καταμίξας ἐπὶ ζημίας † ἠνδρίζετο, οἷα παρὰ τῷ κυρτῷ τούτῳ βασιλεῖ εἰς ἐμὲ συμβέβηκεν.' Ἔνθεν καὶ οἱ διερχόμενοι τὸν τόπον ⟨καὶ⟩ μάλιστα φιλόσοφοι οὐ τοῖς προτέροις κακοῖς ⟨τῷ θανάτῳ⟩ Ἀρδαβούριον ἔβαλον, ἀλλ' ἕνεκεν τῆς στήλης Ἡρωδιανοῦ· ὅτε καὶ Ἄσπαρ σὺν αὐτῷ τὸ πέρας ἐδέξατο. Ἄσπαρος δὲ στήλη ἐν τοῖς τοῦ Ταύρου μέρεσιν σώζεται ἕως τῆς δεῦρο ἐν ἵππῳ ἐρρωμένῳ δεξιολαβεῖ καθεζόμενος ⟨ὡς⟩ ὁρᾶται. ||

**100** (37, λζ'). | Ἐν δὲ τῷ Φόρῳ τῷ δεξιῷ μέρει τῆς ἀνατολῆς ἐδέξατο στήλας πορφυρᾶς διὰ μαρμάρων ιβ' καὶ

**99.** Parast. 14 **100.** Parast. 15

1 sq. ἣν κατεάξας ὁ εὐσεβὴς βασ. Μαρκ. εἰς ἀργύρια κτλ. G 2 καὶ om. H καὶ ἀργυροέλατον καθαρὸν J καὶ ἐλατὴν, ἀργυρὰν AM (καθαρὰν om.) 3 εἰς ἀργύρια G, ἀργύρια AJ ἐχάραξεν αὐτὴν J **99.** AM, JGB 7 post θυμωθεὶς inserit G διὰ τὸ ἀνείδεον αὐτῆς 8 post εὗρεν inserit J ἐν αὐτὸ ποσότητα 11 ἐπὶ ζημίας ἠνδρίζετο A, ἐπιζίμιος ἠνδρίζετο J, ἐπιζήμιος εὑρίσκεται (sic) G, cf. Parast. 12 Post συμβέβ. addit J καὶ οὕτως ἀπεκτάνθη 13 καὶ et τῷ θανάτῳ inserui ex Parast. 14 ἐνέβαλον $A_2$G, ἔβαλων J, ἀνέλαβεν $A_1$ 15 post Ἄσπαρ addit ὁ παραδυναστεύων τῷ τότε καὶ ἀδελφὸς αὐτοῦ B, sim. G 17 καθεζόμενος J$A_2$, καθεζομένω $A_1$, deest locus in M; καθημένη G 18 ὡς addidi, cf. Parast.

In fine addit B in marg.: Τὸν οἶκον τοῦ Ἄσπαρος εἶχε Βασίλειος ὁ παρακοιμώμενος (cf. II 71). **100 — 103.** ACM, JGB (sed GB maiorem partem c. 102 omittunt)

*σειρῆνας ιβ'· ἅστινας σειρῆνας οἱ πολλοὶ ἵππους θαλασσίους* B 68 *καλοῦσι· χρυσέμβαφοι δὲ ἦσαν. Ἐπὶ δὲ ἡμῶν ἑπτὰ μόναι καθορῶνται· τὰς δὲ τρεῖς ἐξ αὐτῶν ἐν τοῖς τοῦ ἁγίου Μάμαντος μέρεσιν τέθεικαν καὶ αἱ λοιπαὶ σώζονται.* ||

**101** (38, *λη'*). *Ἡ δὲ Τύχη τῆς πόλεως χαλκῆ μετὰ μοδίου ἵσταται ἐν τῇ ἀνατολικῇ ἀψίδι· ἣν ἔφησαν ⟨ὑπὸ⟩ Μιχαὴλ τοῦ Ῥαγγαβὲ χειροκοπηθῆναι αὐτὴν τὴν στήλην* 811-813 *διὰ τὸ μὴ ἰσχύειν τὰ δημοτικὰ μέρη κατὰ τῶν ἀνακτόρων.*

**102** (39, *λθ'*). *Περὶ τοῦ Φόρου.* | *Ἰστέον ὅτι ὁ σταυρὸς ὁ μεσοσυλλαβῶν ἀναγινωσκόμενος· 'ἅγιος, ἅγιος, ἅγιος' παρὰ τοῦ προστατοῦντος τῷ Φόρῳ ἀνηγέρθη· ἔνθεν καὶ δύο ταχυδρόμων καὶ [τῶν υἱῶν] Κωνσταντίνου καὶ Ἑλένης ἐκ δεξιῶν καὶ ἐξ εὐωνύμων σώζονται στῆλαι. Εἰς δὲ τὴν ἀνατολικὴν ἀψίδα τοῦ Κωνσταντινιακοῦ Φόρου σταυρὸς ἀργυρέμπλαστος ἐν τοῖς ἀκρωτηριακοῖς στρογγύλοις μήλοις ἐν αὐτῷ τῷ τόπῳ ⟨ὑπὸ Κωνσταντίνου⟩ ἀνηγέρθη, ὡς ἐθεάσατο αὐτὸν ἐν τῷ οὐρανῷ. Οἱ δὲ χρυσέμβαφοι υἱοί εἰσιν αὐτοῦ.* ||

**102a** (39, *λθ'*). | *Καὶ ἐλέφαντος στήλη ἵστατο φοβερὰ*

---

**102.** Parast. 16; cf. II 16 et 18. **102a.** Parast. 17

---

4 *ἔθηκαν* AC, *ἀπηνέχθησαν* G 6 *ἵσταται* om. J *ἣν ἔφησαν κτλ.*] *ἣν ἔφισαν μιχαῆλ τοῦ ῥαγαβὲ χιροκοπιθίναι αὐτὴν κτλ.* J, *ἣν μιχ. ὁ ῥαγγαβὲ παρὰ τοῦ βασιλέως κελευσθεὶς ἐχειροκόπησεν, ἵνα κτλ.* G, *ἣν ἔφη μιχαὴλ τὸν ῥαγὰν καὶ χειροκοπηθῆναι* $A_1$, *ἣν ἔφη μιχ. ὁ ῥαγᾶς καὶ χειροκ.* M, *ἣν ἔφη μιχ. ὁ ῥαγγαβᾶς χειροκοπηθῆναι διὰ κτλ.* C; *ὑπὸ* inserui 8 *διὰ τὸ μὴ κτλ.*] *ἵνα μὴ ἰσχύωσι τὰ δημοτικὰ μέρη ἐπανίστασθαι κατὰ τῶν βασιλέων* G, *διὰ τὸ μὴ ἔχειν καὶ ἰσχύειν κτλ.* $A_1$ *διμοσιακὰ* J 9 *Ἰστέον* om. codd. praeter C 11 *ἀνηγορεύθη* codd. praeter E 12 *ταχυδρόμοι* codd. praeter DF *τῶν υἱῶν* vel *τῶν β' υἱῶν*, quod codd. habent, inclusi, cf. Parast. 16 *ὑπὸ Κωνσταντίνου* om. codd., nisi quod C habet *ἀνηγορεύθη κωνσταντίνου* (*κωνσταντίνος* E, *κωνστ̆* F) *ἀνηγορεύθη* codd. praeter J

*ἐν τοῖς εὐωνύμοις μέρεσιν πλησίον τῆς μεγάλης στήλης· ἔνθα καὶ παράδοξον ἐδείκνυτο θέαμα. Σεισμοῦ γὰρ γενομένου καὶ αὐτὸς πέπτωκεν καὶ ἀπώλεσεν τὸν ἕνα πόδα τὸν ὄπισθεν. Οἱ δὲ τοῦ ἐπάρχου ταξεῶται — ἔθος γὰρ τὸν Φόρον παρ' αὐτῶν φυλάττεσθαι — συνδραμόντες ἐγεῖραι τὸν ἐλέφαντα εὗρον ἐν αὐτῷ ἀνθρώπου ὀστᾶ ἀμφότερα ὅλου τοῦ σώματος καὶ πυξίον μικρόν, οὗ ἐν τῇ κεφαλῇ*
B 69 *ἔγραφεν· 'Ἀφροδίτης παρθένου ἱέραος οὐδὲ θανοῦσα χωρίζομαι.' Ὅπερ ὁ ἔπαρχος τῷ δημοσίῳ προσέθηκεν εἰς νουμία τοῖς προαναδεδηλοκόσιν.* ||

**103** (39 et 40, *λθ'* et *μ'*). *Ἀλλὰ καὶ χοῖρος ἵστατο σημαίνων τὴν κραυγὴν τῆς πανηγύρεως, καὶ γυμνὴ στήλη σημαίνουσα τὸ ἀναίσχυντον τῶν ἀγοραζόντων καὶ τῶν πωλούντων· συστεμάτια δὲ μέσον τοῦ Φόρου ἔνζωδα ἐπὶ κιόνων ἱστάμενα καὶ ἐν αὐτοῖς δηλοῦντα τὰς ἱστορίας τῶν μελλόντων ἐσχάτως γενέσθαι ἐπὶ τὴν πόλιν. Οἱ δὲ στηλωτικοὶ τῶν ἀποτελεσμάτων ταῦτα πάντα συνιᾶσιν. Ἐστήλωσε δὲ ἅπαντα ταῦτα Ἀπολλώνιος ὁ Τυανεὺς παρακληθεὶς παρὰ Κωνσταντίνου τοῦ μεγάλου· καὶ εἰσελθὼν ἐστοιχειώσατο ὀνόματα ἐπικρατείας ἕως τέλους αἰῶνος.*

**104** (23, *κγ'*). *Περὶ τοῦ Μιλίου.* | *Ἐν τῷ λεγομένῳ Μιλίῳ Θεοδοσίου στήλη ἵσταται ἐφ' ἵππου χαλκοῦ·* ||

---

**104** l. 21 et p. 207 l. 2 sq. Parast. 18

---

3 an *τῶν ὄπισθεν*? 7 *οὗ* codd.; v. Parast. 8 *ἱέραος* J (cf. Parast.), *ἱερέως* $A_1$, *ἱερᾶ* CG, *ἱερά[illegible]ς* M *θανοῦσα* codd. (cf. Parast.) 9 *Ὁ δὲ ἔπαρχος εὔνους τῷ βασιλεῖ καὶ τῇ πολιτείᾳ τυγχάνων λαβὼν ὅλον τὸ τοιοῦτον ζώδιον εἰς προσθήκην τῷ δήμῳ νούμια ἐχάραξεν* G 11 *ἀλλὰ* om. AC *ἵσταται ἄνωθεν τῶν κατὰ συστάδην ἱσταμένων κιόνων σημ.* G 12 *κραυγὴν τῆς* om. J 14 *συστέμματα* $A_1$, *συστ. δὲ ἵστανται* G, *ἵσταντο* B, om. rell. *ἐπὶ κίονος* $A_1$ 15 *ἱστάμενα* om. G 16 *ἐσχάτων* J, *ἐσχάτως* AC 16 *Οἱ δὲ* — 20 *αἰῶνος* om. J, *Οἱ δὲ* — 17 *συνιᾶσιν* om. G 17 *συνίασιν* $A_2$C, *συνιοῦσιν* $A_1$ M, correxi 19 *καὶ εἰσελθὼν* — 20 *αἰῶνος* om. G
**104.** ACM, JB

*καὶ ἐν τῇ χειρὶ κατέχει μῆλον καὶ στήλην ἑτέραν, ἀνδροείκελον ἄγαλμα ἔχον καὶ στέφανον· | ἣν ἀνεγείρας πολλὰ σιτηρέσια τῇ πόλει δέδωκεν. ‖ Οἱ δὲ κίονες ὀκτὼ καὶ οἱ ποδίσκοι, ὁμοίως καὶ τῶν Ἀρτοπωλείων οἱ ὀκτὼ κίονες καὶ τῶν Τζυκαλαρείων ⟨καὶ⟩ τῆς Χαλκῆς ἔχουσιν ἱστορίας πολλὰς ἃς καλλύνας ἐχρύσωσε.*

**104a** (π΄). *Περὶ τοῦ Περιπάτου.* | *Ἐν τῷ Περιπάτῳ ἔφιπποι στῆλαι γένος Γρατιανοῦ ἅπαν καὶ Θεοδοσίου καὶ Οὐαλεντινιανοῦ· ἐξ αὐτῶν καὶ τοῦ κυρτοῦ Φιρμιλλιανοῦ πρὸς γέλωτα γέγονεν· καὶ σώζεται ἕως τῆς σήμερον.* ‖

**105** (60). *Περὶ τοῦ Ξηρολόφου.* | *Τὸν δὲ Ξηρόλοφον πρώην θέαμά τινες ἐκάλουν· ἐν αὐτῷ γὰρ κοχλίαι ις΄ καὶ συνθετὴ Ἄρτεμις ‖ καὶ ἕτεραι πολλαὶ εἰς τὰς ἀψίδας· ἔσχατον δὲ ἐκλήθη Θεοδοσιακὸς Φόρος καὶ ἦν μέχρι Κωνσταντίνου τοῦ Κοπρωνύμου.* B 70 741–775

**106** (256, σξδ΄). | *Ὅτι Μητροφάνους καὶ Ἀλεξάνδρου καὶ Παύλου αἱ εἰκόνες ἐν σανίσι γεγόνασιν ὑπὸ τοῦ μεγάλου Κωνσταντίνου· καὶ ἵστανται ἐν τῷ μεγάλῳ κίονι τῷ πορφυρῷ πλησίον κατὰ ἀνατολάς· ἅστινας οἱ Ἀρειανοὶ μετὰ τὸ κρατῆσαι πυρὶ παραδεδώκασιν ἐν τῷ κορωνίῳ Μιλίῳ μετὰ καὶ τοῦ τῆς Θεοτόκου ἀπεικονίσματος καὶ αὐτοῦ τοῦ νηπιάσαντος σαρκὶ Ἰησοῦ Χριστοῦ, καθὼς Ἀγκυριανὸς χρονο-*

---

**104a.** Parast. 19 **105.** L. 11—13 Parast. 20. Cf. supra II. 19 **106.** Parast. 10

---

1 *καὶ στήλην* — 2 *στέφανον* om. C; *καὶ στήλην ἑτέραν ἀνδροείκελον ἄγαλμα ἔχον* (om. *καὶ στέφ.*) $A_1$, *καὶ στίλη ἑταίρα ἀνδροήκελο ἄγαλμα ἔχων καὶ στεφ.* J, *καὶ στήλη εἴδη τὲ στεφάνων ἀνδροείκελον ἄγαλμα ἔχοντα* $A_2$ B; inde *καὶ στηλοειδές τι στεφανοῦν ἀνδρ. ἄγαλμα ἔχοντος* Lamb. 3 *ὀκτὼ* om. $A_1$ C 4 *ἀρτοπολιῶν* $A_1$ *ὀκτὼ* om. C 5 *καὶ* suppl. Lamb. *πολῆς* J **104a.** AM, JGB **105.** ABC, J 11 *Τὸν δὲ Ξ.*] *ἐν δὲ τῷ ξηρολόφῳ* codd., corr. ex Parast. 12 *κοχλιάδες* AB, *κοχλιάδας* C 13 *ἕτερα ἄλλα* C 14 *μέχρι τοῦ μεγάλου Κωνστ.* (nil ultra) codd. praeter E **106.** ABCM, G 19 sq. *μετὰ τὸ κρατῆσαι οὐάλεντα* G

*γράφος ἐν τῷ Δεκαλόγῳ αὐτοῦ καὶ Ἀναστάσιος ἡμῖν παραδέδωκαν.* ||

B 71 **107** (174, ϙϛ'). | *Ὁ δὲ ἅγιος Ἀγαθόνικος ὑπὸ Ἀνα-*
491-518 *στασίου τὸ πρότερον καὶ Ἰουστινιανοῦ τοῦ μεγάλου τὸ δεύ-*
527-565 *τερον ἀνεκαινίσθη· ἐν αὐτῷ δὲ τῷ ναῷ καὶ πατριάρχαι ἐπισκόπησαν ἑπτὰ ἐπὶ χρόνους πεντήκοντα· καὶ βασιλεῖς στεφηφοροῦσιν ἐκεῖσε. Δι' ἣν δὲ αἰτίαν μετεποιήθη † ὑπὸ θυμοῦ, οὐ γινώσκεται. Καὶ παλάτιον δὲ ἦν πλησίον τοῦ*
578-582 *ναοῦ μέγιστον· ὑπὸ δὲ Τιβερίου τοῦ πρώτου μετεποιήθη διολεσθὲν εἰς τὰ βασίλεια.* ||

**108** (227, σκθ'). | *Τὰ δὲ τείχη τῆς δύσεως τῶν μεγά-*
457-474 *λων πορτῶν ἐπὶ Λέοντος τοῦ μεγάλου καὶ εὐσεβοῦς ἀν-*
B 72 *εκαινίσθησαν· καθ' ἣν καὶ ἐλιτάνευσαν καὶ τὸ 'κύριε ἐλέησον' τεσσαρακοντάκις ἐξεβόησαν καὶ ὁ δῆμος τῶν Πρασίνων ἔκραξαν· 'Λέων Κωνσταντῖνον καὶ Θεοδόσιον εἰς κράτος ἐνίκησεν.'* || *Οὗτος γὰρ ἐνομοθέτησεν· ἡ ἁγία κυριακὴ τῇ ἀπραξίᾳ τιμᾶσθαι· πρὸ γὰρ αὐτοῦ πάντες ἔκαμνον.*

**109** (228, σλ'). | *Τὰ δὲ τείχη τὰ πρὸς τὴν θάλασσαν*
698-705 *ἀνακαινίζονται ἐπὶ Τιβερίου Ἀψιμάρου· ἕως γὰρ αὐτοῦ*

---

**107.** Parast. 2   **108** l. 11 — 16 et 109 ex Parast. 3 inverso ordine   **109.** v. ad 108

---

1 *ἐν τῶ* (sic) *δεκαλόγω αὐτοῦ* C, *ἐν τῶ ι' αὐτοῦ λόγω* $A_1$, *ἐν τῶ δεκάτω λόγω αὐτοῦ* rell.   **107 — 110.** ABCM, JGH   H titulum addit *πάλιν περὶ κτισμάτων*   3 *Ὁ δὲ ἅ. Ἀγαθόνικος ὁ μέγας ναὸς ἐκτίσθη μὲν ὑπὸ τοῦ μεγ. Κωνσταντίνου, ἀνεκαινίσθη δὲ πρῶτα μὲν κτλ.* G   5 *ἀνεκ.*] *ἐκτίσθη* E   7 *ἐκεῖσε τέσσαρες* $A_2$   *Δι' ἣν* — 10 *βασίλεια* om. J   9 *πρώτου*] *τοῦ πενθεροῦ Μαυρικίου* H   10 *διολισθὲν* codd., corr. ex Parast.   12 *ἀνεκτίσθησαν* $A_1$   15 *λέγων· κωνσταντῖνος καὶ θεοδόσιος* J, *κωνστ. ὁ μέγας καὶ θεοδόσιος καὶ λέων* G, *κωνσταντῖνος καὶ θεοδ. ὁ μέγας καὶ λέων* H; *ἑλένη καὶ κωνσταντῖνος καὶ θεοδόσιος* $A_2$C, *ἐλέησον* (sic) *καὶ κωνσταντῖνον καὶ θεοδώσιον* $A_1$; corrigebam   16 *ἐνίκησαν* omnes codd., corr. ex Parast.   *τὴν ἁ. κυριακὴν* CHG, *τῇ ἁγία κυριακῇ* J   17 *πρὸ γὰρ αὐτοῦ ἐκάμνετο* $A_1$, *πρότερον ταύτην μὴ οὕτως τιμωμένην, ἀλλ' ὡς τὰς λοιπὰς ἡμέρας οὖσαν* C

*ἠμελημένα ἦσαν πάνυ· || καὶ ἐκ δευτέρου ἀνεκαινίσθησαν
ἐπὶ Θεοφίλου.* 829–842

**110** (203, σε′). *Περὶ τοῦ ἁγίου Μωκίου.* | *Δέον
γινώσκειν ὅτι ὁ ἅγιος Μώκιος πρῶτον μὲν ὑπὸ τοῦ με-
γάλου Κωνσταντίνου ἀνῳκοδομήθη Ἑλλήνων πλήθη ἐκεῖσε
κατοικούντων πολλά· καὶ ναὸς ἦν τοῦ Διός, καθὼς καὶ ἐκ
τῶν αὐτῶν λίθων ἐκτίσθη ὁ ναός. Ἐν δὲ ταῖς ἡμέραις
Θεοδοσίου τοῦ μεγάλου ἐξορίζονται οἱ Ἀρειανοὶ ἀπὸ τῆς* 379–395
*ἁγίας ἐκκλησίας καὶ ἐλθόντες ἐν τῷ ναῷ τοῦ ἁγίου Μω-
κίου ἠράσθησαν καὶ παρακαλοῦσι τῷ βασιλεῖ κατοικεῖν αὐ-
τοὺς ἐκεῖ, ὃ καὶ γέγονεν. Παρευθὺ οὖν ἀνεγείρουσι τὸν
ναὸν οἱ Ἀρειανοὶ καὶ δοξάζεται παρ᾽ αὐτῶν ἔτη ζ′· καὶ
πίπτει λειτουργούντων αὐτῶν ἐν τῷ ζ′ ἔτει, καθ᾽ ὃν πολλοὶ
Ἀρειανοὶ ἀπεκτάνθησαν. Ἐν δὲ ταῖς ἡμέραις Ἰουστινια-* 527–565
*νοῦ τοῦ μεγάλου ἀνεγείρεται ὁ αὐτὸς ναὸς καὶ ἵσταται ἕως
ἡμῶν.*

---

**110.** Parast. 1

---

6 sq. *ἐκ τῶν αὐτῶν λίθων* A, *ἐκ τῶν αὐτοῦ λίθων* C, om. JHG (J habet: *διὰ τὸ ἵναι τῶν ναὸν τούτον πρότον τοῦ διὸς ἱερῶν· ἀφοῦ δὲ κατεστράφι παρὰ τοῦ μεγάλου κωνσταντίνου ἐκτήσθη ὁ νῦν περιὸν ναός*, sim. H.) 8 sq. *ἀπὸ τῆς ἐκκλησίας* G, *ἀπὸ τῆς μεγάλης ἐκκλησίας* H 12 *καὶ πίπτει*] *εἶτα σεισμοῦ γεγονότος πίπτει* G

## IIa.

## *Περὶ συνόδων.*

325 **1.** *Σύνοδος ἐν Νικαίᾳ τοῦ ἁγίου Κωνσταντίνου.* Ἡ πρώτη σύνοδος γέγονεν ἐν τῇ Νικαίᾳ τῆς Βιθυνίας ὑπὸ τοῦ μεγάλου Κωνσταντίνου συνελθόντων τῶν τριακοσίων δέκα καὶ ὀκτὼ ἁγίων πατέρων καὶ Σιλβέστρου πάπα Ῥώμης· οἳ καὶ καθεῖλαν Ἄρειον, ὅστις ἦν πρῶτος πρεσβύτερος Ἀλεξανδρείας· τὸν γὰρ κύριον ἡμῶν Ἰησοῦν Χριστὸν ψιλὸν ἄνθρωπον ἔλεγεν εἶναι· Ἴβηρες δὲ καὶ Ἰνδοὶ τότε ἐχριστιάνισαν. Ἐπὶ δὲ τούτου εἰςῆλθον καὶ τὰ λείψανα τῶν ἁγίων Ἀποστόλων· ἐβούλετο δὲ καὶ τὴν τοῦ καλουμένου χρυσαργύρου συντέλειαν ἐκκόψαι, ἣν ἀπὸ τῆς πρεσβυτέρας Ῥώμης ἡ πόλις κατέλαβεν.

381 **2.** *Σύνοδος δευτέρα.* Σύνοδος δευτέρα Θεοδοσίου τοῦ μεγάλου ἐν Κωνσταντινουπόλει τῶν ρν΄ ἁγίων πατέρων καὶ Δαμάσου πάπα Ῥώμης καὶ Νεκταρίου Κωνσταντινουπόλεως καὶ Γρηγορίου τοῦ θεολόγου κατὰ Μακεδονίου τοῦ πνευματομάχου· τὸ γὰρ ἅγιον πνεῦμα οὐκ ἔλεγεν θεόν,

---

De synodis quae narrantur exstant in JA. Cf. Glycas p. 502 sqq.; cod. Parisin. 1712 f. 4r

---

Titulus *περὶ συνόδων* deest in J 9 *ἴβερις* J 10 *τούτο* J 13 A addit *καὶ τὴν τελουμένην βολὴν ὑπὸ τῶν ἐξ ἀνάγκης τὴν τοῦ πραίτωρος ὑποσειόντων* (*ὑπεισιόντων*?) *ἀξίαν, εἰ μὴ τοῦτον ταχὺ ὃν τὸ τέλος τοῦ βίου κατέλαβεν* 14 *δευτέρι* priore loco J 16 *δαμασκοῦ* J 17 *γρηγορίου*] *γί* (sic) J

ἀλλὰ ἀλλότριον τῆς θεότητος· ἥτις καὶ προέθηκεν τὸ σύμβολον τῆς πίστεως οὕτως· ʽκαὶ εἰς τὸ πνεῦμα τὸ ἅγιον τὸ κύριον καὶ ζωοποιόν.᾿ Ἐπὶ τοῦ αὐτοῦ τοῦ μεγάλου Θεοδοσίου ἀπετέθησαν λείψανα εἰς τὸν ναὸν τῆς ἁγίας Εὐφημίας Τερεντίου καὶ Ἀφρικανοῦ· καὶ τοῦ προφήτου Σαμουὴλ τὸ ἅγιον λείψανον εἰςῆλθεν ἐν τῇ πόλει ἐπὶ Ἀρκαδίου τοῦ υἱοῦ αὐτοῦ καὶ ἐτέθη εἰς τὸν ναὸν τοῦ Ἑβδόμου· ὁ δὲ Ἀττικὸς ἦν πατριάρχης τῷ τότε καιρῷ καὶ κατέθετο ταῦτα ὡς εἴρηται εἰς τὸ Ἕβδομον.

**3.** Σύνοδος τρίτη. Ἐπὶ Θεοδοσίου τοῦ μικροῦ γέ- 431
γονεν ἡ τρίτη σύνοδος ἡ ἐν Ἐφέσῳ τῶν διακοσίων ἁγίων πατέρων, ἐπὶ καθαιρέσει Νεστορίου· τὸν γὰρ Χριστὸν καὶ αὐτὸς ψιλὸν ἄνθρωπον ἔλεγεν εἶναι· οἳ καὶ συνελθόντες ἀνεθεμάτισαν αὐτόν· καὶ τελείως ἐκήρυξαν καὶ ἐδίδαξαν τὴν ἀθόλωτον πίστιν τὴν ἐν τριάδι θεότητα ἀνυμνουμένην ἀεί.

**4.** Σύνοδος τετάρτη. Ἐπὶ Μαρκιανοῦ καὶ Οὐαλεν- 451
τινιανοῦ γέγονεν ἡ τετάρτη σύνοδος ἐν Καλχηδόνι τῶν ἑξακοσίων τριάκοντα ἁγίων πατέρων, Λέοντος πάπα Ῥώμης καὶ Ἀνατολίου Κωνσταντινουπόλεως κατὰ Διοσκόρου Ἀλεξανδρέων πατριάρχου καὶ Εὐτυχοῦς ἀρχιμανδρίτου· οὗτοι γὰρ τὴν ἐνανθρώπησιν τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ παρῃτοῦντο καὶ ἐν φαντασίᾳ αὐτοῦ τὴν σάρκα ἐμυθολόγουν.

**5.** Σύνοδος πέμπτη. Ἐπὶ δὲ Ἰουστινιανοῦ τοῦ με- 553

---

1 προςέθηκε τῷ ἁγίῳ συμβόλῳ A 4 τῆς ἁ. Εὐφημίας — εἰς τὸν ναὸν om. A 12 καθαιρέσεως A 15 ἀδώλοτον J, ἀθ. καὶ εἰλικρινῆ καὶ τελείαν καὶ ἀμώμητον πίστιν A (sim. Paris. 1712) ὑμνουμένην A 17 οὐάλεντος J 18 ἐν καλχηδόνος J 20 κατὰ] καὶ J 23 αὐτῶν τὴν σάρκαν J. 24 In fine addit Paris. 1712: καὶ μίαν θέλησιν ἐπὶ τῆς ὑποστάσεως ἐφλυάρουν ἀεί· ἡ δὲ ἁγία σύνοδος αὐτοῦ δύο φύσεις καὶ δύο θελήσεις ἐδογμάτισεν.

*γάλου γέγονεν ἡ πέμπτη σύνοδος ἐν Κωνσταντινουπόλει τῶν ἑκατὸν ἑξήκοντα ἁγίων πατέρων καὶ Εὐτυχίου ἀρχιεπισκόπου Κωνσταντινουπόλεως· οἳ καὶ καθεῖλον Ὠριγένην, Εὐάγριον καὶ Δίδυμον τοὺς παράφρονας· τὰ γὰρ σώματα ἡμῶν μὴ ἀνίστασθαι ἐδυσφήμουν καὶ παράδεισον αἰσθητὸν μὴ γενέσθαι ὑπὸ τοῦ θεοῦ μήτε εἶναι· καὶ ἐν σαρκὶ μὴ πλασθῆναι τὸν Ἀδάμ, καὶ τέλος εἶναι τῆς κολάσεως καὶ δαίμονας ἐλθεῖν εἰς τὴν ἀρχαίαν ἀποκατάστασιν.*

680 **6.** *Σύνοδος ἕκτη. Ἐπὶ δὲ Κωνσταντίνου καὶ Ἡρακλείου καὶ Τιβερίου [υἱοῦ αὐτοῦ] γέγονεν ἡ ἕκτη σύνοδος τῶν ἑκατὸν πεντήκοντα ἁγίων πατέρων, ἐπὶ Ἀγάθωνος πάπα Ῥώμης, κατὰ Κύρου Ἀλεξανδρείας, Σεργίου καὶ Πύρου, Πέτρου καὶ Παύλου Κωνσταντινουπόλεως γενομένων ἐπισκόπων· οὗτοι ἀπετόλμησαν εἰπεῖν ἓν θέλημα καὶ μίαν ἐνέργειαν τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστὸν ἔχειν καὶ μετὰ σάρκωσιν, τὸν σύνδεσμον τῆς ὀρθοδοξίας διαλῦσαι βουληθέντες οἱ παράφρονες· συνῆσαν δὲ αὐτοῖς καὶ Μακάριος ὁ νομοθέτης Ἀντιοχείας καὶ Ἰσίδωρος, φησίν, ὁ μαθητὴς αὐτοῦ.*

787 **7.** *Σύνοδος ἑβδόμη Εἰρήνης. Ἐπὶ Εἰρήνης τῆς μητρὸς Κωνσταντίνου τοῦ τυφλοῦ γέγονεν ἡ ἑβδόμη σύνοδος τῶν ἁγίων τη' πατέρων ἐπὶ Ταρασίου πατριάρχου Κωνσταντινουπόλεως ἐν τῇ Νικαέων πολίχνῃ, ἐπὶ τῇ καθ-*

---

**6.** Cf. Georg. Mon. p. 726, 11 de Boor

---

2 *τῶν ἑκατὸν* — 3 *Κωνσταντινουπόλεως* om. A  4 *εὐάγριον* om. J  10 *υἱοῦ αὐτοῦ* JA Paris. 1712; seclusi; etenim Heraclius et Tiberius sunt fratres Constantini Pogonati imperiique socii  12 *κατὰ* om. J  *ἀλεξάνδρου* A Paris. 1712  *Πύρου* et 13 *Παύλου* om. A Paris. 1712  22 *τη'* om. J Paris. 1712  *ἐπὶ*] *καὶ* J  23 *ἐν τῇ καθερέσι* J, *ἐπὶ καθαιρέσεως* A

*αιρέσει Θεοδοσίου· παρ' ἧς δὲ καὶ ἐξέθεντο ὅρους τῆς ἁγίας πίστεως.*

8. *Σύνοδος ὀγδόη Θεοδώρας καὶ Μιχαὴλ τοῦ* 843 *υἱοῦ αὐτῆς. Ἐπὶ Θεοδώρας Αὐγούστης μετὰ θάνατον Θεοφίλου τοῦ ἀνδρὸς αὐτῆς σὺν Μιχαὴλ τῷ υἱῷ αὐτῆς γέγονεν ἡ ὀγδόη σύνοδος ἐν Κωνσταντινουπόλει τῆς ὀρθοδοξίας· ἥτις ᾄδεται ἕως τῆς σήμερον.*

---

1 *ἐξέθετο* J; *παρ' οἷς ἐξέθεντο ὅροι πίστεως* A, *παρ' ἧς ἐξέθεντο ὅρους πίστεως* Paris. 1712  7 In Parisino 1712 insuper aliae tres synodi adiciuntur.

## III.

B 73 ## *Περὶ κτισμάτων.*

**1** (106, ρλθ'). *Κωνσταντῖνος ὁ μέγας ἀνήγειρεν τὴν ἁγίαν Εἰρήνην τὴν παλαιὰν καὶ τὴν ἁγίαν Σοφίαν δρομικὴν καὶ τὸν ἅγιον Ἀγαθόνικον καὶ τὸν ἅγιον Ἀκάκιον. Τοὺς δὲ ἁγίους Ἀποστόλους ἔκτισεν ἡ μήτηρ αὐτοῦ σὺν αὐτῷ δρομικὴν ξυλόστεγον ποιήσασα καὶ μνημοθέσιον τῶν βασιλέων ἐν ᾧ κεῖνται καὶ αὐτοί.*

B 72 **2.** (204, σϛ'). *Τὸν δὲ ἅγιον Μηνᾶν καὶ τὸν ἅγιον Μώκιον εὗρεν ὅτι ἦσαν ναοὶ εἰδώλων. Καὶ τὸν μὲν ἅγιον*

---

**2.** *Τὸν ἅ. Μηνᾶν καὶ τὸν ἅ. Μώκιον εὗρεν ὅτι ἦσαν ναοὶ εἰδώλων καὶ ἐποίησε θείους ναούς. Τὴν ἁγίαν* Εἰρήνην τὴν εἰς τὸ Πέραμα *ἀνήγειρε Πουλχερία καὶ μετὰ ρξθ' χρόνους Μαρκιανὸς εἰς μῆκος τὸ νῦν ὁρώμενον ἐπανήγειρεν ἅμα τοῖς προσοῦσιν αὐτῷ σκεύεσιν ἱεροῖς* G

---

1 Titulus deest in CMB, ante II 107 (*πάλιν περὶ κτισμάτων*) ponitur in H; *περὶ κτισμάτων* J, *περὶ κτισμάτων ναῶν καὶ ἑτέρων* A, *περὶ κτισμάτων καὶ ναῶν τῶν ἐν τῇ πόλει κτισθέντων* G **1.** ACM, JHG 2 *τὴν ἁ. εἰρ. τὴν παλαιὰν* AJHC; *τὴν ἁ. εἰρ. τὸ παλαιὸν πατριαρχεῖον* G; post *παλαιὰν* add. *τὸ πατριαρχεῖον* C 3 *δρομικὴν* om. C 4 *καὶ τὸν ἅ. Ἀκ.* om. $A_1$ D; post *Ἀκ.* add. *τὸ ἑπτάσκαλον* JHG, *τὸν πλησίον τῶν οἰκημάτων τοῦ μεγάλου κωνσταντίνου* E 5 post *αὐτοῦ* add. *ἑλένη* AC *σὺν αὐτῷ* om. $A_1$ G 6 *ξυλόστεγον* om. G *ποιήσασα* H, *ποιήσας* J, *σὺν αὐτῷ δὲ ποιεῖ* $A_1$, *ποιήσαντες* $A_2$ 7 *κεῖνται καὶ αὐτοί* J (sim. H), *καὶ αὐτὸς κεῖται* A (sim. C) **2—6.** ABCM, JHG 8 Initium depravavit C: *ἐκ τοῦ ἁ. Μωκίου καὶ τοῦ ἁ. Μηνᾶ ἐδίωξε τὰ ἀγάλματα κτλ.* 9 *ἦσαν* $A_2$ H, *εἰσὶν* J

*Μηνᾶν καθὼς ἦν εἴασεν, ἐδίωξεν δὲ τὰ ἀγάλματα καὶ ἐπωνόμασεν αὐτὸν οὕτως· τὴν δὲ τελείαν αὐτοῦ ἀνοικοδομὴν ἐποίησεν μετὰ ρξθʹ χρόνους Πουλχερία καὶ Μαρκιανὸς σὺν* 450-457 *τοῖς προαστείοις καὶ ἱεροῖς σκεύεσι.*

**3** (204, *σςʹ*). *Ὁ δὲ ἅγιος Μώκιος ὑπῆρχεν ἄλλα δύο μήκη εἰς μέγεθος παρ' ὅ ἐστιν, ἀλλ' ἔκοψε τὸ δίμοιρον μέρος τοῦ ναοῦ καὶ ἀνήγειρεν τὸ θυσιαστήριον Κωνσταντῖνος ὁ μέγας καὶ ἡ τούτου μήτηρ Ἑλένη· διότι δὲ ἀνηρέθη ὁ ἅγιος Μώκιος ἐκεῖσε, τούτου χάριν ἀνήγειρεν καὶ τὸν ναὸν ὡς ἴδιον αὐτοῦ καὶ τὸ σῶμα αὐτοῦ ἐκεῖσε ἔφερεν.*

**4** (221, *σκβʹ*). *Ἡ ἁγία Ἑλένη ἔκτισεν τὴν Βηθλεὲμ* B 73 *καὶ τὰ Γαστρία. Καλοῦνται δὲ τὰ Γαστρία οὕτως, ὅτι κομίσασα ἀπὸ Ἱερουσαλὴμ τὸν τίμιον σταυρὸν εἰσήγαγεν αὐτὸν ἀπὸ τῆς πόρτας τοῦ Ψωμαθέου· καὶ τὰ εὑρεθέντα ἐκεῖσε ἐπάνω τοῦ σταυροῦ κρίνα τε καὶ φύλλα καὶ κῶνστοι καὶ βασιλικὰ καὶ τριαντάφυλλα καὶ σάμψυχα καὶ βαλσάματα, ἐφύτευσεν αὐτὰ εἰς γάστρας διὰ τὸ διασῶσαι αὐτά· καὶ ἐκεῖσε εἰς τὴν μονὴν ἀπληκεύσασα ὠνόμασε τὸν τόπον Γαστρία καὶ μονὴν ἀνήγειρεν.*

---

1 *αὐτὸς*] *αὐτοῖς* codd. praeter H, *ὁ βασιλεὺς* B *ἀνήγειρεν* $A_2$, *ἀνήγειραν πάραυτα* $A_1$ 2 *ἐνεφάνη* J, *ἐνεφανίσθη* HB, *ἐνεφάνισεν ἑαυτόν* E, *ἐνεφάνισεν* rell. *αὐτῷ* $A_1$ F, om. JB, *αὐτοῖς* H, *αὐτόν* $A_2$ D, *τῷ βασιλεῖ* E 3 $πε^{τρ}$ $A_1$, 5 *Τὰ δὲ γηραγάθου* C *τοῦ Πετρίου* om. AC, *τοῦ πετρίου* om. et *πέτρου* ante *πατρικίου* inserit H (cf. B: *τὰ δὲ γηραγ. τοῦ πέτρου καὶ τὸ γηρωκ. πατρικία πέτρου θυγάτηρ κτλ.*) 6 *ἔκτισε* H, om. JA 7 *γραῦς* — 8 *Γηραγ.* om. J *αὐτῇ* $A_1$ 9 *διέφθειρε* AH 12 *τῆς ἁ. εἰκόνος* J 13 *θεήλατος*] *μισόχριστος* AC 14 *τοῦ θεοῦ* om. AC 17 *μοναχοὺς καθεζομένους . . . κατέκαυσεν καὶ τὸν ναόν* AC

*τὸ μὴ κοινωνεῖν αὐτοὺς τῆς μυσαρᾶς θρησκείας αὐτοῦ κατέκαυσεν σὺν τῷ ναῷ καὶ αὐτούς· καὶ ἀναλύσας ὁ μόλιβδος τῆς ἐκκλησίας κατῆλθεν ἕως τὸν αἰγιαλὸν τῶν Σοφιῶν. Ἵστατο δὲ ἐκεῖσε πέρδιξ χαλκῇ ἐν καμάρᾳ στηλωθεῖσα παρὰ τοῦ μεγάλου Κωνσταντίνου.*

**70** (149, ρπδ′)· *Τὰ δὲ Ἀντιόχου οἶκος ἦν Ἀντιόχου
πατρικίου καὶ πραιποσίτου καὶ βαιούλου Ἀρκαδίου τοῦ βα-* 395-408
*σιλέως τοῦ πολλὰς ἀρχὰς διανύσαντος ἐν τῇ δόξῃ αὐτοῦ·* B 95
*πλούσιος δὲ σφόδρα γενόμενος πτωχὸς ἐτεθνήκει διὰ τὴν
ἀδικίαν, δόλιος ἐπὶ τοῖς πᾶσι φανείς.*

**71** (148, ρπβ′). *Ὁ ἅγιος Ἠσαΐας καὶ Λαυρέντιος
ἐκτίσθησαν παρὰ Μαρκιανοῦ καὶ Πουλχερίας· τὸ δὲ ἅγιον* 450-457
*σῶμα τοῦ προφήτου Ἠσαΐα ἦκεν ἀπὸ Ἱερουσαλήμ.*

**72** (117, ρμθ′). *Τὰ Δεξιοκράτου οἶκος ἦν Δεξιο-
κράτου πατρικίου ἐν τοῖς χρόνοις Θεοδοσίου τοῦ μικροῦ·* 408-450
*ἐν ᾧ καὶ ναὸν καὶ γηροκομεῖον ἀνήγειρεν.*

**73** (117, ρμθ′). *Τὰ Καριανοῦ τὸν ναὸν καὶ τὸ γηρο-
κομεῖον ἀνήγειρεν Μαυρίκιος ὁ βασιλεὺς σὺν τῶν ἐμβόλων·* 582-602
*οἶκος δὲ ἦν ἐκεῖ Καριανοῦ πατρικίου καὶ ἐξ αὐτοῦ εἴληφεν
ὁ τόπος τὴν προσηγορίαν.*

**74** (151, ρπε′). *Τὸν δὲ ναὸν τὸν μέγαν τῶν Βλαχερ-
νῶν Μαρκιανὸς καὶ Πουλχερία ἀνήγειρεν κοσμήσας αὐτὸν* 450-457

---

1 *ἐσθήσει τε καὶ θρησκείᾳ* D 2 *κατέκαυσεν ὁ καβαλῖνος* C 4 *πέριξ στήλη χαλκῆ* $A_1$, *πέρδικες χαλκαῖ* D, *πέρδιξ χαλκοῦς στηλωθεὶς* HB *στηλωθ. κτλ.* om. C 7 ⟨*Θεοδοσίου τοῦ υἱοῦ*⟩ *Ἀρκαδίου* Lamb. coll. Zonara XIII 22 aliisque locis 9 *τέθνηκεν διὰ τὸ ἄδικον καὶ ἐπιβαρῆ γενέσθαι καὶ δόλιον* AC 11 Titulus est in CM *περὶ τῆς πλατείας* 12 *πλουχερίας* J 13 *ἠσαίου* H 14 *δεξιοκρα^τ′* utroque loco $A_1$, *δεξιοκράτις* et *δεξιοκράτου* J, rell. variant inter *-ους* et *-ου* 17 *τὰ — ἀνήγειρεν* om. $A_1$ C 18 *σὺν τοῖς ἐμβόλοις* AC, *σὺν τῶ ἐμβόλω* HB 19 *καρπιανοῦ* C **74—75.** ACM, JHGB 22 *πλουχαιρία* J

*διὰ πολυτελῶν μαρμάρων ποικίλων· βλάχνα γὰρ ἦσαν ἐν τῷ τόπῳ καὶ ἐκόπησαν· καὶ εἶθ' οὕτως ἐκτίσθη ὁ ναός.*
B 96 *Ἢ ὅτι λακκώδης ὁ τόπος ἐτύγχανεν καὶ ἐκλήθη βλαχέρναι καὶ λακέρναι διὰ τὸ εἶναι πολλὰ ὕδατα.*

**75** (152, 153, *ρπϛ', ρπζ'*). *Τὴν δὲ ἁγίαν σορὸν ἀν-*
457-474 *ήγειρεν Λέων Μακέλλης, διότι ἐν τοῖς χρόνοις αὐτοῦ τῆς θεοτόκου ἐφάνησαν ἴχνη πολλὰ καὶ θαύματα γεγόνασιν εἰς πλῆθος. Ὁ αὐτὸς δὲ ἔκτισεν καὶ τὸ λοῦμα καὶ ἐπεκύρωσεν κτήματα πολλὰ καὶ σκεύη καὶ κειμήλια χρυσᾶ τε καὶ*
610-641 *ἀργυρᾶ. Ἐξώπορτα δὲ ἐτύγχανεν· ἐπὶ δὲ Ἡρακλείου περιεκλείσθησαν γενομένων ἐκεῖσε θαυμάτων καὶ ὀπτασιῶν πολλῶν τῆς ἁγίας θεοτόκου.*

---

**74.** l. 1 sqq. Cf. Etymol. Parvum p. 323 Miller: *Βλαχέρνα· οἱ μὲν λέγουσιν ὅτι ἀπὸ τοῦ βλάχνου* (correxi, *βλάχνειν* ed.) *Βλάχερνα, ἐπειδὴ βλάχνα ἦσαν ἐκεῖ καὶ ἔκοψαν αὐτὰ καὶ οὕτως ἐκτίσθησαν· ὁ δὲ ἀντιγράφων Θεόκτιστος* (*Θεοφύλακτος* Et. Gud.) *λέγει αὐτὰ λακέρναι* [1]), *ἐπειδὴ λέγονται Ῥωμαϊστὶ αἱ θύνναι καὶ ὅτι ἐν τῷ μέρει ἐκείνῳ ἐπιάσθησαν πολλαὶ θύνναι.* Cf. Theophyl. Simoc. VIII 5, 1, qui nomen deducit a Virginis lacerna.

---

1 *ἦσαν πρὸ τοῦ κτισθῆναι* G  3 *λάκος* D  post *ἐτύγχανεν* add. CM *καί ποτε ἐναποκλεισθέντα λακέντια* (an *λακέρτια*? cf. quae dixi in nota 1) *ἠγρεύθησαν καὶ ἐκ τούτου ἐκλ. κτλ.*  *βλαχέρνα καὶ λακαῖρναι* D, *βλαχέρναις καὶ λαγκέρναις* J, *βλαχέρναι καὶ λακέρναι ἴσως* H, *βλαχέρνα ἤγουν λακκέρναι* G  *βλαχέρναι καὶ* om. FM  4 In fine addit B *ἢ ὅτι βλάχου τινὸς κέρδος* (*κέρμα* $B_1$; neutrum quid sit scio) *ἦν ἐκεῖσε*  6 *διότι ἐν τ. χρ. αὐτοῦ ἐφανερώθη ἡ ἁγία ἐσθὴς καὶ ζώνη* G, (. . . *ἐφανερώθη ἡ ἁγία, σωροῦ τινος ὄντος ἐν τῶ τόπω κτλ.* B)  *τῆς θεοτόκου* om. AC  7 *ἐφ. παρευθὺς καὶ ἴχνη* AC  *ἴχνη καὶ πολλὰ ἅγια θαύματα κτλ.* C *εἰς τέλος* AC  10 *ἐπὶ δὲ*] *καὶ ὑπὸ* G  *περιεκτίσθησαν* $A_2$, *ἐκτίσθησαν* $A_1$ C, *περιεκλείσθη* HG  11 *ὀπτασιῶν*] *ἰάσεων* G 12 *τῆς ἁ. θεοτ.* om. HG

---

1) An *λακέρδαι*? Hodiernis Graecis est *λακέρδα* thynnus; sed Romanis 'lacertae' aliud genus piscium fuisse videtur. Cf. codd. CM ad l. 3

**76** (143, ροε′). *Τὸ δὲ Χρυσοβάλανον οἶκος ἦν Νικολάου δομεστίκου τῆς ἀνατολῆς καὶ πατρικίου· καὶ ἀνήγειρεν ναοὺς δύο, τὸν Ἀρχιστράτηγον καὶ τὸν ἅγιον Παντελεήμονα. Χρονίσαντος δὲ ἐν τῷ ταξιδίῳ ἡ σύμβιος αὐτοῦ ἐμοιχᾶτο· εἰσελθὼν δὲ ὁ δομέστικος ἐν τῇ πόλει καὶ μαθὼν τοῦτο καὶ κοιτάσας ἀμφοτέρους μεληδὸν αὐτοὺς κατέκοψεν. Ἔσχατον δὲ εἰς ἔννοιαν ἐλθὼν τοῦ φοβεροῦ κριτηρίου ἀνήγειρεν τοὺς ναούς. Ἐλθὼν δὲ εἰς τέλος τοῦ κτίσματος καὶ ἀδημονῶν διὰ ποσότητα χρυσίου, ὤφθη αὐτῷ κατ᾽ ὄναρ ὁ ἄγγελος λέγων αὐτῷ· ʽἄπελθε εἰς τὴν Ἀσπάρου πλησίον καὶ εὑρήσεις βαλάντιον ἔχον χρυσίου λίτρας ἑκατόν.᾽ Εὑρὼν δὲ αὐτὸ ἐκέλευσεν οὕτως τὸν τόπον καλεῖσθαι.* B 97

**77** (213, σιε′). *Ἡ δὲ μονὴ τῆς Εὐφροσύνης τὰ Λιβάδια ἐκτίσθη παρὰ Εἰρήνης τῆς Ἀθηναίας μικρὰ καὶ* 797-802
*πενιχρά. Ὁ δὲ Μιχαὴλ ὁ υἱὸς Θεοφίλου εἰς ἔχθραν ἐλθὼν* 847-867
*μετὰ τῆς μητρὸς αὐτοῦ καὶ τῶν ἀδελφῶν ταύτας κατεβίβασεν ἐκ τοῦ παλατίου καὶ ἐκεῖσε εἰςήγαγεν καὶ μοναχὰς ἐποίησεν πλουτίσας τὴν μονὴν καὶ κτήματα πολλὰ παρασχών. Ἀπὸ δὲ τῆς ἀδελφῆς αὐτοῦ Εὐφροσύνης ἐκλήθη οὕτως.*

**78.** *Ὁ δὲ ἅγιος Γρηγόριος τὸ Ξηροκήπιον ἐν τοῖς χρόνοις τοῦ μεγάλου Θεοδοσίου παρὰ πατρικίου τινὸς ἐκτίσθη.* 379-395

---

**76.** ACM, JHB 1 *χρυσοβάλαντον* $A_2$, *χρυσοβάλανδον* B *νικολάου*] *νικήτα* H 2 *ἀνήγειρε δὲ αὐτὸν εἰς δύο ναοὺς* H, sim. B 4 *ἐμοίχευσεν* $A_2$C, *ἐμοιχεύθη* $A_1$, *ἐμοιχεύετο* HB, *ἐμοιχᾶτο* J 6 *κοιτάσας*] *παρατηρήσας καὶ συλλαβὼν* H 8 *καὶ* om. J 9 *ποσότητα χρυσικὴν* $A_1$ *ὁ ἀρχάγγελος* $A_1$MB 10 *ἀσπόρου* A, *ἄσπορον* CJ, *εἰς τοῦ ἄσπαρος* H (*εἰς τόνδε τὸν τόπον, πλησίον τῆς τοῦ ἄσπαρος κινστέρνης* B) 11 *χρυσίον βαλάντιον ἔχωντα λεῖτρας ἑκατὸν* J **77.** ACM, JHG 13 *λιβαδίτζα* J, *λιβαδίας* HG, *λιβάδια* AC 16 *μητρὸς αὐτοῦ θεοδώρας τῆς ὀρθοδόξου καὶ κτλ.* HG *ἀδελφιδῶν* J *ταύτας*] *αὐτήν τε καὶ τὴν ἀδελφὴν αὐτοῦ* C *κατεβίβασεν* HB, *ἐκατέβασεν* J, *κατήγαγεν* AC 18 post *μονὴν* add. G *καὶ μεγαλύνας* 19 *ἀπὸ μιᾶς τῶν ἀδελφῶν αὐτοῦ εὐφρ. καλῶς βιωσάσης καὶ ἀσκησάσης* G **78.** A, HB (in B post § 79) 21 *τοῦ μικροῦ Θεοδ.* B

**79** (142, ϱοδ΄). *Ὅτι εἰς τὴν ἁγίαν Ἄνναν τὸ λεγό-*
685-711 *μενον Δεύτερον ἐν τῷ κίονι στήλη ἵστατο Ἰουστινιανοῦ τοῦ*
*ῥινοκοπημένου. Τὴν δὲ στήλην κατεβίβασεν Βάρδας Καῖ-*
842-866 *σαρ ὁ θεῖος Μιχαὴλ καὶ ταύτην συνέτριψεν καὶ ἐκλήθη*
*Δεύτερον, διότι ἐξόριστος γέγονεν Ἰουστινιανὸς εἰς Χερσῶνα*
*παρὰ Λεοντίου πατρικίου, ποιήσας ἐκεῖ χρόνους δέκα· φυγῇ*
*δὲ χρησάμενος εἰς τὸν Τέρβελιν τὸν ἀρχηγὸν τῶν Βουλ-*
*γάρων, ἠγάγετο τοῦ Τερβέλι τὴν θυγατέρα εἰς γυναῖκα*
*τοὔνομα Θεοδώραν. Καὶ δοὺς αὐτῷ λαὸν χιλιάδας ιε΄, εἰσ-*
*ῆλθεν ἐν τῇ πόλει καὶ μὴ δεχθεὶς ὑπέστρεψεν εἰς τὴν πα-*
B 98 *λαιὰν Πέτραν καὶ εἰσελθὼν εἰς τὸν ἀγωγὸν ἐξέβη εἰς τὸ*
*θεμέλιον τοῦ κίονος ἔσωθεν τῆς πόλεως καὶ ἐκράτησε τῆς*
*πόλεως πάλιν· καὶ ἐκλήθη ὁ τόπος Δεύτερον. Καὶ τότε*
*τὸν ναὸν τῆς ἁγίας Ἄννης ἀνήγειρεν, ὅτι ἔγκυος ἦν ἡ*
*γυνὴ αὐτοῦ καὶ ὠπτάνθη αὐτῇ ἡ ἁγία. Ἀλλὰ καὶ τὸ ὠμό-*
*φορον τῆς ἁγίας καὶ τὸ ἅγιον σῶμα ἐπὶ αὐτοῦ εἰσῆλθεν*
*ἐν τῇ πόλει.*

**80** (146, ϱοη΄). *Ἡ μονὴ τὰ Μητροπολίτου ἐκτίσθη*

---

**79.** ACM, JHGB 1 *τὴν ἁ. Ἄνναν* om. AC; *ὅτι τὸ λεγ. εἰς τὴν ἁ. ἄνναν τὸ δεύτερον* J, *εἰς δὲ τὴν ἁ. ἄνναν τὸ δεύτερον* H, *εἰς τὴν ἁ. ἄνναν τὴν λεγομένην δεύτερον* G, correxi 2 *ἐν τῷ κίονι* om. H 3 *κατεβίβασεν* GH, *κατέβασεν* J, *κατήγαγεν* AC 6 *Λεοντίου* F, *λέοντος* rell. (*λέων ὁ πατρίκιος καταδυναστεύσας καὶ κρατήσας καθελὼν αὐτὸν ἐξόριστον ἔπεμψε κτλ.* G) *ἐκεῖ* om. et *ἐκεῖσε δὲ φυγῇ* scr. J 7 *τελβερίριν* C, *τέρβελον* M, *τρίβελην* J 8 *τριβέλου* J 9 *λαὸν* om. J *δέκα χιλιάδας* J, *ὡσεὶ χιλιάδας ιε΄* H, *χιλιάδας ιε΄* ACG 11 *Πέτραν*] *πατρίδα* J, *πόρταν* interpol. Lamb. *ἐξέβη* $A_2$H, *ἐξῆλθεν* CG, *ἐξέβισαν* J$A_1$ 12 *κίονος*] *τοῦ ἱσταμένου εἰς τὸ δεύτερον* add. H, *αὐτόθι γὰρ εἶχε διάπνοιαν ὁ ἀγωγός* add. G *καὶ ἐκράτ. τῆς πόλεως πάλιν*] om. JH, *καὶ δεύτερον βασιλεύσας οἰκείαν στήλην ἔθετο* G *τῆς πόλεως πάλιν*] *τῆς βασιλείας* C 14 *ἔγγυος* J 15 *ὀπτανθῆναι παρὰ τῆς ἁγίας εἰς τὸν τόπον κτίσαι αὐτῇ ναόν* G *αὐτῇ*] *αὐτὸ* J *ὠμοφόριον* G, *μαφόριον* AC **80.** ABCM, J 18 *Ὁ αὐτὸς ἰουστινιανὸς* (*ἔκτισεν κτλ.*) AC, *ὁ ῥινότμητος* add. B

παρὰ Ἰουστινιανοῦ· ἐκλήθη δὲ οὕτως, διότι μητροπολίτου 685-711 οἶκος ἦν.

81 (224, σκϛ'). Τὸν ἅγιον Ῥωμανὸν ἡ ἁγία Ἑλένη ἀνήγειρεν, καὶ τὴν πλησίον αὐτοῦ ἁγίαν Σορὸν καὶ τὸ λείψανον τοῦ προφήτου Δανιὴλ καὶ τοῦ ἁγίου μεγαλομάρτυρος Νικήτα καὶ τῶν λοιπῶν προφητῶν τῶν ἐκεῖσε κειμένων ἐκείνη ἐφανέρωσεν καὶ τέθηκεν ἐκεῖ. Οἱ δὲ ποιηταὶ Ἰωσὴφ καὶ Θεόδρωος ὁ ἀδελφὸς αὐτοῦ ὁ Στουδίτης ἐκεῖσε ἐκαθέζοντο καὶ ἐποίουν τοὺς κανόνας ἐν τοῖς χρόνοις Λέ- 813-820 οντος τοῦ Ἀρμενίου. Μετὰ δὲ φ' ἔτη τοῦ κτισθῆναι τὸν αὐτὸν ναὸν ἦσαν Ἰωσὴφ καὶ Θεόδωρος οἱ ποιηταί.

82 (195, ρπθ'). Τὴν δὲ μονὴν τὸν ἅγιον Κάρπον καὶ Πάπυλον ἡ ἁγία Ἑλένη ἔκτισεν μετὰ ποικίλων μαρ- B 99 μάρων καὶ κτήματα ἐπεκύρωσεν εἰς μίμησιν τοῦ τάφου τοῦ Χριστοῦ.

**83.** Τὴν δὲ κινστέρναν τὴν Βώνου Βῶνος μάγιστρος ἔκτισεν τοῦ Ἡρακλείου· καὶ ὁ οἶκος αὐτοῦ ἦν ἐκεῖσε. 610-641

84 (190, ρϙη'). Τὴν δὲ Μωκισίαν ἔκτισεν Ἀνα- 491-518 στάσιος ὁ Δίκορος· ὁπόταν δὲ ἔκτιζεν αὐτήν, λιμὸς ἦν ἐν

---

1 οἶκος ἦν ἐκεῖσε μητροπολίτου τινός AC **81. 82.** ACM, JHB 4 αὐτῆς J 6 Νικήτα] ῥωμανοῦ AC καὶ ἑτέρων πολλῶν προφητῶν λείψανα, ἅπερ ἤγαγε ἀπὸ Ἱερουσαλὴμ ἀπελθοῦσα εἰς ψηλάφησιν τοῦ τιμίου σταυροῦ B 7 ἐφανέρωσε J, ἤγαγε AC, ἔφερε H ἐκεῖ om. J 8 Ἰωσὴφ] ἰωάννης J, iterum l. 11 οἱ στουδῖται B, στουδιώτης M ἐκεῖσε] hic addit B διὰ τὸν φόβον φυγόντες τοῦ συρογενοῦς λέοντος τοῦ εἰκονοκαύστου 10 δὲ om. $A_1$CJ 11 ἦν J$A_1$ ἦσαν — ποιηταί] om. E, ὅτε ἦσαν οὗτοι οἱ ποιηταί DF 14 μετὰ] διὰ ACH 15 κτήματα πολλὰ CHB εἰς μνήμην H τοῦ ναοῦ τοῦ τάφου B **83.** A, JHGB. Cf. II 72 17 μάγ. ὁ οἰκεῖος ἄνθρωπος ἡρακλείου G 18 ἐπὶ ἡρακλείου H, τοῦ ἡρακλέος J καὶ κτλ.] ὃν καὶ κατέλιπεν εἰς φυλακὴν τῆς πόλεως ἀντ' αὐτοῦ ἀπελθὼν εἰς περσίαν G **84. 85.** ACM JHGB 20 λιμὸς] λίμνη AC, λεῖψις ὕδατος καὶ σίτου G

τῇ πόλει — ὁ μόδιος νόμισμα ἕν· ὠνόμασαν δὲ αὐτὴν οἱ δῆμοι οὕτως διὰ τὸ εἶναι πλησίον τὸν ἅγιον Μώκιον.

B 120 **85** (202, σδ΄). Τὸν δὲ ἅγιον Λουκᾶν, ἐν ᾧ οἱ τεθνεῶτες θάπτονται, καὶ τοὺς τρικλίνους καὶ τὸν ναὸν τοῦ
797-802 ἁγίου Λουκᾶ ἔκτισεν Εἰρήνη ἡ Ἀθηναία, ὅπως δωρεὰν θάπτωνται οἱ πένητες· πάνυ γὰρ εὐσεβὴς καὶ φιλάρετος οὖσα πολλὰ γηροκομεῖα καὶ ξενοδοχεῖα καὶ γηροτροφεῖα ἐποίησεν εἰς ἀνάπαυσιν τῶν πενήτων καὶ φόρων βάρη ἐξέκοψεν. Τρία δὲ ἔκτισε κυριώτερα ⟨εἰς⟩ θάνατον, ⟨ζωήν, ὑγείαν· καὶ εἰς θάνατον μὲν ἔκτισε τὰ ξενο⟩τάφια, ζωὴν δὲ ἔκτισεν τοὺς τρικλίνους τῆς Λαμίας τοῦ Πιστωρείου, ὑγείαν δὲ ἔκτισεν τὸν ξενῶνα τὰ Εἰρήνης καλούμενον.

**86** (65, ξε΄). Τὸν δὲ ἅγιον Διομήδην ἔκτισεν ὁ μέγας
867-886 Κωνσταντῖνος· ὁ δὲ Βασίλειος ὁ βασιλεὺς διὰ τὸ λαβεῖν

---

L. 9—12 Supplebam cod. J ex cod. G qui habet: *τρία δὲ μάλιστα ταῦτα τὰ κυριώτερα πεποίηκε θανάτου ζωῆς καὶ ὑγείας· καὶ θανάτου μὲν τὸ ξενοτάφιον τοῦ ἁ. Λουκᾶ, ζωῆς δὲ τὰς* (sic) *Λαμίας καὶ τὰ Πιστωρεῖα, ὑγείας δὲ τὸν ξενῶνα τὰ μακαρίας Εἰρήνης καλούμενον.* Cf. H: *τρία δὲ ἔκτισε τὰ κυριώτερα· θάνατον τροφεῖα, ζωὴν τοὺς τρικλίνους τὸν ξενῶνα τὸν Εἰρήνης καλούμενον καὶ τὸ πιστωρεῖον.* — ACM initium (*τρία — ὑγείαν*) omittunt; reliqua sic exhibet $A_2$ (et similiter $A_1$CM): *πλὴν δὲ ἔκτισεν εἰς θάνατον τῶν ξένων τοὺς τάφους, ζωὴν δὲ τοὺς τρικλίνους τοῦ πιστηρίου* (*πιστορείου* $A_1$CM), *ὑγείαν δὲ τὰ εἰρήνης τὸν ξενῶνα καλούμενον.*

---

1 *ὁ μόδ. νόμ. ἕν*] *ὁ βόδινος πρω̃'* $A_1$ (ortum ex *ὁ μόδι*$^{ος}$ *ν*$^{ο}$ *α΄*), om. $A_2$C, *ὡς τὸν μόδιον τοῦ σίτου εἰς ι΄ πιπράσκεσθαι* H, sim. G *μόδις* J **85—117** in cod. B (quem sequitur Lamb.) post 132 locantur 4 *καὶ τοὺς τρικλ.—Λουκᾶ* om. HG *καὶ τοὺς τρ.*] *ἐπὶ τοῦ τρικλίνου* J *αὐτὸν τὸν ναὸν* AC *τοῦ ἁ. Λουκᾶ* om. AC 8 *βάρος* GB, *βάρη* H$A_2$, *κουφισμὸν* $A_1$, *κουφισμοὺς* C, *κουφισμάτων* J *ἐξέκοψεν*] cf. p. 210, 12 **86—88.** ACM, JHB 14 *διὰ—χρησμὸν*] C in fine capitis: *διὰ τὸ τὴν ὀπτασίαν τῆς βασιλείας ἐκεῖσε ἰδεῖν*

ἐκεῖσε τὸν χρησμὸν ἀνήγειρεν μείζονα καὶ ἐκαλλώπισεν καὶ ἐπεκύρωσεν κτήματα πολλά.

87 (64, ξδ'). Τὰ δὲ Στουδίου ἔκτισεν Στούδιος πατρίκιος ἐν τοῖς χρόνοις τοῦ Λέοντος Μακέλλη καὶ κτήματα πολλὰ προσεκύρωσεν καὶ μοναχοὺς χιλίους πεποίηκεν. 457-474

88 (186, ρη'). Τὴν δὲ καλουμένην Αἰμιλιανοῦ πόρταν· ⟨πλησίον⟩ ἦν τοῦ ἁγίου Αἰμιλιανοῦ καὶ ἐκαλεῖτο οὕτως· ὑπῆρχεν δὲ εὐκτήριον μικρόν· ὅτε δὲ ἤχθη τοῦ Μωσέως ἡ ῥάβδος, ἐδέξατο αὐτὴν πεζὸς ὁ μέγας Κωνσταντῖνος καὶ ἔθηκεν ἐκεῖ· καὶ ἀνήγειρεν ἐκεῖσε ναὸν τῆς θεοτόκου καὶ οὕτως ὠνομάσθη ὁ τόπος Ῥάβδος. Ἀνήγειρεν δὲ καὶ τὸν ἅγιον Αἰμιλιανὸν μέγαν, καὶ εἶθ' οὕτως ἔφερεν τὴν ἁγίαν ῥάβδον ἐν τῷ παλατίῳ. B 103

89 (255, σξβ'). Ἐν τοῖς χρόνοις τοῦ μεγάλου Θεοδοσίου ἤχθη ἐλέφας μικρὸς ἀπὸ Ἰνδίας καὶ ἐκεῖσε ἔτρεφον αὐτὸν εἰς τὰ οἰκήματα· καὶ ἱππικοῦ γενομένου ἔφερον αὐτόν. Ἐν δὲ τῷ Μιλίῳ ἐρχόμενος, ἔκρουσεν αὐτὸν τραπεζίτης τις μετὰ στυρακίου μετριάζων· μετὰ δὲ χρόνους δέκα ἀνατραφεὶς καὶ πάλιν διερχόμενος ἐν τῷ ἱππικῷ ἐμνήσθη τοῦ δώσαντος αὐτόν· καὶ ἰδὼν αὐτὸν καθεζόμενον 379-395

---

1 τὸν περὶ τῆς βασιλείας χρησμὸν B   μείζονα H, om. JAC (ἐπλάτυνε B)   5 πρῶτον μοναχοὺς ἐποίησεν D (ortum ex α' μοναχούς, τ superscr.)   6 Τὴν δὲ — 7 Αἰμιλ.] Ἡ δὲ καλ. τοῦ αἰμ. πορ τοῦ ἁγίου αἰμ. ἦν H, Ἡ καλ. τοῦ ἁγίου αἰμ. πόρτα ἐκ τοῦ ὀνόματος τοῦ ἁγίου ἐκλήθη B; Τὴν δὲ καλ. αἰμ. πόρταν καὶ τὸν ἅ. αἰμιλιανόν AC; interpolavit locum Lamb.   7 καὶ ἐκαλ. οὕτως om. AC
8 ὑπῆρχε δὲ εὐκτ. μικρόν] εἰ καὶ μικρὸς ἦν AC   δὲ post ὅτε om. J   9 πεζὸς om. et ἐκεῖσε εἰς τὴν πόρταν inserunt AC
10 ἔθηκεν] ἐτέθη J   11 καὶ οὕτως—Ῥάβδος om. H
**89.** ACM, JHGB   15 ἀπὸ Ἰνδίας om. JAC, pro his ἐν τῇ πόλει C   16 εἴς τινα οἰκ. C, pro his παρὰ τῷ βασιλεῖ G
ἔφερον H, ἤφερεν J, ἔφερεν rell., ἔφερεν ὁ βασιλεὺς αὐτὸν εἰς τὸ ἱπποδρόμιον C   17 μιλίῳ] παλατίῳ J   τραπεζ.] καταλλάκτης HG (ἔπαισεν μετὰ ῥάβδου σφοδρῶς G)   18 στοακίου J
20 δώσαντος J, θήξαντος $A_1$, τύψαντος rell.

*καὶ βρυχησάμενος δέδωκεν καὶ ἔσχισεν αὐτὸν μέσον τοῦ Μιλίου.*

**90** (179, ϙϛ'). *Τὰ δὲ Κλαυδίου οἶκος ἦν Κλαυδίου*
475-477 *πατρικίου καὶ κυαίστορος ἐν τοῖς χρόνοις Βασιλίσκου τοῦ βασιλέως· καὶ παλάτια ἀνήγειρεν ἐκεῖσε.*

B 104 **91.** *Τὸν δὲ λιμένα τὸν Ἐλευθερίου ὁ μέγας Κωνσταντῖνος ἔκτισεν, ὅτε καὶ τὴν πόλιν ἔκτισεν· παρίστατο δὲ εἰς τὸ κτίσμα Ἐλευθέριος πατρίκιος. Ἵστατο δ' εἰς τὸν λιμένα στήλη μαρμάρινος Ἐλευθερίου φέρουσα πτύον καὶ*
379-395 *ἐξακάνθηλον· ὁ δὲ Θεοδόσιος χύσας τὸν χοῦν ἐκεῖ τοῦ κτισθέντος κίονος τοῦ Ταύρου κατέχωσεν τὸν λιμένα.*

B 103 **92** (212, σιδ'). *Τὰ δὲ Κανικλείου οἶκος ἦν Θεοκτίστου μαγίστρου καὶ ἐπὶ τοῦ κανικλείου, τοῦ σφαγέντος*
842-867 *εἰς τὰ Σκῦλα παρὰ Βάρδα Καίσαρος, τοῦ θείου Μιχαήλ.*

B 104 **93** (178, ρ'). *Τὸν δὲ ἅγιον Παντελεήμονα ἔκτισεν*
527-565 *Θεοδώρα Αὐγούστη, ἡ γυνὴ Ἰουστινιανοῦ τοῦ μεγάλου· ὁπόταν δὲ ἦλθεν ἀπὸ Παφλαγονίας, ἐκεῖσε ἔκειτο ἐν τῷ ἐμβόλῳ ὡς πένης καὶ ἔνηθεν ἔρια καὶ ἐπώλει αὐτὰ καὶ οὕτως ἔζη. Μετὰ δὲ τὸ βασιλεῦσαι αὐτὴν ἔκτισεν τὸν ναόν.*

---

1 *δέδωκε*] *ἔκρουσε* C, *ἔκρουσε μετὰ τοῦ ὀδόντος αὐτοῦ καὶ ἔσχισεν εἰς μέσον τὸν ἄνθρωπον* G *μέσον*] *μέχρι* J 2 In fine addit G *καὶ ἐθαύμασαν* (sic) *πᾶς τὸ φύσει μνησίκακον τοῦ θηρίου* **90.** ACM, JHB **91.** A, JHB (in HB post 92 positum) 8 *Ἵστατο* — 11 *λιμένα* om. J 9 *πτύον τῇ χειρὶ ἐξακάνθηλον* B, *πτύον καὶ κόφινον* H; de significatione vocis *ἐξακάνθηλον* vide Reiskium ad Const. Porph. caer. 462, 19

10 *ὁ δὲ βασ. Θεοδ. ὁ μικρὸς* B *χοῦν*] *ἀναχωματισμὸν* B 11 *τοῦ Ταύρου* om. A, *καθὼς προείπομεν* addit H (cf. II 63) *ἐν αὐτῷ κατέχωσε καὶ ἠφάνισε τὸν λιμένα πλακωτὸν ὄντα κάτωθεν καὶ βαθύτατον* B, *κατέχωσεν αὐτήν* H **92—95.** ACM, JHB 13 *ἐπὶ τοῦ* om. JHB 14 *εἰς τὰ κοῖλα τοῦ ἱπποδρομίου* HB *θείου αὐτοῦ* CM 15 post *Παντ.* addit H: *τοῦ Ναρσῆ* 17 *ὁπ. δὲ*] *ὅτε γὰρ* AC, *διότι ὅτε* HB *πεφλαγονίας* J 18 *πένησσα* H 19 *οὔτ. ἔζη*] *ἐκ τοῦ τιμήματος αὐτοῦ διῳκεῖτο* H *ἔκτισε τὴν πενιχρὰν ἐκείνην οἰκίαν εἰς ναόν* B

**94** (180, ρα΄). *Τὰ δὲ Ναρσοῦ οἶκος ἦν Ναρσοῦ
πατρικίου καὶ πραιποσίτου εὐνούχου ἐν τοῖς χρόνοις* 565-578
*Ἰουστίνου καὶ Σοφίας. Τὸν δὲ ξενῶνα καὶ τὸ γηροκομεῖον
καὶ τὴν ἐκκλησίαν ἐκεῖνος ἀνήγειρεν μέχρι τοῦ Ὀξυ-
βαφείου.*

**95** (180, ρα΄). *Τῶν δὲ ἁγίων Πρόβου, Ταράχου καὶ
Ἀνδρονίκου ναὸν ὁ αὐτὸς Ναρσῆς ἀνήγειρεν.*

**96** (181, ρβ΄). *Ὅτι τὰ Ἀμαντίου καλούμενα οἶκος ἦν* B 105
*Ἀμαντίου παρακοιμωμένου ἐν τοῖς χρόνοις τοῦ Δικόρου·* 491-518
*κἀκεῖνος ἔκτισεν τὸν ἅγιον Θωμᾶν· ἐμπρησθέντος δέ, Λέων* 886-911
*ὁ υἱὸς Βασιλείου ἀνεκαίνισεν αὐτόν.*

**97** (57, νη΄). *Τὰ δὲ Πέτρου οἶκος ἦν Πέτρου πατρι-
κίου ἐπὶ Ἰουστινιανοῦ τοῦ μεγάλου, ὅστις ἀνήγειρεν· τὴν* 527-565
*ἐκκλησίαν καὶ τὸ γηροκομεῖον.*

**98** (225, σκζ΄). *Τὴν μονὴν τοῦ Μαρτινάκη ἀνήγειρεν
Μαρτινάκης πατρίκιος ὁ θεῖος τῆς ἁγίας Θεοφανοῦς ἐν
τοῖς χρόνοις Βασιλείου καὶ Μιχαήλ.* 842-886

**99.** *Ὁ δὲ Πρόβος ὁ πατρίκιος ἀνήγειρεν τὸν ναὸν
τοῦ Προδρόμου καὶ παλάτια ἔκτισεν ἐκεῖσε θαυμαστὰ πάνυ.*

---

1 *Τὰ δὲ ναρσὸν οἶκος ἦν ναρσὶ* J, *Ἦν δὲ ἐκεῖσε οἶκος κτλ.* H (cf. p. 248 l. 15 app. crit.) 3 *Ἰουστίνου κτλ.*] *ἰουστίνου καὶ σοφίας τοῦ ἁγίου ζεύγους* B; interpolavit locum Lambecius (*Ἰουστινιανοῦ τοῦ μεγ. καὶ μετετέθη εἰς ξενῶνα κτλ.*) 4 *καὶ τὴν ἐκκλ.* om. H, *καὶ τὴν ἐκκλ.—Ὀξυβ.* om. B *καὶ τὰ μέχρι* C, *καὶ μέχρι* H *οἰκοβαφείου* H 6 *Ταράχου καὶ Ἀνδρονίκου* om. A **96.** ACM, HB 8 *Ὁ δὲ ἅ. θωμᾶς ὁ τὰ Ἀμ. κτλ.* H, *Τὸν ἅ. Θωμᾶν* (*τὰ Ἀμ.* om.) B *ἀμάντου* AC (utroque loco) 9 *μαγίστρου τινὸς Ἀμάντου* D 10 *ὕστερον δὲ πυρποληθέντα ὁ υἱὸς βασίλειος ἀνήγειρεν* H, . . . *Λέων ὁ σοφὸς ὁ υἱὸς βασιλέως τοῦ μακεδόνος ἀνήγειρεν* B **97. 98.** ACM, JHB 13 *ἐπὶ* J, *ἐν τοῖς χρόνοις* rell. *ἰουστίνου* AJ, *ἰουστινιανοῦ* CHB *ὅστις κτλ.*] *καὶ καταλύσας τὸν οἶκον αὐτοῦ ἀνήγ. κτλ.* H, *καὶ μετεποιήθη εἰς κτλ.* B 15 *μαρτινακίου* C, *μαρτινάκου* HB 16 *μαρτινάκιος* C, *μαρκινάκις* J 17 *ἐπὶ τοῦ βασιλέως Μιχαὴλ τοῦ μεθυστοῦ καὶ Βασ. Μακεδόνος* B, *βασιλείου καὶ* om. H **99.** A, JHB 18 *Τὸν Πρόδρομον τὰ Πρόβου κτλ.* B 19 *καὶ τὸ παλάτιον ἔκτισεν θαυμαστὸν καὶ πάνυ ὡραῖον* A

**100** (44, *με'*). *Τὰ δὲ λεγόμενα τοῦ Τοξαρᾶ, οἶκος ἦν*
867 *Τοξαρᾶ μαγκλαβίτου τοῦ ἀνελόντος Μιχαὴλ τὸν βασιλέα εἰς τὸν ἅγιον Μάμαντα.*

**101** (bis in CM: et 50, *να'* et 140, *ρξθ'*). *Τὸ Κουρατωρίκιον ἐκτίσθη ἐν τοῖς χρόνοις Βηρίνης τῆς γυναικὸς*
457-474 *τοῦ Λεωμακέλλη· καὶ ὁ κουράτωρ ἀνήγειρεν καὶ παρέστηκεν αὐτὸ εἰς ὁμοίωμα τοῦ τάφου τοῦ Κυρίου.*

595-606 **102** (49, *ν'*). *Τὰ Διακονίσσης ἔκτισεν Κυριακὸς*
582-603 *πατριάρχης ἐν τοῖς χρόνοις Μαυρικίου βασιλέως τοῦ συντέκνου αὐτοῦ· ἐπεκλήθη δὲ οὕτως ὁ τόπος, ὅτι ὁ πατριάρχης διάκονος ὢν ἐκεῖσε ᾤκει· ἀλλὰ καὶ ἡ ἀδελφὴ τοῦ αὐτοῦ πατριάρχου ἐκεῖσε ἦν διακόνισσα.*

B 106 **103** (138, *ρξζ'*). *Τὴν δὲ ἁγίαν Ἀναστασίαν τὴν*
491-518 *Φαρμακολύτριαν ἀνήγειρεν Ἀναστάσιος ὁ Δίκορος· πρότερον γὰρ ἦν πατρικίου οἶκός τινος Φαρμακᾶ λεγομένου.*

**104** (139, *ρξη'*). *Τὸ δὲ λεγόμενον Διμακέλιν ἐκλήθη*
457-474 *οὕτως, ὅτι ἐκεῖ ὁ Λέων ὁ βασιλεὺς ὁ μέγας κρέατα ἐπώλει· καὶ ἡ γυνὴ αὐτοῦ ἔπλεκε τὰς χόρδας.*

---

**100. 101.** ACM, JHB  1 *ἐκεῖ* post *ἦν* inserit A  2 *μαγγλαβίτου* $A_1$ JH, *μαγκλ.* $A_2$CB, *μαγλ.* M  post *ἀνελθόντος* (sic) inserit B *κατ' ἐπιτροπὴν τοῦ Βασιλείου τοῦ Μακεδόνος*  4 *Τὰ δὲ κουρατωρίκια* M, *τὰ δὲ κουράτορος* ACHB  5 *Βηρ.*] *εἰρήνης* $A_1$  6 *ὁ κουράτωρ αὐτῆς* C (altero loco), *ὁ κ. αὐτοῦ* AC (priore loco), *ὁ κ. αὐτῶν* M  *ἀνήγειρεν καὶ* om. codd. praeter J  *παρέστηκεν* J, *παρίστατο* ACHB  7 *αὐτὸ* om. AC, *τὸν ναόν* H; *παρίστατο δὲ κουράτωρ ὁ ἄνθρωπος αὐτοῦ* B; locum interpolavit Lamb.  **102—104.** ACM, JHGB  10 *ὅτι* om. J  14 *φαρμακολύτρ(ον)* H  *ἀναστ. ὁ διάκον* J  15 *φαρμάκου* $A_2$, *φαρμακοῦ* H, *φαρμακᾶ* $A_1$C, *φαρκοῦ* JM  16 *διμακέλιν* $A_1$C, *διμακέλει* J, *διμακέλιον* M; *λέωμακέλλ(ιν)* HG$A_2$  17 *ἐκεῖ* om. J  *ὁ μέγας*] *ὁ μακέλης ὃς ἑρμηνεύεται σφαγεύς* addit H, *πρὸ τοῦ βασιλεῦσαι* add. G  18 *ἔπλεκε*] *ἔκλωεθν* $A_1$ solus  *χορδάς* $A_2$H, *χορδία* GM, *κόρδας* $A_1$, *χόρδας* J  In fine addit *ἐκ τούτου οὖν ἐκλήθη ὁ τόπος οὕτως* C, *καὶ ἐκ τούτου ἐκλήθη λεομακέλιον* M

**105** (197, ρϞθ′). *Τὰ δὲ Φλωρεντίου οἶκος ἦν Φλω-
ρεντίου πατρικίου ἐν τοῖς χρόνοις Ἀρκαδίου βασιλέως· καὶ* 395-408
*τελευτῶν ἐποίησεν τὸν οἶκον αὐτοῦ γηροκομεῖον.*

**106** (132, ροβ′). *Τὰ δὲ Ἀνθημίου οἶκος ἦν Ἀνθη-
μίου μαγίστρου ἐν τοῖς χρόνοις Μαρκιανοῦ τοῦ βασιλέως·* 450-457
*ὃν καὶ ἔστεψεν ἐν τῇ πόλει δεδωκὼς αὐτῷ τὴν ἐκ τῆς πρώτης αὐτοῦ γυναικὸς θυγατέρα καὶ ἀπέστειλεν εἰς Ῥώμην βασιλέα. Ἐκεῖσε γὰρ καὶ γηροκομεῖον καὶ ναὸν ἀνήγειρεν τὸν αὐτοῦ οἶκον καὶ λοῦμα.*

**107** (144, ρϛ′). *Τὰ δὲ λεγομένα τῆς Σπουδῆς τὴν
μονήν· Ἄννα ἡ δέσποινα ἡ γυνὴ Λέοντος τοῦ Συρο-* 717-741
*γενοῦς στρεφομένη ἀπὸ Βλαχέρνας οὖσα ἔγκυος εἰς τὸν καιρὸν τοῦ τεκεῖν αὐτὴν εἰς οἶκόν τινος πρωτοσπαθαρίου καταβᾶσα ἔτεκεν· καὶ ἐποίησεν αὐτὸν τὸν οἶκον μονὴν καὶ ἐπωνόμασεν Σπουδῆς διὰ τὸ κατεπείγειν αὐτὴν ἐκεῖσε ὁ τοκετὸς καὶ μὴ φθάσαι εἰς τὸ παλάτιον. Ἡ αὐτὴ δέσποινα ἔκτισεν καὶ τὰ Ἄννης.*

**108** (145, ροζ′). *Τὰ δὲ Σευήρου· Σευῆρος, πατρί-* B 107
*κιος καὶ ἀδελφοποιητὸς Κώνστα βασιλέως τοῦ ἔγγονος* 642-668
*Ἡρακλείου τοῦ ἀναιρεθέντος ἐν τῷ βαλανείῳ εἰς Σικελίαν,*

---

**105.** ACM, HB 2 *πατρικίου καὶ δουκὸς Ἀντιοχείας* B
**106—110.** ACM, JHB. In H c. 106 post 107 ponitur
4 In CM praemittitur *περὶ τῶν Ἀνθ. πλησίον τοῦ Κύρου.* *ἀνθημίου* (utroque loco) J, *ἀνθίμου* $BA_2$, *ἀνθεμίου* $A_1$ DMH, utraque forma occurrit apud scriptores, v. B. Z. XII 449 sqq. 6 *ἡ πόλις* H *τις ἐκ πρότης τοῦ γυναικὸς θυγατέραν* J 7 *καὶ ἀπέστ.—λοῦμα* om. C 8 *ὁ αὐτὸς δὲ ἀνθέμιος ἔκτισε τὸν οἶκον αὐτοῦ ναὸν καὶ γηρ. ἀνήγ. καὶ λοῦμα* H *γηροκομία* J *ναὸν αὐτὸ* J 9 *τὸ λοῦμα* JB 10 *σπουδινῆς* $A_2$ 11 *τὴν μονὴν—δέσπ.*] *ἡ μονὴ Ἄννα ἡ δ. ταύτην ἀνήγειρεν* C (*τὴν μονὴν τὰ Σπουδῆς Ἄννα . . . ἔκτισεν . . . στρεφ. γὰρ κτλ.* H, sim. B) *τοῦ* om. J. 12 *βλαχέρνας* $A_1$ J, *βλαχερνῶν* rell. 15 *αὐτὴν καὶ ἐπισπεύδειν* HB *ἐκεῖσε* om. J 16 *τὸν τοκετὸν* codd. praeter $A_1$ J *καὶ μὴ – παλ.* om. J 17 *τὴν μονὴν τὰ Ἄννης* B 18 *Τὰ δὲ Σεβ.* om. AC *ὁ πατρ.* $A_1$ 19 post *πατρ.* inserit *ἔκτισεν* H *κωνσταντίνου* ACMH *ἐγγόνου* ACH 20 *εἰς Σικ.*] *σικελίας* codd. praeter J

*ἔκτισεν αὐτὸς τὸ γηροκομεῖον διότι οἶκος αὐτοῦ ἦν· καὶ ναὸν ἤγειρεν ἡ γυνὴ αὐτοῦ, διότι μετὰ τὸ σφαγῆναι ἐν Σικελίᾳ τὸν βασιλέα ἐκεῖνος παρέλαβεν τὸν στόλον τὸν Ῥωμαϊκὸν καὶ ἀνῆλθεν ἕως τὸν Φοίνικα.*

**109** (133, *ρογ'*). *Τὰ δὲ Γαϊνᾶ οἶκος ἦν Γαϊνᾶ πατρικίου τοῦ τυραννήσαντος εἰς τὰ Θρᾳκῷα μέρη ἐν τοῖς*
395-408 *χρόνοις Ἀρκαδίου καὶ σφαγέντος ἐκεῖσε.*

**110** (133, *ρογ'*). *Τὰ δὲ Εὐσεβίου Εὐσέβιος πατρί-*
565-578 *κιος ἔκτισεν ἐν τοῖς χρόνοις Ἰουστίνου καὶ Σοφίας τῆς Λωβῆς καὶ εὐσεβεστάτης.*

**111** (118, *ρν'*). *Τὰ δὲ Κύρου τὴν θεοτόκον ἔκτισεν Κῦρος πατρίκιος καὶ ἔπαρχος ὁ παριστάμενος τὸ χερσαῖον*
408-450 *τεῖχος τὸ κτίσμα ἐπὶ Θεοδοσίου τοῦ μικροῦ, βάλλοντες φωνὴν οἱ δῆμοι, ὅτι ʽΚῦρος εἰς ἄλλο νικήσει καὶ προκόψει.ʼ Καὶ φθονηθείς, ἐποίησεν αὐτὸν ὁ βασιλεὺς μητροπολίτην εἰς Σμύρνην.*

**112** (182, *ργ'*). *Τὸ δὲ Χρυσοκάμαρον· ὄπισθεν τοῦ*

---

**108** l. 1 sqq. B: *ἀλλὰ καὶ ναὸν ἀνήγειρεν ⟨ἡ γυνὴ⟩ αὐτοῦ, ἐνταῦθα ἔχουσα τὸν οἶκον αὐτῆς· διότι τοῦ εὑρεθέντος βασιλέως ἐν Σικελίᾳ ἀναιρεθέντος ὁ ἀνὴρ αὐτῆς Σεβῆρος παρέλαβε τὸν Ῥωμαϊκὸν στόλον καὶ ἀνῆλθεν ἕως τοῦ καλουμένου Φοίνικος.*

---

1 *ἔκτισε δὲ* C, om. H   *αὐτὸς τὸ γηρ.* J (*ὡσαύτως καὶ τὸ γηρ.* H), *αὐτὸ γηροκ.* A   2 *ἤγειρεν* om A   *στραφῆναι* J   3 *παρέλαβεν . . . καὶ*] *ἐπάρας* AC   4 *ἕως τοῦ φοίνικος* C   5 *γάινα* utroque loco J, *γαϊνᾶ* H   10 *τοῦ εὐσεβεστάτου ζεύγους* interpol. Lamb. (cf. B in III 94)   **111.** ACM, JHG   12 *ὃς καὶ τὸ χερσαῖον τεῖχος ὅτε ἐκτίζετο παρὰ τῶν δύο μερῶν παρίστατο καὶ ὑπὸ τῶν δημοτῶν ἀγαπηθεὶς ἦν ὅτε καὶ φωνῇ μεγάλῃ εἶπον κτλ.* G   *εἰς τὸ χερσ. κτλ.* AC   *τοῦ χερσαίου τείχους τὸ κτίσμα* H   13 *τὸ κτίσμα* om. AC   14 *Κῦρος κτλ.*] *Κωνσταντῖνος ἔκτισε, Κῦρος ἀνηνέωσε* E, cf. chron. Pasch. p. 588, 13   15 post *βασ.* addit E *σὺν τῷ πατριάρχῃ καὶ τῷ δήμῳ*   *μητρ.*] *ἐπίσκοπος* (*γέγονεν*) H   **112—112a.** ACM, JHB   17 *Εἰς δὲ τὸ χρ. κτλ.* HB   *ὄπιθεν* J

*Μυρελαίου ζώδιον ἵστατο χρυσοῦν· ἐξ οὗ καὶ ἐκλήθη*
*Χρυσοκάμαρον· παρὰ δὲ κλεπτῶν ἐν τοῖς χρόνοις Βάρδα* 842–866
*Καίσαρος ἐκλάπη.*

**112a** (141, ρο′). *Εἰς τὸ Χριστοκάμαρον δὲ ἦν ὁ* B 108
*Χριστὸς ἱστορισμένος πλησίον τοῦ ἁγίου Ἀκακίου, ὅπου ἐστὶν τοῦ Μουσελὲ ὁ οἶκος· καὶ διὰ τοῦτο ἐλέγετο οὕτως.*

**113.** *Τὰ δὲ δύο Μυρέλαια· μύρα ἔρρεε καὶ ἰάματα πολλὰ ἐκεῖσε ἐγένοντο καὶ μέχρι τοῦ νῦν.*

**114** (47, μη′). *Τὸ δὲ Ἀνεμοδοῦριν τὸ χαλκοῦν ἐστηλώθη παρὰ Ἡλιοδώρου τοῦ δυσσεβοῦς ἐν τοῖς χρόνοις*
*Λέοντος τοῦ Συρογενοῦς, καθὼς εἰσιν ἐστηλωμένοι οἱ ιβ′* 717–741
*ἄνεμοι. Τὰ δὲ τέσσαρα χαλκουργεύματα τὰ μεγάλα ἤχθησαν ἀπὸ τοῦ Δυρραχίου· εἶχεν δὲ αὐτὰ γυνὴ εἰς προῖκα αὐτῆς ἀπὸ ναοῦ τινος· μετὰ πολλῆς δὲ ἐπιστήμης καὶ ἀστρονομίας τοῦτο ἐποίησεν.*

**115** (111). *Τὸν δὲ ἅγιον Προκόπιον, ὡς εἴρηται, τὴν Χελῶνα, καὶ τὸν ἅγιον Μητροφάνην ἔκτισεν ὁ μέγας Κωνσταντῖνος.*

**116** (111). *Τὸν δὲ ἅγιον Ἀκάκιον τὴν Καρέαν*

---

3 *Καίσαρος*] *τοῦ θείου μιχαὴλ* add. $A_1$CH 4 *χρυσοκάμ.* AH *ἦν — 6 οἶκος*] *ἦν ὁ οἶκος τοῦ μουσελὲ· ἦν δὲ καὶ ὁ Χρ. ἱστορ. πλ. τοῦ ἁγ. ἀκ.* C 5 *ἱστορισμένος μέγα πλ.* J, *εἰκονισμένος* H 6 *μουλαὶ* J **113.** A, JHB 7 *Εἰς δὲ τὰ β′ μυρ. κτλ.* HB *μύρα ἔρρεε καὶ* om. A, *ἔρρεε* om. J, *ἔρρεον* B 8 *καὶ μέχρι τοῦ νῦν* om. codd. praeter J In fine addit *ἀπὸ τῆς θεοτόκου καὶ διὰ τοῦτο ἐκλήθησαν* B **114.** ACM, JHGB 9 *ἀνεμοδούλιν* $A_2$E, *ἀνεμοδούλιον* FMH, *ἀνεμοδοῦλον* D, *ἀνεμοδούριν* J$A_1$ *τὸ χαλκοῦν* om. ACG 10 *δυσσεβοῦς*] *εὐσεβοῦς* $A_2$, *ἀστρονόμου* G 11 *καθὼς*] *ὃς* C, *καθὰ* $A_1$, *καθὸ* $A_2$, *ἐν ᾧ* G *εἰσὶν κτλ.*] *καὶ ἐστήλωσε τοὺς ιβ′ ἀνέμους* AC 12 *χαλκουργήματα* $A_2$HG 13 ante *δυρραχίου* inserunt *κάστρου* ACH *δοραχίου* JG, *διραχίου* $A_1$ *χήρα γυνή* AC 14 *ἀπὸ ναοῦ τινος* om. HG **115.** AC, J. Cf. III 18 16 *ὡς εἴρ.* om. C (cf. III 18) 17 *χελώναν* $A_2$C, *χελόνην* J **116.** AC, JHB 19 *κάραν τὸν ἐν τῇ βασιλικῇ πόρτῃ* E, *τὸν Χαρέαν* Lamb. e coniect.; an *Καρύαν*?, cf. Theophan. p. 79, 32 de B.

565–582 ἔκτισεν ὁ ἀδελφὸς Ναρσῆ πατρικίου ἐν τοῖς χρόνοις Ἰου-
στίνου καὶ Τιβερίου.

**117** (131, ροα΄). Ὁ δὲ ἅγιος Προκόπιος τὰ Βιγλεν-
527–565 τίας· εἰς τὸν Ταῦρον παλάτια ἦσαν κτισθέντα παρὰ τοῦ
μεγάλου Ἰουστινιανοῦ εἰς τὴν Βιγλεντίαν τὴν ἀδελφὴν αὐτοῦ. Ὁ δὲ ναὸς ὑπῆρχεν τῶν παλατίων. Ὑπὸ δὲ ἐμπρησμοῦ ἀφανισθέντα Ἀντωνῖνα, ἡ γυνὴ Βελισαρίου τοῦ μαγίστρου, ἥτις ζωστὴ ἦν Θεοδώρας τῆς γυναικὸς Ἰουστινιανοῦ, καὶ μετὰ τὸ χηρεῦσαι αὐτὴν τὴν κατοικίαν ἐποιήσατο μετὰ τῆς Βιγλεντίας· καὶ συναινέσει αὐτῆς ἀνήγειρεν τὸν ἅγιον Προκόπιον.

B 99 **118.** Τὰ λεγόμενα Πορφυροπωλεῖα· τὸ παλαιὸν τὰς
πορφύρας ἐκεῖσε ἔβαπτον.

**119** (83, ριε΄). Τὸν δὲ ξενῶνα τὰ Σαμψὼν ἔκτισεν
527–565 ὁ ὅσιος Σαμψὼν προτροπῇ Ἰουστινιανοῦ τοῦ μεγάλου, διότι
ὁ ὅσιος αὐτὸν ἰάσατο ἐκ τῆς νόσου.

**120** (82, ρις΄). Τὰ δὲ Εὐβούλου ἐκτίσθησαν παρὰ
518–527 Εὐβούλου πατρικίου ἐν τοῖς χρόνοις Ἰουστίνου τοῦ Θρᾳκός,
ἐπεὶ οἶκος αὐτοῦ ἦν.

**121** (84, ριζ΄). Τὰ δὲ Ἰσιδώρου· ὁ Ἰσίδωρος ἀδελφὸς

---

1 ὁ ἀδελφός] nomen proprium excidisse videtur ναρσῆ JHB, ἀρσίου $A_2$, χαρισίου C, ἀρσενίου $A_1$ ἰουστ. καὶ προκοπίας H **117.** ACM, JHB 3 τὰ βιγλέντια DB 4 ὁ εἰς τὸν ταῦρον H εἰς τὸν Τ. ἐκτίσθη παρὰ Ἰουστ., ὃς καὶ ἄλλα πολλὰ αὐτόθι παλάτια ἔκτισε λόγῳ κτλ. B 5 εἰς βιγλ. $A_1$, λόγω βιγλεντίας κτλ. HB 6 παλατίων] πάντων $JA_2$ 7 sqq. ἀφανισθ. κτλ.] ἀφανισθεὶς νεωστὶ ἀνῳκοδομήθη· Ἀντ. δὲ ... ζωστὴ ἦν (om. ἣ) ... συναιν. αὐτῆς ᾠκοδομήθη ὁ ἅγιος Πρ. AC ἀντωνία $A_1$ MH 8 ἥτις B, om. JAC, ἡ ζωστὴ (om. ἦν) H 10 συνέσι J **118.** A, B 12 Εἰς δὲ τὸ καλ. πορφυροπωλεῖον B **119.** ACM, JHGB 14 Ὁ δὲ ἀντικρὺ τῆς ἁγίας σοφίας ὅσιος Σ. ἐκτίσθη κτλ. $A_2$ τὰ Σ.] τοῦ Σαμψὼν H 15 προτροπῇ] συνεργία G 16 ἐκεῖσε γὰρ ἰάθη ὁ βασιλεὺς C **120—122.** ACM, JHB 17 Ὁ ξενὼν τὰ εὐούλου H 18 ἰουστινιανοῦ JAM, ἰουστινιανοῦ καὶ ἰουστίνου πρότερον τοῦ θρακός E, ἰουστίνου rell. θρακόου J 20 Τὰ δὲ Ἰσ. om. $A_1$C ὁ ὅσιος ἰσίδ. H

*ἦν τοῦ Εὐβούλου καὶ ἀνήγειρεν τὸν οἶκον αὐτοῦ γηροκομεῖον καὶ ναόν.*

**122** (84, ρι𝛇′). *Τὸν δὲ ἅγιον Τρύφωνα τὸν ὄντα εἰς* B 100
*τὰ Εὐβούλου ἀνήγειρεν αὐτὸν Ἰουστινιανὸς ὁ μέγας. Τὸν* 527-565
*δὲ ἅγιον Τρύφωνα τὰ Βασιλίσκου καὶ αὐτὸν ἀνήγειρεν μέγαν ναὸν πλησίον τοῦ Βασιλίσκου· καὶ ἐποίησεν αὐτὸν κάλλιστον προσκυρώσας ἐν αὐτῷ κινητὰ καὶ ἀκίνητα κτήματα.*

**123** (99, ρλβ′). *Οἱ ἅγιοι Ἀνάργυροι οἱ ὄντες εἰς τὰ*
*Βασιλίσκου ἐκτίσθησαν ὑπὸ Ἰουστίνου καὶ Σοφίας.* 565-578

**124** (99, ρλβ′). *Τὰ δὲ Βασιλίσκου οἶκος ἦν πρότερον Βασιλίσκου πατρικίου καὶ δρουγγαρίου τῆς βίγλης, τοῦ*
*ἀδελφοῦ Βηρίνης· καὶ βασιλεύσας ἐποίησεν τὸν οἶκον αὐτοῦ* 475
*παλάτια.*

**125** (99, ρλβ′). *Τὰ δὲ παλαιὰ παλάτια τῶν Σοφιῶν*
*ἀνήγειρεν Μαυρίκιος ὁ βασιλεὺς εἰς ὄνομα Ἀναστασίας,* 582-602
*τῆς πενθερᾶς αὐτοῦ, γυναικὸς δὲ Τιβερίου· μετὰ δὲ εἴκοσι ὀκτὼ χρόνους Ἡράκλειος ὁ στρατηγὸς πρὸ τοῦ βασιλεῦσαι αὐτὸν τὴν κατοικίαν ἐκεῖσε ἐποιεῖτο, μετὰ τὸ τεθνάναι τὴν Ἀναστασίαν· πάνυ γὰρ ἐφίλει τὴν αὐτὴν κατοικίαν. Καὶ*

---

1 *γηροκομεῖον καὶ* om. ACB, *εἰς ναὸν καὶ γηρ.* H 3 *Τὸν*—4 *ὁ μέγας* om. C 4 *Τὸν δὲ ἅ. Τρύφ. τὰ Βασ. καὶ αὐτὸν ἀνήγ. μέγαν*] pro his *καὶ ἕτερον* A 5 *καὶ αὐτὸν* — 10 *βασιλίσκου* om. HB (homoiotel.); exhibent igitur: *Τὸν δὲ ἅ. Τρύφωνα εἰς τὰ βασ. ἰουστῖνος καὶ σοφία* **123.** ACM, JHB. J habet: *Τὸν δὲ ναὸν τῶν ἁ. ἀναργ. τὸν ὄντα πλ. τὰ βασ. παρὰ ἰ. καὶ σ. ἀνηγέρθη.* **124.** ACM, J 12 *καὶ δρουγγ. τῆς βίγλης* om. J, *τῆς βίγλης* om. HB 13 *βασιλεύσας*] *βασιλείου* $A_2$ DFM, *βασιλίσκου* $A_1$, (*Βηρίνης βασιλίδος* E, om. *καὶ*) 14 *τερπνὸν παλάτιον, ἅπερ ἐκ τοῦ χρόνου ἀφανισθέντα ὁ τόπος περισώζει ἀκμὴν τὴν ἐπωνυμίαν* B **125—129.** ACM, JHB 15 post *Σοφιῶν* addit E *ἅτινα ἦσαν σὺν τῷ λιμένι αὐτῷ ἐν τῷ κοντασκελίου* 16 *μαρκιανὸς* J 17 *γυναικὸς δὲ*] *καὶ* AC *εἴκοσι ὀκτώ*] *κζ′* D, *κβ′* H 18 *ὁ στρατηγὸς*] *στράτωρ* (*πρωτοστράτωρ* E) *τῶν ἄφρων* AC 19 *μετὰ δὲ τὸ κτλ.* J 20 *κατοικίαν*] *ὁ Φωκᾶς* addit H; *πάνυ γὰρ ἐφίλει αὐτὴν ὁ Φωκᾶς* JAC; sequor B

610 *ἐκεῖσε ἀπεκαλύφθη τὸ κράτος τῆς βασιλείας· μετὰ δὲ τὸ βασιλεῦσαι αὐτὸν ἱστόρησεν τὸ ἑαυτοῦ ὄνομα καὶ τοῦ υἱοῦ αὐτοῦ εἰς τὰ τείχη.*

**126** (15, *ιδ'*). *Τὰ δὲ παλάτια τοῦ Βουκολέοντος ἐπ-*
408–450 *άνω τοῦ τείχους παρεξέβαλεν ὁ μικρὸς Θεοδόσιος· ὁ δὲ*
450–457 *Μαρκιανὸς ἐποίησεν τὸν τρίκλινον, καὶ οὗτος καλεῖται χρυσοτρίκλινος.*

**127** (16, *ιε'*). *Τὰ δὲ παλάτια τοῦ Ἱππικοῦ καὶ τοῦ Κυαιστορικίου ὁ μέγας Κωνσταντῖνος ἀνήγειρεν.*

**128** (17, *ις'*). *Ἡ δὲ Δάφνη ἐκλήθη διὰ τὸ ἵστασθαι*
B 101 *ἐκεῖσε στήλη ὄνομα φέρουσα Δάφνης· ἀπὸ γὰρ τῆς Ῥώμης ἤφεραν αὐτήν· εἰς μαντεῖον γὰρ ἦν ἐκεῖσε· ἀλλὰ καὶ στεφάνους ἀπὸ δάφνης ἐλάμβανον οἱ ἄρχοντες κατὰ τὸν Ἰανουάριον μῆνα.*

**129** (18, *ιζ'*). *Ὁ δὲ Ἱππόδρομος ἐκλήθη, διότι ἀπὸ*
797–802 *τοῦ ἁγίου Κωνσταντίνου ἕως Εἰρήνης τῆς Ἀθηναίας ἐκεῖσε κατ' ἰδίαν ἐπὶ ἅρματος ἔτρεχον οἱ βασιλεῖς.*

---

**128.** B sic discrepat: *Ἡ δὲ Δάφνη ἐκλήθη διὰ τὸ ἵστασθαι ἐν τῷ τόπῳ στήλην, ἥτις ἦν ἡ μαντικωτάτη ποτὲ δάφνη τοῦ Ἀπόλλωνος. Ἀλλὰ καὶ τύπος ἦν ἐν αὐτῷ τῷ τόπῳ τῇ πρώτῃ καλανδῶν ἤγουν τῶν Ἰανουαρίων* (*τὸν ἰανουάριον* cod.) *λαμβάνειν τοὺς συγκλητικοὺς δάφνας.*

---

**128.** Cf. Lydus de mens. p. 68, 18 W.

---

1 *τὸ κράτος τῆς βασ.* J, *περὶ τῆς βασ. αὐτοῦ* C, *τὸ κρατῆσαι τῆς βασ.* A, *τὸ κρ. τῆς βασ. αὐτοῦ* H  6 *Μαρκ.*] *ἰουστινιανὸς* B (cf. III 130)  *καὶ οὗτος κτλ.*] *καὶ ἐκαλεῖτο τὸ ὄνομα αὐτοῦ· ὁ αὐτὸς ἐποίησε καὶ τὸν χρυσοτρ.* H, sim. B (contamin. cum § 130)  7 In fine addit Lamb. perperam *καὶ τὸν Λαυσιακὸν* (ex III 130)  9 *τοῦ κυαιστορίου τοῦ ἱππικοῦ* C; *τοῦ κυαίστορος* HB  11 *στήλην ὄ. φέρουσαν* $A_2$CH, *στήλη ὄ. φέρουσα* $A_1$, *στήλη φέρον τὲ ὄνομα* J  12 *καὶ μαντεῖον ἦν· ἐκεῖσε γὰρ καὶ τοὺς στ. τῆς δάφνης κτλ.* AC  14 In fine addit Lamb. *παρὰ τοῦ δήμου* ex Geoponicis XI, 2 6 (*φύλλα αὐτῆς* [sc. *δάφνης*] *ἐπιδίδονται τοῖς ἄρχουσι παρὰ τοῦ δήμου τῇ πρώτῃ τοῦ Ἰανουαρίου μηνός*)  15 *ὁ δὲ ἐν τῷ παλατίῳ ἱππόδρομος* B  17 *καθιδίαν* J  *ἐπὶ ἅρμ.*] *δι' ἵππων* B  *τρέχοντες οἱ β. ἐγυμνάζοντο* H, sim. B

**130** (18, ιη'). Ὁ δὲ Ἰουστινιανὸς ὁ ῥινότμητος ἔκτι- 685-711
σεν τὸν Ἰουστινιανὸν τὸν τρίκλινον καὶ τὸν Λαυσιακόν.

**131** (19, ιθ'). Ἡ δὲ Τύχη τῆς πόλεως ἄγαλμα ἦν καὶ ἤχθη ἀπὸ Ῥώμης ἐπὶ τοῦ μεγάλου Κωνσταντίνου· ἵστατο δὲ ἐπάνω τῆς ἀψίδος τοῦ παλατίου. Ὁ δὲ βασιλεὺς Μαυρίκιος συνέτριψεν αὐτήν. 582-602

**132** (171, ϙβ'). Ἐκλήθη δὲ σιδηρᾶ ἡ πόρτα· ἐπὶ τοῦ μεγάλου Κωνσταντίνου ὁ μέγας κίων ὁ πορφυροῦς τοῦ Ἀνηλίου τρεῖς χρόνους ἐποίησεν πλωιζόμενος ἀπὸ Ῥώμης διὰ τὴν ὑπερβολὴν τοῦ μεγέθους αὐτοῦ· καὶ ἐλθὼν εἰς τὰς Σοφίας ἐν τῇ πόρτῃ θελόντων αὐτὸν ἐκβαλεῖν ἀπὸ τῶν σχιδέων ἐχώσθη εἰς τὸν αἰγιαλὸν πήχεις τεσσάρεις διὰ τὸ εἶναι χαῦνον καὶ ἀλσώδη τὸν τόπον· μέλλοντες δὲ τοῦτον ἐκσπάσαι οὐκ ἠδύναντο μετὰ ξύλων, ἀλλὰ μετὰ μοχλῶν σιδηρῶν· καὶ διὰ τοῦτο οὕτως ἐκλήθη.

**133** (119, ρνα'). Τὸ δὲ Κοντοσκάλιον ἡ πόρτα ἀπὸ B 109
Ἀγαλλιανοῦ τουρμάρχου, παρισταμένου ὅτε ἐκτίζετο ὁ λιμήν, ἔλαβε τὸ ὄνομα· ἐκαλεῖτο δὲ ἐκεῖνος Κοντοσκέλης· καὶ διὰ τοῦτο ἐκλήθη οὕτως.

---

L. 9 Cf. Georg. Monach. p. 500, 9 de B.

---

**130.** ACM, JH 1 ὁ ῥινότμ. om. ACH 2 ἰουστινιάνειον $A_2$, ἰουστινιανοῦ τὸν τρίκλ. $A_1$ λαυσάκωνα $A_1$M, λαυσιακῶνα $A_2$, Λαύσακον C, Λαμψάκονα J, λαυσιακόν H **131.** **132.** ACM, JHB 3 ἦν καὶ om. AC 4 ἐπὶ] παρὰ ACHB 7 Ἡ σιδ. πόρτα ἐκλήθη ὅτι ἐπὶ κτλ. A 8 ὁ πορφυροῦς] ὁ πορφυρὸς J, τοῦ φόρου rell. 10 sq. ἐν τῇ πόρτῃ τῶν σοφιῶν H εἰς τὰ σωφίας J 11 θέλων αὐτὸν εὐγάλε J ἀπὸ τῶν σχιδέων $A_1$C, ἀ. τ. σχεδῶν J, ἀ. τ. σχεδιῶν H, ἐκ τῶν λαῶν B (an πλοίων?), ἀπὸ τοῦ πλοίου $A_2$ 12 ἐχώθη C 13 ἀμμώδη $A_2$, τελματώδη H, de ἀσώδης cogitavit Bekker, ἰλυώδης Lamb. 13 μελῶντων J 14 ἐκσπάνε J, ἀποσπᾶν AC ἀλλὰ κτλ.] διὸ καὶ μετὰ μοχλῶν σιδηρῶν τοῦτον ἀνέσπασαν H, διὰ σιδηρῶν μοχλῶν κατέστρωσαν τὴν περὶ τὴν πόρταν ὁδόν B σιδ. μοχλῶν μεγάλων AC **133.** ACM, HG 16 κοντοσκέλιν $A_2$, κοντοσκάλι C, κοντοσκάλιον MHG 17 γαλιανοῦ $A_2$, σγαλλιανοῦ H τουρμάρχου om. HG 18 ἔλαβε τὸ ὄν. om. AC

**134** (183, *ρδ'*). *Τὰ δὲ καλούμενα Ψαρελαίου Μυρέ-* 741–775 *λαιον ἐκαλεῖτο· ὁ δὲ Καβαλλῖνος διερχόμενος ἠρώτησεν πατρίκιον τὸν Καμουλιανόν, πῶς κέκληται ἡ μονή· καὶ γνωρίσας τῷ βασιλεῖ τὸ ὄνομα τῆς μονῆς, ὁ βασιλεὺς ἐκέλευσε καλεῖσθαι ἔκτοτε τὴν μονὴν τὰ Ψαρελαίου, ἐνυβρίζων τὴν μονήν· καὶ παρευθὺ ἔφυγον οἱ μοναχοί.*

**135** (168, *ϛ'*). *Ὁ χορτοβολὼν εἰς τὸ Βούκινον ἐκκλησία ὑπῆρχεν τοῦ ἁγίου ἀποστόλου Ἀνδρέου, ἣν ἀνήγειρεν Ἰου-* 527–565 *στινιανὸς ὁ μέγας ἐκεῖσε βασιλεύων εἰσερχόμενος. Ὁ δὲ* 741–775 *Καβαλλῖνος ἐποίησεν αὐτὸν χορτοβολῶνα.*

**136** (184, *ρε'*). *Εἰς τὸν Ψωμαθέα ἵστατο εἴδωλον καί τις τῶν εἰδωλολατρῶν ὡς θεὸν αὐτὸ ἐσέβετο· ἔλεγον δὲ αὐτῷ οἱ φιλόχριστοι, ὅτι ʽτὸ εἴδωλον, ὃ σέβεσαι, ψευμάτινος θεός ἐστιν.ʼ Καὶ ἔλαβεν ὁ τοιοῦτος τόπος τὸ ὄνομα ἐκ τοῦ ψεῦμα θεός [ἢ ἀπὸ τοῦ ὕψωμα θεῖον, διὰ τὸ ἄνωθεν ἵστασθαι τὸν τίμιον σταυρὸν τοῦ κίονος].*

B 110 **137** (184, *ρε'*). *Ἡ δὲ πέμπτη πόρτα ἐκλήθη διὰ τὸ εἶναι κατ' ἀριθμὸν πέμπτην.*

**138** (193, *σλδ'*). *Ἡ Χαρσίου πόρτα ἐκλήθη ἐκ τοῦ*

---

**134. 135.** ACM, JHB 1 *ἡ μονὴ ἡ καλ. ψαρ.* H, *ἡ δὲ λεγομένη τοῦ ψωρελαίου μονή* B *μυρόδωνος* H, *μυρίδονα* B 2 *ἐκαλεῖτο ἡ μονή* A, *πρότερον ἐκαλεῖτο μονὴ οὖσα* C *ὁ δὲ Καβ.* — 3 *μονή* om. AC (homoiotel.) 3 *κουμουλιανόν* H *καὶ μη γνωρίσας* J, *τοῦ δὲ μὴ γνωρίσαντος* H, *τοῦ δὲ μὴ εἰδέναι εἰπόντος αὐτὸς εἰδὼς* B, *καὶ γνωρίσας* AC 4 *ἀντεῖπεν ὁ βασιλεύς, ἵνα ἀκούῃ ψαρέλαιον* AC 6 *τὴν μονήν*] *τοὺς μοναχούς* AC, *τὴν τῶν μοναχῶν βρῶσιν* H 7 *βύκινον* HB 9 *ἐρχόμενος καὶ ἐπευχόμενος* A **136.** ACM, JHGB 11 *Εἰς δὲ τὴν καλουμένην ψ.* HG *ψευμαθέαν* $A_2$, *ψαμαθὰν* C, *ψαμα*$^{ϑ}$' M, *ψαμαθέαν* H, *ψαμάθιον* $A_1$, *ψωμαθέα* J, *ψωμα*$^{ϑ}$' G 12 *αὐτὸ*] *αὐτοῦ* J 13 *αὐτῷ*] *αὐτὸν* J *ὃν* $A_1$, om. J *σέβῃ* codd praeter J *ψευσμάτινος* $A_1$, *ψευματέϊνος* $A_2$EM, *ψεματινός* D, *ψευματαίνος* J, *ψεσματέϊνος* H, *κατὰ ψεῦμα* G 14 *καὶ ἐτυμολογήθη ὁ τόπος οὕτως* C; pro *τόπος* Lamb. *πόρτα* interpol. *ἐκ τοῦ ψευμαθέος* J, correxi; *ψαμαθίας* (om. *ἐκ τοῦ*) $A_1$, om. rell. 15 Quae uncis inclusi, in solo H exstant **137.** ACM, HB **138.139.** ACM, JHB 19 *χαρισίου* C

*Χαρσίου δευτερεύοντος μέρους Βενέτων* [*ὅτι αὐτὸς παρίστατο ἐκεῖσε, ὅτε ἐκτίζετο*].

**139** (193, *σλδ'*). *Ἡ δὲ Ξυλόκερκος· διὰ τὸ εὑρεῖν πολλὰ ὕδατα τοὺς τεχνίτας καὶ πλημμύραν ὑδάτων, εἰς τὸ θεμελιῶσαι ἔρριψαν λίθους καὶ ἐποίησαν παντούρωσιν ξύλων πολλῶν.*

**140** (194, *σλϛ'*). *Ἡ δὲ Πολύανδρος διὰ τὸ ἑνωθῆναι ἐκεῖσε ἀμφότερα μέρη τῶν δημοτῶν, ὅτε ἔκτιζον τὰ τείχη*
*ἐπὶ τοῦ μικροῦ Θεοδοσίου.* 408-450

**141.** *Τὰ δὲ Γερμανοῦ Γερμανὸς πατρίκιος ὁ ὢν ἐν* B 113
*τοῖς χρόνοις Οὐαλεντινιανοῦ καὶ Γρατιανοῦ· γέγονεν δὲ* 364-383
*στρατηγὸς εἰς Πελοπόννησον καὶ ἀνήγειρεν τὸν οἶκον αὐτοῦ εἰς λοῦμα.*

**142** (232, *σλθ'*). *Τὴν δὲ Πηγὴν τὴν θεοτόκον* B 110
*ἔκτισεν Ἰουστινιανὸς ὁ μέγας· ἐξερχόμενος εἰς τὸ κυνη-* 527-565
*γῆσαι εἰς τὴν Θρᾴκην εἶδεν πλῆθος λαοῦ ἐξερχομένου ἐκ τοῦ ἐκεῖσε ὄντος εὐκτηρίου μικροῦ, ἑνὸς μοναχοῦ καθεζομένου· ἠρώτησεν δὲ ὁ βασιλεύς, τί ἐστιν· ὁ δὲ μάγιστρος*

---

**139.** B: *Ἡ Ξυλόκερκος πόρτα διὰ τοῦτο ἐκλήθη οὕτως, ὅτι ἐν τῷ τόπῳ εὑρόντες ὑδάτων βερέντων* (sic;?) *καὶ μὴ δυνάμενοι θῆσειν τεῖχος διὰ τὴν πολλὴν πλημμύραν, κέρκους καὶ παντουρώματα μετὰ ξύλων ποιήσαντες τεθείκασι τὸ θεμέλιον.*

---

1 *χαρσίου* alterum om. J *μέρος βενέτου* J Quae uncis inclusi, in solis HB exstant; B insuper in fine addit *τὸ χερσαῖον τεῖχος* 3 *ξιρόκερκος* J, *ξηρόκυρτος* H 4 *ὕδατα ἐκεῖσε τοὺς κτλ.* A *εἰς τὸ θεμέλιον* AH 5 *ἔριψεν* et *ἐποίησεν* J *πανδούρωσιν* J, *παντουρώσεις* AC, *παντουρώματα* H **140.** ACM, J 8 *ἀμφοτέρων μερῶν* J *τὸν βηνμότῶν* (sic) J, *τῶν δήμων* $A_1$C, correxi 9 *ἐπὶ τοῦ μικροῦ Θεοδοσίου* om. AC **141.** JHB (In HB ponitur 141 inter §148 et 149) 10 *Τὸ λοῦμα τὰ Γερμανοῦ κτλ.* B 11 *καὶ Γρ.*] scripsi, *καὶ γανψάνου* J, om. HB 12 *πολυπόννησον* J **142.** ACM, JHG 14 *τὴν θεοτόκον* om. AC 15 *διερχόμενος γὰρ ἀπὸ τοῦ κυνηγίου εἶδεν κτλ.* G 16 *εἶδε δὲ* $A_1$C 17 *καὶ ἑνὸς μοναχοῦ* ACH 18 sq. *στρατηγὸς καὶ μάγιστρος* $A_1$C, *στρατήγης ὁ μαγ.* $A_2$

*Στρατήγιος καὶ φύλαξ τῶν βασιλικῶν χρημάτων εἶπεν
αὐτῷ, ὅτι ἡ πηγὴ τῶν ἰαμάτων ἐστίν. Τότε θαυμάσας ὁ
βασιλεὺς ὥρισεν καὶ ἔκτισεν αὐτὴν ἐκ τῆς περιττευούσης ὕλης
τῆς μεγάλης ἐκκλησίας· ὑπὸ σεισμοῦ δὲ συμπτωθεῖσαν
797–802 τελείως ἀνήγειρεν αὐτὴν Εἰρήνη ἡ Ἀθηναία σὺν τῷ υἱῷ
αὐτῆς Κωνσταντίνῳ· ἐπεὶ πρὸ τῆς Εἰρήνης σξ′ ἔτη διῆλθον.*

B 111 **143** (230, σλζ′). *Ἡ δὲ Ἀχειροποίητος ἐκτίσθη παρὰ
τοῦ μεγάλου Κωνσταντίνου εἰς τὸ καθέζεσθαι Ἀβράμιον
τὸν μοναχὸν ἐκεῖσε· διὸ καὶ ἐκλήθη Ἀβραμίτης.*

**144** (231, σλη′). *Τὸ δὲ Ἕβδομον ὁ δρομικὸς ναὸς ἐκτίσθη παρὰ τοῦ μεγάλου Κωνσταντίνου εἰς ὄνομα τοῦ ἁγίου Ἰωάννου τοῦ θεολόγου.*

**145** (231, σλη′). *Ὁ δὲ στρογγυλόστεγος ὁ ἔχων τὰς
379–395 κόγχας ὠνομάσθη Πρόδρομος καὶ ἐκτίσθη παρὰ Θεοδοσίου
τοῦ μεγάλου, ὅτι ἐν τοῖς χρόνοις αὐτοῦ ἡ ἁγία κεφαλὴ τοῦ Προδρόμου εἰσῆλθεν, καὶ ἐδέξατο αὐτὴν εἰς τὸ Ἕβδομον ὁ βασιλεὺς καὶ ἀπέθετο εἰς τὸν ναὸν τοῦ Θεολόγου μετὰ Νεκταρίου πατριάρχου. Ὁ δὲ μάγιστρος Ῥουφῖνος ἔπεισεν τὸν βασιλέα κτίσαι ναὸν τοῦ Προδρόμου εἰς τὸ τεθῆναι τὴν ἁγίαν αὐτοῦ κάραν.*

---

**143. 144.** G: *Ἡ δὲ Ἀχειροποίητος καὶ ὁ ἅγιος Ἰωάννης ὁ θεολόγος τὸ Ἕβδομον παρὰ τοῦ ἐν ἁγίοις Κωνσταντίνου ἐκτίσθη πρότερον.* Sim. H.

---

2 *τὰ ἰάματα* J 3 *ὥρισεν καὶ* om. AC 4 *ὑπὸ* — 7 *διῆλθον* om. C *συμπτωθεὶς* $A_1$G, *-εῖσαν* $A_2$ H, *-ὲν* MJ 6 *παρερρύησαν δὲ ἀπὸ τῆς πρώτης οἰκοδομῆς ἕως τῆς β′ χρόνοι σξ′.* G (*σοζ′* B), *ἐπεὶ πρότερον σξ′ χρόνους ἦν οὕτως* A (sim. M) **143.** ACM, HGB 10 *ἀβραμίτης* $A_1$ *ἀβραμίτου* $A_2$E, *ἀβραμίου* D, *ἀβραμῖ*$^{\tau}$ MF **144.** ACM, JHGB 11 *ὁ* om. J **145. 146.** ACM, JHB 14 *στρογγυλὸς* J *στρ. ναὸς* C *τὴν κόγχαν* H 19 *Ὁ δὲ κτλ.*] *εἶτα διὰ τοῦ μαγ. Ῥουφ. ἔκτισε τὸν ναὸν τοῦ Προδρ.* B *ἐποίησεν* J 20 *εἰς τὸ*] *τοῦ* $A_1$

**146** (226, *σκη'*). *Τὰ δὲ Παυλίνου ἐκτίσθησαν παρὰ Παυλίνου μαγίστρου καὶ φίλου Θεοδοσίου τοῦ μικροῦ·* 408-450 *γνωστὸς γὰρ αὐτῷ ὑπῆρχεν· ἔστιν δὲ προάστειον αὐτοῦ ὁ τόπος· καὶ ἀνήγειρεν ναὸν τῶν ἁγίων Ἀναργύρων μήπω τελειώσας αὐτόν. Ἐπὶ δὲ αὐτοῦ εὑρέθη μῆλον ὀπώρας δίκην μοδίου τὸ μέγεθος ἀπὸ Φρυγίαν, κομίσαντος τοῦτό τινος· καὶ ἰδὼν αὐτὸ ὁ βασιλεὺς καὶ θαυμάσας, ὅτι ἐπὶ τῶν ἡμερῶν αὐτοῦ εὑρέθη τοιοῦτον, δέδωκεν τῷ κομίσαντι νομίσματα ρ'· τὸ δὲ μῆλον ἀπέστειλεν Εὐδοκίᾳ τῇ Ἀθηναίᾳ, τῇ Αὐγούστῃ αὐτοῦ. Ἐκείνη δὲ λαβοῦσα τοῦτο κατεῖχεν καὶ ἐθαύμαζεν ἐπὶ τῷ μεγέθει καὶ κάλλει τοῦ μήλου· καὶ προσελθὼν τῇ Αὐγούστῃ Παυλῖνος ὁ μάγιστρος καὶ εὑρὼν παρὰ τῇ δεσποίνῃ τὸ μῆλον ἐθαύμασεν εἰρηκὼς* B 112 *αὐτῇ· 'πόθεν εὑρέθη τὸ ἀγαθόν, δέσποινά μου;' Ἡ δὲ ἔφη·*

---

L. 1—5 B: *Ἡ μονὴ τοῦ Παυλίνου ἐκτίσθη παρὰ Παυλίνου μαγίστρου τοῦ οἰκειοτάτου ἀνθρώπου τοῦ βασιλέως Θεοδοσίου τοῦ μικροῦ, ὡσαύτως δὲ καὶ οἱ ἅγιοι Ἀνάργυροι τὰ Βραχέος. Ὅστις Παυλῖνος ἀνῃρέθη παρὰ Θεοδοσίου ζηλοτυπήσαντος αὐτὸν διὰ τὴν ἰδίαν γυναῖκα Εὐδοκίαν τὴν βασίλισσαν. Καὶ γὰρ ἐπὶ τῶν ἡμερῶν αὐτοῦ εὑρέθη κτλ.* re consentiens cum J, verbis discrepans 10—p. 262 l. 7 in brevius contraxerunt ACM: *ἐκείνη δὲ ἔπεμψεν αὐτὸ πρὸς Παυλῖνον. Ὁ δὲ βασιλεὺς μαθὼν καὶ ἀκριβωσάμενος τὴν αὐγούσταν* (*ἀκριβ. περὶ τῆς τούτου ἀποστολῆς* C) *καὶ γνοὺς τὸ ἀληθὲς ἐκείνην μὲν ἠμύνατο κτλ.*

---

**146.** ACM, JHB 1 *παυλίνης* codd. praeter B; urbis tractus et monasterium et *τὰ Παυλίνου* et *τὰ Παυλίνης* nominantur. *Τὰ παυλίνης ἐκλήθη ἀπὸ Παυλίνου μαγίστρου καὶ τοῦ θεοφιλοῦς Θεοδοσίου τοῦ μικροῦ κτλ.* AC 5 *αὐτοῦ*] sc. *Θεοδοσίου*. Nempe ea quae sequuntur ex historico quodam sumpta sunt *εὑρέθη* om. J 6 *δίκην μοδίου*] *μοδίου μέγεθος ἔχον* HB, *ἐπέχον μοδίου τὸ μέγεθος* C *κομίσας αὐτὸ τοῦτο τινὸς* J 7 *ὃς εἰδὸν αὐτὸ ὁ βασ.* J *καὶ θαυμάσας* om. J 9 *εὐδοκίαν τὶν αὐγούστιν αὐτοῦ* J (accusativos exhibet etiam $A_1$) *Αὐγ. αὐτοῦ*] *ἐκ τῆς ἁγίας σοφίας* add. HB (*ἐκεῖσε γὰρ ὄντι τῷ βασιλεῖ ἐκομίσθη* insuper addit B)

'λάβε τοῦτο'· ἐπεὶ ἠράσθη αὐτοῦ. Ὁ δὲ λαβὼν καὶ μὴ εἰδὼς ὅτι παρὰ τοῦ βασιλέως ἐδόθη τῇ Αὐγούστῃ, ἔπεμψεν αὐτὸ τῷ βασιλεῖ ὡς μέγα δῶρον. Ὁ δὲ βασιλεὺς ἰδὼν καὶ γνοὺς ὅτι τὸ ἀποσταλὲν τῇ Αὐγούστῃ μῆλόν ἐστιν, τῇ μὲν Αὐγούστῃ προσκαλεσάμενος ἔφη· 'ποῦ ἐστιν τὸ μῆλον ὃ παρέσχον σοι;' Ἡ δὲ ἔφη· 'εἰςελθὼν πρός με Παυλῖνος ὁ μάγιστρος ἐξῃτήσατο καὶ παρέσχον αὐτῷ.' Καὶ αὐτὴν μὲν ἠμύνατο αὐστηροῖς λόγοις· τὸν δὲ Παυλῖνον προσέταξεν ἀνερχόμενον ἐν τῷ παλατίῳ μελοκοπηθῆναι. Τοῦ δὲ ἀνερχομένου ὡς πρὸς τὸ Πάνθεον ἔξωθεν εἰς τὸ σκοτεινόν, οὐκ ἠδυνήθησαν τοῦτον σφάξαι, εἰ μὴ τὰ ὦτα αὐτοῦ ἐξέκοψαν· καὶ εὐθέως ἐνόησεν ὁ Παυλῖνος τὴν ἐπιβουλήν. Τοῦτο δὲ θαῦμα τῶν ἁγίων Ἀναργύρων γέγονεν, ἵνα τελειώσῃ αὐτὸς τὸν ναόν. Ἀκούσας δὲ ὁ βασιλεύς, ὅτι ἠστόχησαν αὐτόν, αἰσχυνθεὶς σφόδρα τὸν Παυλῖνον ἄγνοιαν προεβάλετο μηδὲν εἰδέναι. Τελειώσας δὲ τὸν ναὸν τῶν ἁγίων Ἀναργύρων ἀπεκεφάλισαν αὐτὸν φανερῶς προτροπῇ τοῦ βασιλέως. [Ἡ δὲ δέσποινα ὡς δῆθεν ἀτιμηθεῖσα ᾐτήσατο τὸν βασιλέα ἀπ-

---

6—7 H sic discrepat: Ἡ δὲ εἶπε φαγεῖν αὐτό. καὶ πάλιν ὥρκισεν αὐτὴν εἰς τὴν σωτηρίαν αὐτῆς. ἡ δὲ πάλιν εἶπε φαγεῖν αὐτό· ὁ οὖν βασιλεὺς ἐξενεγκὼν τὸ μῆλον ἔφη· καὶ τοῦτο τί ἐστι; Καὶ ταύτην μὲν ἠμύνατο κτλ. Quae sumpta sunt ex Georgio Mon. p. 609 de B. vel ex eius sectatore aliquo. L. 17—p. 263 l. 3 Cf. Georg. Monach. p. 609 de B.

---

1 ηράσθεισ (=ἠράσθης) J 3 τῷ βασ.] τὸν βασιλέα J 4 τὴν βασίλισσαν αὔγουσταν προσκαλ. H 8 sq. ἀνερχομένου αὐτοῦ J, εἰσερχόμενον H 9 μελοκ.] ὑπὸ δύο ἀνδρῶν μελοκοπηθῆναι AC, ἵνα μελοκωπίσωσιν αὐτὸν J 10 ὡς — σκοτεινόν] τὸν σκοτεινὸν κοχλίαν H, εἰς τὸ πάνθεον καὶ σκοτίας οὔσης B 12 καὶ om. J νοήσας τὴν ἐπιβουλὴν ἔφυγεν HB 14 ὅτι κτλ.] ὅτι ἀπέφυγε τὸν φόνον HB 15 ἀγνοία παρεβάλετο J μηδὲν εἰδέναι om. AC, καὶ τοὺς τολμητὰς ἀμῦναι ἔλεγεν addit B 16 Τελειώσας κτλ.] χρόνῳ δὲ ὕστερον τελειώσαντα τὸν ναὸν ἀπεκεφάλισε φανερῶς H, sim. B 17—p. 263 l. 3 in solo H exstant

*ελθεῖν εἰς τοὺς ἁγίους τόπους· καὶ συγχωρηθεῖσα ἐξῆλθεν· ἐκεῖσε οὖν γενομένη καὶ εὐαρεστήσασα τῷ θεῷ ἐν τῷ μέλλειν τελευτᾶν ἐξωμόσατο μὴ συνειδέναι τι μετὰ Παυλίνου.*]

**147** (90, ρκβ'). *Τὴν ἁγίαν Σορὸν τὰ Χαλκοπρατεῖα* B 113
*Ἰουστῖνος καὶ Σοφία ἔκτισαν οἱ καὶ τὸν ναὸν ἀνοικοδομή-* 565-578
*σαντες. Ἐκεῖσε δὲ ἀνεγίνωσκε Μιχαὴλ ὁ Ῥαγγαβὲ ὁ κουρο-* 811-818
*παλάτης πρὸ τοῦ βασιλεῦσαι καὶ Βάρδας ὁ Καῖσαρ ὁ θεῖος* 842-866
*τοῦ Μιχαὴλ καὶ πολλοὶ τῶν μαγίστρων. Ἐκεῖσε δὲ ἀπόκειται ἡ τιμία ζώνη καὶ ἡ ἐσθὴς τῆς ἁγίας θεοτόκου, τὸ δὲ ἅγιον ὠμοφόριον ἐν Βλαχέρναις.*

**148** (91, ρκγ'). *Ἀνήγειρεν δὲ καὶ τὸν ἅγιον Ἰάκωβον
ὁ αὐτὸς βασιλεὺς καὶ τέθηκεν ἐν τῇ σορῷ τῶν ἁγίων Νη-* 565-578
*πίων τὰ λείψανα καὶ τοῦ ἁγίου Συμεὼν τοῦ θεοδόχου καὶ τοῦ προφήτου Ζαχαρίου καὶ τοῦ ἁγίου Ἰακώβου τοῦ ἀδελφοθέου· καὶ ἐν τῇ ἁγίᾳ Σορῷ εὐωνύμως μὲν τοῦ ἁγίου Ἰωάννου Προδρόμου τὰς τρίχας, δεξιὰ δὲ τὰ σώματα πάντα τῶν ἁγίων μυροφόρων γυναικῶν.*

**149** (94, ρκς'). *Ὅτι εἰς τὸ Προσφόριν· καθώς φησιν Ἰωάννης ὁ Ἀντιοχεύς, ὁπόταν ὁ Βύζας ἔκτιζεν τὸ Βυζάντιον,*

---

149. B: *Περὶ δὲ τοῦ Προσφορίου τῆς ἐπωνυμίας ταῦτά φησιν Ἰωάννης ὁ Ἀντιοχεύς, ὅτι εἰς τὸ σιγματοειδὲς τοῦ τείχους εἶχον ἔθος πωλεῖν τοὺς βόας, ὃ καὶ ἐκράτει μέχρι τοῦ Κοπρωνύμου. Εἷς δέ ποτε βοῦς οἰστρηλατήσας εἰσῆλθε τὴν θά-*

---

147. ACM, JHGB 4 *καὶ τὰ χαλκοπρ.* H, *τὴν ἐν τοῖς χαλκοπρ.* G 5 *ἔκτισεν* $A_1$ J *οἱ — ἀνοικοδ.* om. JHG 6 *ἐκεῖσε κτλ.*] *ἐν δὲ τῇ ἀγρυπνίᾳ ἀνεγίνωσκον μεγάλοι ἄνθρωποι, ὅ τε μιχαὴλ κτλ.* G *ῥαγαβᾶς* $A_1$, *ῥαγκαβᾶς* $A_2$, *ῥαγαβὲ* J (*ὁ* om.), H 9 *ἐσθίτα* J 10 *μαφόριον* AC 148. 149. ACM, JHB 11 *ἀνίγαγεν* J *ἰάκωβον τὸν πλησίον αὐτῆς* H 12 *καὶ τέθηκεν κτλ.*] *ἔνθα εἰσὶν ἐν σοροῖς λείψανα τῶν ἁγίων νηπίων, συμεὼν κτλ.* B 13 *λήμψανα* J 15 *καὶ* ante *ἐν* om. J *εὐόνυμον* J 16 *δεξιὸν δὲ* J *τὰ σώματα πάντα*] *πασῶν* A 18 *Περὶ τοῦ βοσπορίου φησὶν ἰωάννης* H *εἰς* om. $A_1$C *βοσπόριον* C 19 *ὁπόταν*] *ὅτι ὅτε* H, *ὅτι* $A_1$

B 114 *βοῦν ἀπέστειλεν ἀπὸ τοῦ Προσφορίου, καὶ ἐπέρασεν ἐν Χρυσοπόλει· καὶ διὰ τοῦτο ἐκλήθη Βοσπόριον. Ἐκεῖσε δὲ ἐπώλουν τοὺς βόας εἰς τὸ σιγματοειδὲς τεῖχος μέχρι τοῦ*
741-775 *Κοπρωνύμου· ἐκεῖνος δὲ ὥρισεν εἰς τὸν Ταῦρον πωλεῖν αὐτούς.*

**150** (229, σλα΄). *Εἰς δὲ τὸ Κεντηνάριν τὸν πύργον ὁ μέγας Κωνσταντῖνος κεντηνάριν ἐξωδίασεν· πολὺν γὰρ ἀνήγειρεν αὐτὸν μέγαν. Σεισμοῦ δὲ γενομένου καὶ χαλά-*
829-842 *σαντος, ἀνηγέρθη παρὰ Θεοφίλου ὡς ὁρᾶται μικρός.*

**151** (150, ρπγ΄). *Τὸ δὲ παλαιὸν Πετρὶν οἶκος ἦν*
527-565 *Πέτρου πατρικίου ἐν τοῖς χρόνοις Ἰουστινιανοῦ τοῦ μεγάλου· ἔλεγον δὲ αὐτὸν Βαρσυνιανὸν τὸν Σύρον τὸν πολλὰς ἀρχὰς διανύσαντα μετὰ δόξης.*

**152** (198, σ΄). *Τὴν δὲ μονὴν τὰ Ῥωμαίου ἔκτισεν*
457-474 *ἐν τοῖς χρόνοις Λεωμακέλλη Αἵμων πατρίκιος Ῥωμαῖος· τότε γὰρ εἰσῆλθεν καὶ ᾤκησεν ἐκεῖ· ἔχει ὅτε ἐκτίσθη χρόνους πεντακοσίους τριάκοντα δύο.*

**153** (219, σκγ΄). *Ἡ δὲ μονὴ ἡ καλουμένη τὰ Προκοπίας ἐκτίσθη παρὰ Προκοπίας δεσποίνης, τῆς θυγα-*

---

*λασσαν καὶ ἐπέρασεν εἰς Χρυσόπολιν καὶ διὰ τοῦτο ἐκλήθη Βοοσπόριον.*

---

2 post *Χρυσόπ.* addit E: *ἥτις ἐστὶν ἀντικρὺ τῆς νῦν ὀνομαζομένης ἄρκλας* *βοσπόριν* A 3 *ἐπολόσαν* J *καὶ εἰς τὸ σιγμ.* C 4 *ἐκεῖνος — αὐτούς* om. JHB **150—153.** ACM, JHGB 6 *Εἰς δὲ τὸν πύργον τὸν καλούμενον κεντηνάριον* H 7 *ὁ μέγας — ἐξωδίασεν*] *ἔξοδος ἐγένετο πολλή* $A_1$ C *πολὺν — μέγαν* om. AC, *κατὰ πολὺ δὲ ἀνήγειρεν αὐτὸν μέγαν* H, *μέγαν καὶ περιφανῆ αὐτὸν ἀνήγειρεν* B 9 in fine addit *ἐγγράψας καὶ τὸ ὄνομα αὐτοῦ* H, *φέρει δὲ τὸ ἀρχαῖον ἐπώνυμον* GB 10 *οἶκος ἦν κτλ.*] *ὑπὸ πέτρου πατρικίου ἐκτίσθη* H, sim. G 12 *βαρσυνιανόν* C, *βαρσιανὸν* $A_1$, om. $A_2$, *βρασισινιανόν* J, *βοασυινόν* H, *βοασουνιανόν* G; Procopius eum dicit *Βαρσύμην* 15 *Αἵμων*] (*ἐκτίσθη παρὰ*) *ἔμμονος* $A_2$, *ἔμβωνος* DF 16 *ἦλθεν* J *ἐκεῖ* om. $A_1$ F *ἔχει — δύο* om. HG$A_2$ *ὅτι* J 18 *τὰ* om. J *τὰ προκοπίου* $A_1$CG, *τὰ προκοπίου εἰς τὰ παλατίτζια* E

*τρὸς Νικηφόρου τοῦ Σελευκηνοῦ καὶ γυναικὸς Μιχαὴλ* 811-813
*Ῥαγγαβὲ τοῦ ἀποκουροπαλάτου.* [*Ἔκτισε δὲ ἐκεῖσε καὶ*
*παλάτια μικρὰ καὶ περικαλλῆ· διὰ ταῦτα οὖν ἐκλήθησαν*
*παλατίτζια.*]

**154** (*σιε'*). *Τὸν δὲ ἅγιον Εὐστάθιον ἔκτισεν Εἰρήνη* 797-802
*ἡ εὐσεβεστάτη Αὐγούστη, ἡ Ἀθηναία.*

**155** (234, *σμγ'*). *Ἡ μονὴ τὰ Ἀρμαμενταρέας τοῦ* B 115
*ἁγίου Παντελεήμονος πρώην ὑπὸ Μαυρικίου ἀρμαμέντον* 582-602
*ἦν· μετὰ δὲ χρόνους σμη' Θεοδώρα ἡ γυνὴ Θεοφίλου* 829-842
*μονὴν αὐτὸ ἐποίησεν καὶ κτήματα πολλὰ προσεκύρωσεν.*

**156** (233, *σμβ'*). *Τὰ δὲ Πικριδίου ἔκτισεν Πικρίδιος*
*κοιτωνίτης ἐν τοῖς χρόνοις Εἰρήνης τῆς Ἀθηναίας.* 797-802

**157** (235, *σμδ'*). *Τὸ δὲ Καστέλλιν ἔκτισεν Τιβέριος* 578-582
*ὁ πενθερὸς Μαυρικίου διὰ τὸ ἐλθεῖν Χαγάνον τὸν ἄρχοντα Βουλγαρίας καὶ ἐμπρῆσαι καὶ κατακαῦσαι ἅπαντα τὰ Θρακῷα μέρη μέχρι τῶν πορτῶν· ἐκαστέλλωσεν δὲ τὸ τεῖχος καὶ ἀπέκλεισεν τὰς ναῦς· καὶ ἐκλήθη οὕτως.*

**158** (244, *σνα'*). *Τὸν δὲ Ἀνάπλουν ὁ μέγας Κωνσταντῖνος ἀνήγειρεν.*

---

1 *σελευκείτου* $A_2$, *σελεύκου* J, *σελευκείας* G, *σελευκίου* $A_1$C, *σελευκκῆ*[ου] H  2 *ῥαγάβη* $A_1$, *ῥαγγαβᾶ* $A_2$F, *ραγαβὲ* JDH, *ῥαγγαβὲ* E  *κουροπαλάτου* H, *ἀπὸ κουροπαλατῶν* ACG  Quae uncis inclusi, in solo E exstant  **154.** AM, JGB  6 *αὐγούστι ἀθινέα* J  **155.** ACM, JGB  7 *τὰ μαρμενταρέας* J, *ἀρμαμενταρίου* DF, *ἀρμαμέντα* G  8 *ὑπὸ*] *ἐπὶ* C  *ἀρμαμέντου* J, *ἀρμαμενταρεῖον* G  **156—158.** ACM, JHB  11 *Τὰ πικριδίου ἡ μονὴ* C  *πικρόδις* J  12 *κοιτωνάριος* H, *ἐν—Ἀθην.* om. $A_1$ E, *ἐν τοῖς κύρω* DF, *ἐν τοῖς κύρωσε* M  13 *ἔκτισεν*] *ἐκτίσθη καὶ ἐκλήθη οὕτως·* AC  14 post *Μαυρ.* inserunt C *ἐκαστέλλωσε καὶ ὠχύρωσε τὰς ναῦς* (vide B infra)  *διὰ—πορτῶν*] *διὰ τὸ μὴ καῦσαι τὸν στόλον αὐτοῦ χάγανος ὁ ἄρχων βουλγαρίας* B  15 *τῶν βουλγάρων* $A_1$  *κατασφάξαι* $A_1$ C  16 *δὲ* solus H, om. J, *ὅθεν καὶ ἐκαστ.* C, *ἐκεῖσε γὰρ τὰ πλοῖα ἤγαγε καστελλώσας καὶ ὀχυρώσας αὐτά.* B  17 *καὶ ἐκλήθη οὕτως* om. ACHB  18 § 158 cum § 163 contaminat H sic: *Τὸν δὲ ἀνάπλουν ὁ μέγας Κ., ἀλλὰ καὶ τὸ σωσθένιον ἀνήγειρε.* Sim. B  *ἀνάπλουν*] *ἅγιον εὔπλουν* $A_1$

**159** (238, *σμε΄*). *Τὸν δὲ ἅγιον Μάμαντα ἀνήγειρεν*
457-474 *ὁ Λεωμακέλλης, διότι ἐνεπυρίζετο ἡ πόλις μῆνας ἕξ· καὶ*
*ἐξελθὼν ὁ Λεωμακέλλης ἔκτισεν ἐκεῖσε παλάτια καὶ ἔμβο-*
*λον καὶ τὸν ναόν· καὶ μετὰ τὸ διελθεῖν τὸν ἐμπρησμὸν*
B 116 *ἔβρεξεν ἐπ' αὐτὴν στάκτην, σπιθαμὴν τὸ πάχος· ἔκτισε δὲ*
867 *καὶ ἱπποδρόμιον ἐκεῖσε· ἐξ οὗ καὶ Μιχαὴλ ὁ βασιλεὺς*
*ἐκεῖσε ἀνῃρέθη παρὰ Βασιλείου.*

**160** (245, *σνβ΄*). *Τὸν δὲ ἅγιον Ταράσιον λέγουσιν*
784-806 *εἶναι προάστειον τοῦ ἁγίου Ταρασίου τοῦ πατριάρχου· καὶ*
*ἀνέστησεν αὐτὸ μονὴν μετὰ θάνατον.*

**161** (243, *σν΄*). *Τὴν δὲ μονὴν τὰ Δαμιανοῦ ἔκτισεν*
829-867 *Δαμιανὸς παρακοιμώμενος Σκλάβος ἐν τοῖς χρόνοις Θεο-*
*φίλου καὶ Μιχαήλ.*

---

**159.** G (quocum facit B) valde discrepat: *Τὸν ἅ. Μάμ. Λέων ὁ μακέλλης ἀνήγειρε, διότι ἐκαίετο ἡ πόλις μῆνας ς΄. Ἐν ᾧ ὁ ῥηθεὶς βασιλεὺς καὶ παλάτια ἔκτισεν καὶ ἐμβόλους καὶ ἱπποδρόμιον ἐν ᾧ οἱ βασιλεῖς ἡνιόχευον, ὅπου καὶ Μιχ. ὁ υἱὸς Θεοφίλου τοῦ βασ. ἀνῃρέθη παρὰ Βασ. τοῦ Μακ. Λέγεται δὲ ὅτι μετὰ τὴν τότε ἐπιμονὴν τοῦ ἐμπρησμοῦ καὶ χειμὼν γέγονεν, οἷος ἄλλοτέ ποτε οὐκ ἐγένετο. Ἀλλὰ καὶ αἰθάλη καθαρὰ ἐξ οὐρανοῦ ἔπεσεν, ὡς κεῖσθαι ἐν τοῖς κεράμοις ἄχρι καὶ σπιθαμῆς.* **160.** B sic discrepat: *Τὸν ἅ. Ταράσιον τὴν μονὴν λέγουσιν, ὅτι ὁ ἅ. Τ. ὁ πατρ. ἐκεῖσε ἐτέθη καὶ μετὰ τὸν θάνατον αὐτοῦ ἐγένετο μονή.*

---

**159.** ACM, JHGB 2 *ὁ μακέλις* J *ἐνεπρίσθετο* J 3 *Λεωμ. καὶ ἔκτισεν ἐκεῖ παλάτια διότι κτλ.* AC *ἔμβολον*] *μόλον* D (et Banduri, sed cf. chron. Pasch. p. 598, 17), *ἐμβαλλὸν* (= *ἐμβάλλων*) J 4 *μετὰ τὸ διελθεῖν τὸν ἐμπρησμὸν*] *ὁρᾷ καὶ* (*ἑώρα ἀπεκεῖσε* C) *τὴν πόλιν ἐμπυριζομένην* AC 5 *ἐπ' αὐτὴν* AC, *ἐπαντὶ* J, om. H; exspectamus *ἐπ' αὐτὸν* sc. *ναόν* *στάκτην* om. A, *στάκτη σπιθαμὴ* J, *στακτὴν ἥτις καὶ εἰς τοὺς κεράμους ἔκειτο σπιθαμὴ κτλ.* H (*στάκτην ἄνωθεν τῶν κεράμων σπιθαμήν* E) Post *πάχος* addit H: *ὅτε καὶ ὁ ὅσιος δανιὴλ ἐν τῷ ἀνάπλῳ ἦν* 6 *ἐξ οὗ*] *ἐν ᾧ* CH **160—162.** ACM, JHB 8 *ταράσιν* J 9 *προάστ.*] *προ* J *καὶ κτλ.*] *ὕστερον δὲ γέγονεν εἰς μονήν.* H 10 *αὐτὸν* $A_1$ 12 *σκλάβος* om. $A_1$, *ὁ σθλάβος* DEH, B (qui *ὁ* om.)

**162** (242, σμζ'). *Τὸν δὲ ἅγιον Φωκᾶν Βασίλειος ὁ* 867-886
*βασιλεὺς κτίζει μετὰ καὶ τοῦ Φόρου καὶ τῆς Νέας, καὶ τὰ*
*παλάτια τῶν Πηγῶν.*

**163** (246, σνγ'). *Τὸ δὲ Σωσθένιον τὸν Ἀρχιστράτηγον ὁ μέγας Κωνσταντῖνος ἔκτισεν.*

**164** (247; 241, σμθ'). *Τὴν δὲ Χρυσοκέραμον ἔκτισεν*
*Ἰουστῖνος καὶ Σοφία ἡ Λωβή, ὅταν καὶ τὸ ὀρφανοτροφεῖον* 565-578
*τὸν ἅγιον Παῦλον ἀνήγειρεν καὶ τὸν ὅσιον ⟨Ζωτικὸν⟩ καὶ*
*τὰ Σοφίας τὸν λιμένα καὶ τὰς Σοφιανάς.*

**165** (240, σμη'). *Τὰ δὲ ζευκτὰ κιόνια· εἶχον ἐκεῖσε τοὺς τιμίους σταυροὺς τοὺς ὄντας νυνὶ εἰς τὴν Βώνου Ἰουστῖνος δὲ ἐποίησεν τοὺς σταυρούς.*

**166** (254, σξ'). *Τὰ δὲ Εὐτροπίου ὁ λιμήν, ἐν ᾧ*
*ἀπετμήθη Μαυρίκιος σὺν γυναικὶ καὶ τέκνοις, ἐποίησεν* 602
*αὐτὸν λιμένα Εὐτρόπιος πρωτοσπαθάριος καὶ κυαίστωρ ἐν* 474-518
*τοῖς χρόνοις Ζήνωνος καὶ Ἀναστασίου· ἀνήγειρεν δὲ καὶ* B 117
*τὴν μονήν.*

---

**164.** B sic discrepat: *Ἡ δὲ πέραθεν τοῦ Στενοῦ λεγομένη ἐκκλησία Χρυσοκέραμος παρὰ Ἰουστινιανοῦ* (sic) *καὶ Σοφίας τῶν εὐσεβεστάτων βασιλέων ἐκτίσθη· παρ' ὧν ἐκτίσθη καὶ ὁ ἅγιος Π. τὸ ὀρφανοτρ. καὶ ὁ ὅσιος Ζωτικὸς ὁ εἰς τοὺς Λωβούς, τοῦ αὐτοῦ ὁσίου καὶ ἀνθρώπου παρισταμένου αὐτῶν ἐν τοῖς κτίσμασι, ἀλλὰ καὶ ὁ λιμὴν τῶν Σοφιῶν καὶ αἱ Σοφιαναὶ τὰ παλάτια πέρα τοῦ Στενοῦ.*

---

1 Post *Φωκᾶν* et l. 3 post *παλάτια* inserit *πέρα* B 2 (*τὴν νέαν*) *εἰς τὸ παλάτιον καὶ τὰ παλ.* B *τῶν παλατίων* C **163.** ACM, J (de HB cf. § 158) 4 *τὸ δὲ σωστένην* J, *τὴν δὲ μονὴν τοῦ σωσθενίου* C (sim. M) **164—171.** ACM, JHB 8 *Ζωτικὸν* inserui ex B; *ὁ ὅσιος ζωστήρ* H, om. rell. cf. III 47 9 *τὸν σοφίας λιμ.* $A_1$, *τῆς σοφίας τὸν λιμ.* $A_2$, *ὁ λιμὴν τῶν σοφιῶν* H, om. C 10 *κιόνιά εἰσιν ὅπου εἶχε* C *εἶχε* AC 11 sq. *τοὺς ὄντας — σταυρούς* J, *οὓς ἐποίησεν ἰουστῖνος τοὺς ὄντας νῦν εἰς ////νου* H; pro his *ὁ δὲ ῥωμανὸς ὁ γέρων ἀνήγειρεν αὐτά* A, sim. CB 14 *γυναιξὶν* ACJ 15 sq. *ἐν τοῖς χρόνοις Κωνσταντίνου τοῦ βασιλέως* C 16 *ἀνήγ.—μονήν* om. CHB *δὲ καὶ* om. J

**167** (248, σνδ′). *Τὰ δὲ Μαλελίας ἀνήγειρεν Λέων
πρωτοασηκρήτης, οὕτω τὸ ἐπίκλην κεκλημένος.*

**168** (249, σνε′). *Ἡ δὲ Παλαμίδου ἡ λεγομένη· μαρ-
μάρινος στήλη ἐκεῖσε ἵστατο, ἣν ἀνήγειρεν Θεόφιλος ὁ
φιλόσοφος ἐν τοῖς χρόνοις Κωνσταντίνου βασιλέως.*

**169** (251, σνζ′). *Τὰ δὲ τῆς Ἱερείας παλάτια ἐκτίσθη-*
527-565 *σαν παρὰ Ἰουστινιανοῦ τοῦ μεγάλου· ὁ δὲ ἀνεψιὸς αὐτοῦ*
565-578 *Ἰουστῖνος καὶ Σοφία ἐκαλλώπισαν αὐτά· Ἱερεία δὲ ἐκλήθη
ὅτι τῆς Ἥρας ἦν ὁ ναὸς ἐκεῖσε.*

**170** (252, σνη′). *Τοῦ δὲ Βρύαντος τὰ παλάτια*
578-602 *ἔκτισεν Τιβέριος καὶ Μαυρίκιος· ἐκλήθη δὲ Βρύας, ὅτι,
μέλλοντος τοῦ ἐσχάτου βασιλέως ἐξελθεῖν καὶ κατοικῆσαι εἰς*

---

**170.** B sic discrepat: *Τὰ εἰς τὸν Βρύαντα παλάτια Τιβέριος ὁ βασιλεὺς ἔκτισε καὶ ὁ γαμβρὸς αὐτοῦ Μαυρίκιος. Ἐκλήθη δὲ Βρύας προφητικῇ ῥήσει διὰ τὸν μέλλοντα αὐτόθι ἀκουσθῆναι βρυγμὸν τῆς πόλεως· καὶ γὰρ ὁ ταύτης τῆς πόλεως ἔσχατος βασιλεὺς μέλλων ἐξελθεῖν προστάξει θεοῦ καὶ ἀπελθεῖν εἰς Ἱερουσαλὴμ καὶ ἀποδοῦναι τῷ Κυρίῳ τὴν βασιλείαν τῶν Ῥωμαίων ἅμα τῷ διαδήματι αὐτοῦ, ἐπειδὰν γένηται ἐν τῷ τοι-*

---

1 *τὰ δὲ μαλελίας* $A_1$, *τις δὲ μαλ.* J, *τῆς δὲ μαλελίας τὴν μονὴν* C, *τὰ μακελίας* coni. Lamb. *Λέων*] *μαλῖος* C

2 *πρωτοασηκρ.*] *καὶ βασί*$^{λ}$ add. J, falso: neque enim imp. Leo *πρωτοασηκρ.* fuit *οὕτω — κεκτημένος* J, *κεκλ.* scripsi; *οὕτως καλούμενος* $CA_2$, om. $A_1$HB 3 *ἡ δὲ παλαμὶς ἡ λεγομένη* J, correxi, *τὴν δὲ παλαμύδα* A, *τὴν δὲ πηλαμίδα* C, *ἐν δὲ τῇ λεγ. πηλαμίδου* H, *ἐν δὲ τῇ μονῇ ἣ λέγεται τὸ πηλαμίδου* B *μαρμάρινος — ἣν* om. AC 4 *θεόφιλος* JHB, *θέων* M, *Λέων* AC 5 *κωνστ. τοῦ μεγάλου* CB, *κωνστ. τοῦ πορφυρογεννήτου* H 6 *τὰ δὲ ἐν τῇ ἠρία παλ.* H, *τὰ δὲ ἐν τῇ ἱερία παλ.* B 7 *Ἰουστινιανοῦ*] *κωνσταντίνου* H 8 *Ἱερεία*] *ἠρία* H *Ἱερ. — ἐκεῖσε*] *καλοῦνται δὲ ἱέρια ἤγουν τάφοι, ὅτι τὸ παλαιὸν ἐκεῖ ἐθάπτοντο οἱ πολῖται· καὶ δηλοῦσι τὰ πολλὰ μαρμάρινα κιβώρια* B 9 *Ἥρας*] nempe *ἠρία* et *ἱερεία* similiter pronuntiabantur *ναός*] H addit *ἢ ὅτι οἱ τεθνεῶτες τῶν πολιτῶν ἐκεῖ ἐθάπτοντο* 10 *βρύαντος* A, *βρύα* E, *βρύος* J, *τὰ δὲ εἰς βρύ*$^{α}$ *παλ.* H

*Ἱεροσόλυμα, ἐν αὐτῷ τῷ Βρύαντι θέλει ἀκοῦσαι τὸν βρυγ-* B 118
*μὸν καὶ τὴν βοὴν τοῦ κλαυθμοῦ τῆς πόλεως.*

**171** (253, *σνθ'*). *Ὁμοίως καὶ τοῦ Δαματρὺ τὰ πα-*
*λάτια ἐκεῖνοι ἔκτισαν· ἐκεῖσε δέ ἐστιν τὸ πήδημα Κωνσταν-* 780–797
*τίνου βασιλέως τοῦ τυφλοῦ υἱοῦ Εἰρήνης.*

**172** (*σλβ'*). *Τὰ Φλώρου καὶ τὰ Καλλιστράτου ἔκτισαν*
*δύο ἀδελφοὶ οὕτως καλούμενοι εἰς οἴκους αὐτῶν· μετὰ δὲ*
*θάνατον αὐτῶν ἐγένοντο μοναὶ ἐν τοῖς χρόνοις τοῦ μεγάλου*
*Κωνσταντίνου· ἐξ οὗ καὶ Παῦλος πατριάρχης μετὰ υξη'* 780–784
*ἔτη γνοὺς τὸν θάνατὸν αὐτοῦ ἐν τοῖς χρόνοις Εἰρήνης παρ-*
*ῃτήσατο τὸ πατριαρχεῖον· καὶ κατελθὼν ἐκεῖσε ἐκαθέζετο*
*καὶ ἡσύχαζεν καὶ τέθνηκεν ἐκεῖσε μετὰ μῆνας δ'.*

**173** (177, *ϙθ'*.) *Τὰ δὲ παλάτια τὰ Ἐλευθερίου καὶ*
*τὰ ἐργοδόσια ἔκτισεν Εἰρήνη δέσποινα καὶ Κωνσταντῖνος ὁ* 780–802
*υἱὸς αὐτῆς· ἀπὸ δὲ τῶν ἐκεῖσε μέχρι τὰ Ἀμαστριανοῦ*
*ἱππόδρομος ἦν, γεγονὼς παρὰ τοῦ μεγάλου Θεοδοσίου. Ἡ* 379–395
*δὲ αὐτὴ Εἰρήνη τοῦτον κατέλυσεν.*

**174** (*ϱϙα'*). *Τὸ δὲ λεγόμενον μέγα λοετρὸν τὸ πλη-*
*σίον τοῦ Βοὸς ἐκτίσθη παρὰ Νικήτα εὐνούχου καὶ γεγονό-*

---

*οὕτω βουνῷ τοῦ Βρύα, μέλλει ἀκοῦσαι μετὰ πάντων τῶν ἀκολουθούντων αὐτῷ τὴν βοὴν καὶ τὸν βρυγμὸν τοῦ ἐναπομείναντος λαοῦ, τῆς πόλεως ἤδη ποντιζομένης.*

---

2 *καὶ* om. J *κλαυθμῶνος* AC 3 *δαμαντρὶ* $A_1$, *δαματρὶ* E, *δαματρίου* B 4 *ἐστιν*] *ἦν* AC 5 *τοῦ τυφλωθέντος παρὰ εἰρήνης τῆς μητρὸς αὐτοῦ* H (sim. B) **172.** AM, JHB
6 *Φλωρεντίου* Lamb. ex coniect., sed cf. Nicephor. p. 38, 4 et 6. Theophan. p. 457, 16 *τὰ* ante *Καλλ.* om. AH
7 *εἰς τοὺς οἴκους αὐτῶν* $A_1$ 8 *γέγονε μονὴ* M 9 *ξη'* AM, *υκη'* HB 11 *τὸ πατριαρχεῖον* om. H 12 *μετὰ μηνῶν τεσσάρων* J **173.** ACM, JHB 13 *τὰ ἐλ.* J, *τῶν ἐλ.* rell.
14 *τὸ ἐργοδόσιον* J 15 *μαστριανοῦ* J 16 *γεγονότος* J *παρὰ τοῦ δευτέρου κτήτορος τῆς πόλεως τοῦ μικροῦ θεοδοσίου* B
17 In fine addit B *καὶ ἔκτισεν ἐν αὐτῷ τὰ . πιτόρια* (*πιστώρια* $B_1$). Cf. III 85 **174—176.** AM, JHB 19 *καὶ*] *τοῦ* $A_2$ *γεγονότος* om. HB

829-842 τος ἐπὶ τῆς τραπέζης ἐν τοῖς χρόνοις Θεοφίλου τοῦ βασιλέως.

**175** (ϙβʹ) Ὁ δὲ ἀρχιστράτηγος τὰ Ἀββακερᾶ πλησίον
457-474 τοῦ Ξηρολόφου ἐκτίσθη παρὰ Λέοντος Μακέλλη· ἐκλήθη δὲ οὕτως, ὅτι εὑρέθη ἐκεῖσε ἀβάκια παμμεγεθέστατα καὶ ἀξιοθαύμαστα.

B 119 **176** (ϙγʹ). Τὸ Κρύσταλλον δὲ ἐκλήθη ἡ θεοτόκος
457-474 οὕτως, ὅτι ἐκεῖσε διερχόμενος ἔφιππος ὁ Λέων ὁ Μακέλλης ἔπεσεν κρύσταλλος χειμῶνος ὄντος καὶ ἔδωκεν αὐτῷ.

**177** (236, σμʹ). Ὅτι τὰ Ἱερίου πέραν· ἱερέως τινὸς ἐσέβετο στήλη τοὔνομα Ἶρος. Λέγεται δὲ Ἱερίου διὰ τὸ μνημεῖα πολλὰ εἶναι ἐκεῖσε· ἀλλὰ καὶ οἱ πολῖται πάντες ἐκεῖσε ἐθάπτοντο.

**178** (236, 237, σμʹ, σμαʹ). Τὸν δὲ ἅγιον Γεώργιον ὁ μέγας Κωνσταντῖνος ἀνήγειρεν. Πρῶτον δὲ ὁ ἅγιος Ἀνδρέας ὁ ἀπόστολος ἐκάθισεν ἐκεῖσε καὶ ἐδίδασκεν· εἶθ' οὗτος ἐχειροτόνησεν τὸν ἅγιον Στάχυν εἰς τὴν ἁγίαν Εἰ-

---

**177.** H: *Περὶ τῶν Ἡρίων λέγεται ὅτι οἱ ἀποθνήσκοντες πολῖται ἐκεῖσε ἐθάπτοντο· ἢ ὅτι στήλη τινὸς ἐκεῖσε ἐσέβετο ἥρως καλουμένου.* B: *Περὶ δὲ τῶν Ἡρίων· ὅτι οἱ ἀποθνήσκοντες τῶν πολιτῶν πρὸ τοῦ κτισθῆναι τὸν ἅγιον Λουκᾶν ἐκεῖσε ἐθάπτοντο.*

---

1 *ἐπὶ τῆς τραπέζης* $A_2$B, *ἐπὶ τραπέζης* H, *τῆς τραπ.* J$A_1$ 3 *τὰ*] *τοῦ* H *ἀββακερᾶ* $A_1$, *ἀββάκερα* $A_2$, *ἀβάκιρα* J, *ἀβακύρου* H, *ἀβακηρὰ* B, *ἀβάκια* coni. Lamb.; vid. ind. topogr. 7 *ἐκλήθη δὲ* (*καὶ* add. $A_2$) *κρύσταλος κτλ.* A 9 *αὐτόν* codd. praeter $A_1$ **177. 178.** ACM, JHB 10 *τὰ ἱερίου ὅτι·τὰ ἰσπέραν ἱεραίος τινὸς ἐσαίβοντο στίλι τούνομα ἶρις·* J 11 *λέγεται δὲ καὶ γερίου* AF; *λ. δ. κ. ἠρίου* E, hoc fortasse recte 12 *πάντες* om. AC 14 *τὸν δὲ ἅ. Γεώργιον*] *τὸν δὲ ναὸν* AC (*Γρηγορίου* Lamb. codicibus invitis scribit) 16 *ἐκάθισεν*] *ἐκάθιτῶν* J 17 ab *εἰς τὴν ἁ. Εἰρ.* novum caput incipit M, similiter D (*Ἡ ἁγία εἰρήνη τὰ γάλατα*)

*ρήνην τὰ λεγόμενα Γαλάτου· ἐκλήθη δὲ ἀπὸ Γαλάτου τινὸς οἰκοῦντος ἐκεῖσε.*

**179** (237, *σμα'*). *Τὸ Κερατοεμβόλιν· ἦλθεν ὁ ἅγιος Ἀνδρέας πρὸ τοῦ μεγάλου Κωνσταντίνου ἐπὶ τὸ Βυζάντιον καὶ ἔκτισεν εἰς τὰ Ἁρματίου καὶ ἐκαθέζετο ἐκεῖσε· ἐποίησεν δὲ σταυρὸν ἰδιοχείρως λατομήσας αὐτὸν καὶ γλύψας ἔστησεν αὐτὸν εἰς τὴν ἁγίαν Εἰρήνην τὴν παλαιάν· καὶ εἶθ' οὕτως ἦλθεν εἰς τὸ Νεώριν, εἰς τὸν ἔμβολον τὸν καλούμενον Κερατοεμβόλιν καὶ ἐδίδασκεν· εἴρηται δὲ οὕτως ὁ ἔμβολος, διότι ἀψίδα χαλκῆ ἦν ἐκεῖσε· καὶ στήλη ἐπάνω ἵστατο ἔχουσα ἐν τῇ κεφαλῇ κέρατα τέσσαρα· θαῦμα δὲ ἐγένετο ἀεί· ὅστις εἶχεν ὑπόληψιν εἶναι κερατᾶς, ἐκεῖσε ἀπερχόμενος καὶ προσεγγίζων τῇ στήλῃ εὐθέως, εἰ ἦν ὡς ὑπελάμβανεν, ἐγυρίζετο ἐκ τρίτου ἡ στήλη· εἰ δὲ οὐκ ἦν οὗτος ἐνυπόληπτος, ἵστατο σιγῇ καὶ οὕτως διηλέγχοντο οἱ κερατάδες.*

**180** (20, *κ'*). *Λέγεται δὲ Μαναῦρα ὁ τρίκλινος τοῦ* B 120
*μεγάλου Κωνσταντίνου, διότι Ἀναστάσιος ὁ Δίκορος ὁ ἀπο-* 491-518

---

**180.** $A_1$ $A_2$ (quibuscum faciunt CM) valde discrepant: *Λέγεται δὲ ὁ τρίκλινος τοῦ ἁγίου Κωνσταντίνου ἡ Μαγναῦρα, διότι Ἀναστάσιος ὁ Δίκορος τῷ κζ' (κβ' $A_1$) ἔτει τῆς βασιλείας αὐτοῦ καὶ τῷ δ' μηνὶ βρονταὶ καὶ ἀστραπαὶ γεγόνασι πρὸς τὸ παλάτιον· πάντων δὲ ἀδημονούντων καὶ φευγόντων ἀπὸ τόπου*

---

1 *τὰ γάλατα* DF, *τοῦ γαλάτου* H, *τοῦ γαλατᾶ* B, *Τὰ δὲ γαλάτου* E   *δὲ* om. $A_2$DE, *οὖν* M; *ἐκλίθη δὲ οὗτος ὅτι ἀπὸ γαλατίονος τινὸς οἰκοῦντος ἐκήσε ἐκλίθη οὗτος* (sic) J   *γαλάτου* E, *γαλάτη* H, *γάλατα* B, *γαλατίονος* J$A_2$DF, *γαλατίου* $A_1$   **179. 180.** ACM, JHGB   3 *τὸ κερατοεμβόλιν* omis. codd. praeter J   *ἦλθεν δὲ* A   4 *πρὸ τοῦ μεγ. Κωνστ.* om. AC   5 *ἔκτισεν*] *ἐποίησεν τὴν σκηνὴν αὐτοῦ* G   *ἁρμασίου* A   *ἐκάθητο διδάσκων* G   9 *κερατοέμβολον* H, *κερατέμβολον* $A_2$G, *κερατοεμβόλιον* C   *οὕτως* om. J   10 *ἀψίς* HG, *καμάρα* AC,   *ἐπάνω*] *ἐκεῖσε* J   11 *ἐγένετο*] *ἐκίσαι γενόμενον* J   12 *ἐν ἑαυτῷ ὑπόληψιν* AF   13 *εἰ ἦν ὡς ὑπελάμβανεν* HG, om. rell.   *γυρίζεσθαι* J   14 *εἰ δὲ ἦν ἐκτὸς ὑπολήψεως* $A_2$C.   15 *σιγῇ*] *ἀσάλευτος* AC, *σιωπηρῶς* H   *καὶ οὕτως — κερατ.* om. HG   *ἠλέγχοντο* $A_2$C, *διήρχοντο* J, correxi

*σελεντιάριος τῷ εἰκοστῷ ἑβδόμῳ ἔτει τῆς βασιλείας αὐτοῦ καὶ τῷ τετάρτῳ μηνὶ | βροντῶν καὶ ἀστραπῶν πρὸς τὸ παλάτιον εἰλουμένων ἀδημονοῦντος καὶ φεύγοντος ἀπὸ τόπου εἰς τόπον ἐν ἑνὶ τῶν κοιτωνίσκων αὐτοῦ ἐκεῖσε κατέλαβεν αὐτὸν ἡ ὀργὴ ‖ τοῦ θεοῦ ἤγουν ἡ ἀστραπὴ καὶ ἡ βροντή· καὶ ἐκεραυνώθη καὶ ἐγένετο πυρίκαυστος. Ὅτε δὲ ἀπέθνησκεν, ἔβαλεν φωνήν· ʽὦ μάνα, ὑπὸ τῆς αὔρας ἀπόλλυμαι.ʼ Τὴν δὲ φωνὴν αὐτοῦ ἤκουσάν τινες τῶν ἀνθρώπων αὐτοῦ καὶ διὰ τοῦτο οὕτως ἐκάλεσαν τὸν τρίκλινον ἀπὸ τῆς μάνας καὶ τῆς αὔρας τοῦ πυρός.*

**181.** *Τὸν δὲ Ἀρχιστράτηγον τὸν μικρὸν τῆς Νέας*
491-518 *Ἀναστάσιος καὶ Ἀριάδνη ἀνήγειραν.*

**182** (211, *σιγ'*). *Τὸ δὲ Σίγμα τὴν θεοτόκον ὁ μέγας*
527-565 *Κωνσταντῖνος ἀνήγειρεν καὶ εἶθ' οὕτως Ἰουστινιανὸς ὁ μέγας· μετὰ δὲ τκη' ἔτη σεισμοῦ φοβεροῦ καὶ ἐξαισίου γε-*

---

*εἰς τόπον καὶ αὐτοῦ τοῦ βασιλέως, προσέφυγεν ἐν ἑνὶ τῶν κοιτωνίσκων ὃν ἔκτισε καὶ κατέλαβεν ἐκεῖσε ἡ ὀργὴ τοῦ θεοῦ καὶ ἐκεραυνώθη γεγονὼς πυρίκαυστος. Ὅτε δὲ ἀπέθνησκεν ἔκραξεν μεγάλως· ὦ μάννα, ὑπὸ τῆς αὔρας ἀπόλλυμαι. Τὴν δὲ φωνὴν αὐτοῦ ἤκουσάν τινες τῶν ἀνθρώπων αὐτοῦ καὶ διὰ τοῦτο οὕτως ἐκλήθη ὁ τρίκλινος δηλονότι ἀπὸ τῆς μάννας καὶ τῆς αὔρας τοῦ πυρός.*

L. 6 post *πυρίκαυστος* in margine locum ex Georg. Mon. p. 518, 24 — 519, 4 Mur. (*ὥστε αἰφν. — ἃ ἐφόρει*) adscripsit D

---

L. 2 — 5 ex Georgio Mon. p. 619, 11—15 de Boor (cf. B. Z. VII, 127) qui consentit cum codice J

---

1 $\overline{κς}$ H, $\overline{ις}$ G  4 *ἐν ἑνὶ κτλ.*] *ἐλθόντα δὲ αὐτὸν κατ' αὐτὸν τὸν τρίκλινον ἡ ὀργὴ κτλ.* H, sim. G  7 *ὦ μανα αὔρα ὦ ὑπὸ αὔρας ἀπόλλ.* G  Exclamatio *μάνα* etiam apud Liudprand. Legat. c. 23  10 post *αὔρας* inserit J: *ὅ ἐστιν μαναύρα*
**181.** A, JH  11 *τὴν νέαν* AH  12 *Ἀναστ.*] *Ζήνων* AH  **182. 183.** ACM, JHB  14 *καὶ εἶθ' οὕτως*] *ὕστερον δὲ* H, *εἶτα μετὰ τκη' ἔτη Ἰ. ὁ. μέγας· μετὰ δὲ τὴν αὐτοκρατορίαν βασιλείου κτλ.* B  15 *δὲ* om. J

*γονότος εἰς τὴν αὐτοκρατορίαν Βασιλείου μετὰ τὸ ἀναιρε-* 867-886
*θῆναι Μιχαὴλ συνεπτώθη ὁ ναὸς ἐν ἡμέρᾳ κυριακῇ, μνήμῃ τοῦ ἁγίου Πολυεύκτου, καὶ τοὺς ὄντας ἐκεῖσε πάντας διέφθειρεν· καὶ ἔκτοτε ἐκλήθη σεῖσμα, ἐπεὶ πρῶτον οὐκ ἐκαλεῖτο οὕτως.*

**183** (220, *σκα'*). *Τὴν δὲ γυναικείαν μονὴν τὴν καλουμένην Αὐγούστης Ἰουστῖνος ὁ Θρᾷξ ὁ κράτιστος, ὁ* 518-527
*θεῖος Ἰουστινιανοῦ τοῦ μεγάλου, ἔκτισεν σὺν τῇ γυναικὶ αὐτοῦ Εὐφημίᾳ, ἐπεὶ καὶ τὸ σῶμα αὐτῆς ἐκεῖσε ἐτέθη.*

**184** (223, *σκε'*). *Ἡ Χώρα· τὸ πρῶτον εὐκτήριον ἦν* B 121
*ἡ τοιαύτη μονή. Κρίσπος δὲ ὁ ἔπαρχος καὶ γαμβρὸς τοῦ Φωκᾶ τοῦ Καππάδοκος περιωρίσθη ἐκεῖσε καὶ ἔκτισεν ταύ-* 602-610
*την εἰς κάλλος καὶ εἰς μέγεθος ἀποχαρισάμενος ἐκεῖ καὶ*

---

L. 2 Cf. Georg. Mon. p. 754,5 Mur. L. 12 Post *ἐκεῖ* addit C hanc narrationem sumptam ex Georg. Mon. p. 564 sq. Mur.: *ὅτι ἐν ὑπολήψει γέγονε τοῦ Ἡρακλείου τοῦ βασ. Καὶ γὰρ καὶ αὐτῷ συγκροτήσας ὁ αὐτὸς Κρίσπος καὶ κρατήσας διὰ τῆς θαλάσσης τὴν βασιλείαν γαμβρὸς τυγχάνων Φωκᾶ· καὶ μετὰ τοῦτο βασιλεὺς γράμματα κατ' αὐτοῦ δεξάμενος ὁ Ἡράκλειος ἔφη αὐτῷ οὕτως· 'Ἄθλιε, γαμβρὸν οὐκ ἐποίησας καὶ πῶς ἀληθῆ φίλον ποιήσειας;' Διὰ ταῦτα οὖν ἐκεῖσε περιορισθεὶς ἔκτισε κτλ.* (cod. E verbis paulo discrepat)

---

2 *κυριακῆς* J, post *κυρ.* addit H *μηνὸς Ἰανουαρίου θ'*, *μνήμῃ* om. codd. praeter J 4 *σίσμα* J, *σῖγμα ἤγουν τάφος* B, *σῆμα* M, *σίγμα* AC *ἐπεὶ — οὕτως*] *ἰδιωτικῶς δὲ σίγμα* H, om. B 6 *Ὅτι ἡ γυνεκία μονῇ αὔγουστος* J 7 *αὐγούστην* $A_1$, *τὴν καλ. αὐγ.* om. HB, qui eius loco scribunt *τὰ προκοπίας*; cod. E inter *μονὴν* et *τὴν* inserit *τὴν ἐκπλαγίαν αὐτῶν*; sc. *τῶν Προκοπίας*, quae in E antecedunt (=III 153) *Ἰουστῖνος* om. J, *Ἰ. ὁ Θρ.* om. HB *ὁ κρατον* J 9 *αὐτῆς* DF, *αὐτοῦ* rell. (*αὐτοῦ πρότερον* E) Secundum Cedrenum I p. 642 Bonn. et Iustinus et Euphemia in monasterio Augustae sepulti erant. **184.** ACM, JHGB 11 *Κρίσπος* (*κρύπτος, γρίσπος, κρίσιππος*) omnes codd., *Πρίσκος* Lamb., sed cf. Georg. Mon. p. 564 Mur. 12 *τοῦ Φωκᾶ τοῦ Κ.*] *τοῦ Καππάδοκος καὶ ἀπηνοῦς Φωκᾶ* C, *ἐκεῖ παρὰ τοῦ αὐτοῦ Φωκᾶ* G

*κτήματα πολλά. Ἐπεκλήθη δὲ Χώρα, διότι ἐπὶ τοῦ Βύζαντος χωρίον ἦν ἐκεῖσε· ἐπεὶ καὶ τὰ Στουδίου χωρίον ὑπῆρχεν ἔξωθεν τῆς Βύζης.*

**185** (222, *σκδ´*). *Ἡ δὲ μονὴ τῆς Ξηροκέρκου, ὁ ἅγιος Μάμας, παρὰ τῆς ἀδελφῆς Μαυρικίου ἐκτίσθη· μετὰ*
602 *γὰρ τὸ ἀποτμηθῆναι τὸν Μαυρίκιον εἰς τὸν Εὐτροπίου λιμένα σὺν τοῖς τέκνοις αὐτοῦ λαβοῦσα τὰ σώματα αὐτῶν κατέθετο ἐκεῖσε ἡ ἀδελφὴ αὐτοῦ· τὴν δὲ γυναῖκα αὐτοῦ καὶ τὰς τρεῖς αὐτοῦ θυγατέρας εἰς τὴν νῦν μονὴν τῆς Νέας Μετανοίας ἐκάθισεν πρὸς ὀλίγον. Καὶ εἶθ' οὕτως καὶ αὐτὰς διὰ ξίφους ἀπέκτεινεν ὁ Φωκᾶς. Τὴν δὲ γυναῖκα αὐτοῦ ταφῆς οὐκ ἠξίωσεν, ἀλλ' εἰς τὴν θάλασσαν ἔρριψεν ἀποκεφαλίσας καὶ πᾶσαν αὐτοῦ τὴν συγγένειαν Φωκᾶς ὁ παράνομος ὤλεσεν.*

**186** (147, *ρπα´*). *Τὴν δὲ ἁγίαν Εὐφημίαν τὴν μονὴν καὶ τοὺς τάφους τοὺς ὄντας εἰς τὸ Πετρὶν καὶ τὸ λοετρὸν*
867-886 *Βασίλειος ὁ βασιλεὺς ἀνήγειρεν καὶ τὰς θυγατέρας αὐτοῦ ἐκεῖσε ἀπέκειρεν.*

B 122 **187** (201, *σγ´*). *Τὴν ἁγίαν Ζωὴν τὴν οὖσαν εἰς τὴν*

---

1 *ἐπὶ τῶν Βυζαντίων* F, *ἐπὶ τὸν βύζαντα* J   2 *ἐπεὶ*] *καθὼς* HB   *τὰ Στουδ. κτλ.*] *ἡ τῆς δίου ἔξω οὖσα τῆς πόλεως.* G   3 *ἔξω τοῦ Βυζαντίου* scribit et post *ἐκεῖσε* ponit C, *ἐξ αὐτῆς βύζαντος* M, *ἔξω τῆς βύζας* H   **185. 186.** ACM, JHB   4 *τῆς ξηρ.*] *τοῦ ξεροκέρκου* J, *τοῦ ξηροκεράμου* B, *τῆς ξηροκεράμου* H; *ἡ οὖσα εἰς τὸν ξυλόκερκον* A, *ἡ ξυλόκερκος* C   7 *λαβὸν* J   9 *τρεῖς* om. $A_1$   *εἰς τὴν νῦν λεγομένην νέαν μονήν* $A_2$, *εἰς τὴν μονὴν τὰ νέας μεταν.* FM, *εἰς τὴν μονὴν τὰ νέα* D (om. E), *ειστινυνμονὴν τὰ νέα καλούμενα μετανοίας χάριν* J, *ἐν τῇ νέα καλ. μονῇ* B, *ἐν τῇ μονῇ τῇ νέα καλ.* H   10 *ἐκάθισεν*] *ἐφρουρεῖτο παρὰ τῶν τοῦ Φωκᾶ* B   15 *τὴν μονὴν — εἰς* om. AC,   16 *πετρίον* C, *πέτριον* H (*ἐν τῶ πετρίω* B)   17 sq. *τὰς — ἀπέκειρεν*] pro his· *τὰ ἅγια σώματα τῶν ἁγίων ἐκεῖσε ἔθετο* $A_2$ (cf. § 188)   **187. 188. 189.** ACM, JHB (sed J p. 275 l. 1 *ἔνθα καὶ* — l. 6 *ἀνήγ.* om., H l. 4 *καὶ* — 6 *ἀνήγ.*, B l. 4 *καὶ* — 7 *ἐπεκύρ.*)   19 *Ἡ. δὲ ἁγία ζωὴ ἡ οὖσα εἰστὴν μοκισίαν τὴν μονήν, αὐτὴν ὁ ὅ. Μ. ἀνίγειρεν·* J

*Μωκισίαν ὁ ὅσιος Μαρκιανὸς ἀνήγειρεν· ἔνθα καὶ τὸ ἅγιον* 450-457
*αὐτῆς σῶμα κεῖται.*

**188** (210, *σιβ'*). *Τοὺς ἁγίους Νοταρίους ὁ μέγας Θεο-* 379-395
*δόσιος ἀνήγειρε καὶ τὰ σώματα τῶν αὐτῶν ἁγίων ἐκεῖσε ἔθετο.*

**189** (208, *σι'*). *Τὸν δὲ ἅγιον Φίλιππον τὸν ἀπό-*
*στολον Ἀναστάσιος ὁ Δίκορος ἀνήγειρε καὶ κτήματα πολλὰ* 491-518
*ἐπεκύρωσεν.*

**190** (209, *σια'*). *Τῶν δὲ ἁγίων Μανουήλ, Σαβὲλ*
*καὶ Ἰσμαὴλ τὸν ναόν· μετὰ τὸ καυθῆναι αὐτοὺς παρὰ*
*Ἰουλιανοῦ τοῦ παραβάτου ἐπὶ τὸ χερσαῖον τεῖχος Θεοδόσιος* 379-395
*ὁ μέγας τὸν ναὸν ἀνήγειρεν καὶ τὰ σώματα τῶν ἁγίων*
*ἐκεῖ ἔθετο.*

**191** (206, *ση'*). *Τὸν δὲ Πρόδρομον τὴν παλαιὰν πόρταν ὁ μέγας Κωνσταντῖνος ἀνήγειρεν· τὸ δὲ κτίσμα ἠκούμβιζεν εἰς τὸ χερσαῖον τεῖχος.*

**192** (207, *σθ'*). *Τὸν δὲ ἅγιον Ἐλευθέριον Βασίλειός*
*τις πατρίκιος ἐν τοῖς χρόνοις Ἀρκαδίου ἀνήγειρεν.* 395-408

**193** (216, *σιη'*). *Αἱ μοναὶ τὰ Ἀλεξανδρίας καὶ Γρη-*
*γορίας· αἱ δύο μοναὶ τῆς ἁγίας Δομνίκας ἡ ἐπονομαζομένη*
*τὰ Ἀλεξανδρίας καὶ ἡ ἄλλη μονὴ ἡ λεγομένη τὰ Γρηγορίας*
*ἐν τοῖς χρόνοις τοῦ μεγάλου Θεοδοσίου ἐκτίσθησαν. Ἐλ-* 379-395
*θοῦσαι γὰρ ἀπὸ Ῥώμης εὗρον ἄοικον τὸν τόπον καὶ αἰτη-*

---

2 *αὐτῆς* H, *αὐτοῦ* A (*οὗ καὶ θανὼν κατετέθη* B) **190.** ACM, JHB 9 *καυθ.*] *κτισθῆναι* J 10 post *τεῖχος* inserit $A_2$ *τότε γὰρ ἦν ἐκεῖ τὸ τεῖχος*, sim. FM 12 Lamb. interpolavit locum ex I 53 **191.** ACM, JHB. Cf. I 53
13 *Τὴν δὲ παλ. πόρταν* (*τὸν πρόδρ.* om.) JH, *Τὴν παλ. καλουμένην πέτραν* B (cf. III 79) 14 *πόρταν* om. ACM. *τὸ δὲ κτλ.*] *ὅπου ἦν τὸ ἀρχαῖον καὶ παρ' αὐτοῦ κτισθὲν χερσαῖον τεῖχος* B 15 *ἠκούμπιζεν* $A_1$ **192—193a.** ACM, JH 16 *Βασίλειος* om. AC 18 *αἱ μοναὶ τὰ ἀλεξανδρίας καὶ γρηγορίας* in J rubro picta sunt; om. ACH 19 *τῆς ἐπονομαζομένης* J 20 *τὰ ἀλεξάνδρου* HD, *τὰ ἀλεξάνδρεια* F *τὰ Γρηγ.*] *τὰ* //////*ρας* H, unde Lamb. *τὰ Μαύρας* finxit

*σάμεναι τὸν αὐτὸν βασιλέα δέδωκεν αὐταῖς τὸν τόπον καὶ συνδρομὴν καὶ ἀνήγειραν τὴν μονήν.*

B 123 **193a** (217, *σιθ'*). *Ὁ ὅσιος Δῖος ὡσαύτως καὶ αὐτὸς αἰτησάμενος τὸν βασιλέα, δέδωκεν καὶ αὐτῷ τόπον καὶ ἀνήγειρεν τὴν μονήν.*

**194** (218, *σκ'*). *Τὸ δὲ καλούμενον Μυροκέρατον ἡ*
582-602 *μονὴ ἐκτίσθη ἐν τοῖς χρόνοις Μαυρικίου τοῦ βασιλέως. Φασὶ δὲ πολλοὶ τῶν ἱστορικῶν, ὅτι τὸ κέρας τοῦ ἐλαίου, ὅπερ εἶχεν Σαμουὴλ ὁ προφήτης καὶ ἔχριζεν τοὺς βασιλεῖς, εἰς τὴν αὐτὴν μονὴν ἐκρέματο· καὶ διὰ τοῦτο οὕτως ἐκλήθη.*

**195** (214, *σις'*). *Τοῦ δὲ Ξυλινίτου ἡ μονὴ ἐκτίσθη*
717-741 *παρὰ Νικήτα μαγίστρου ἐν τοῖς χρόνοις Λέοντος τοῦ Συρογενοῦς, τοῦ πατρὸς Καβαλλίνου. Ὁ αὐτὸς δὲ Ξυλινίτης ἀπεκεφαλίσθη εἰς τὸν σφενδόνα παρὰ τοῦ αὐτοῦ Λέοντος δι' ἐπιβουλήν. [Ἔχει δὲ τὸ ὄνομα ἡ μονὴ διὰ τὸ τὰς μοναζούσας χρῆσθαι εἰς ὑπόδησιν τοῖς οὕτω καλουμένοις ξυλίνοις.]*

**196** (215, *σιζ'*). *Ἡ δὲ μονὴ τὰ Ἰκασίας ἐκτίσθη παρὰ Ἰκασίας τῆς μοναχῆς, εὐπρεποῦς καὶ εὐλαβοῦς καὶ*

---

**196.** H sic discrepat: *Ἡ μονὴ τὰ Εἰκασίας ἐκτίσθη παρὰ Εἰκ. μοναχῆς εὐλαβεστάτης καὶ σεβασμίας γυναικός, ὡραίας τῷ εἴδει· ἣν δὴ κοσμικὴν οὖσαν Θεόφιλος ὁ βασιλεὺς ἰδὼν λαβεῖν γυναῖκα ἠθέλησεν, εἰπὼν ὡς ἄρα 'διὰ γυναικὸς ἐρρύη τὰ φαῦλα.'*

---

1 *αὐτὰς* $A_1$D 2 *καὶ συνδρομὴν* om. AC *τὴν μονὴν*] *τοὺς ναούς* JH 3 In classe A § 193a collocatur post 194 *ὡσαύτως καὶ αὐτὸς* om. $A_1$ 4 *δέδωκεν κτλ.*] *τόπον λαβὼν ἔκτισε τὴν μονὴν τὴν δίον καλ.* H *καὶ αὐτὸν* J **194 — 196.** ACM, JHB 6 *μυριοκεντινάριν* J *ἡ μονὴ* om. AC 7 *μαρκιανοῦ* JHB 9 *ἔχριζεν τοῖς βασιλείοις* J 15 *εἰς τὴν σφενδῶνα* $A_2$B, *εἰς τὴν σφενδόνην* H 16 *δι' ἐπιβουλῆς* $A_2$DE Quae uncis inclusi, in solo H exstant 19 *εἰκασίας* B (et H), *κασίας* F in titulo (*περὶ τὰ κασίας*) 20 post *μοναχῆς* addit C: *ὅτε τῆς βασιλείας ἀπέτυχε παρὰ Θεοφίλου βασιλέως.* Cf. H

*σεβασμίας γυναικός, ὡραίας τῷ εἴδει τῆς τε κανόνας καὶ*
*στίχους ποιησάσης ἐν τοῖς χρόνοις Θεοφίλου καὶ Μιχαὴλ* 829-867
*τοῦ υἱοῦ αὐτοῦ.*

**197.** *Τὰ δὲ Σμαράγδης σὺν τῷ λοετρῷ ἐκτίσθησαν*
*παρὰ Σμαράγδου πατρικίου καὶ στρατηγοῦ ἐν τοῖς χρόνοις*
*Τιβερίου τοῦ Θρᾳκός, διότι οἶκος αὐτοῦ ἦν ἐκεῖσε.* 578-582

**198** (200, *σβ'*). *Τὰ δὲ Κουκοροβίου τὴν μονὴν*
*ἔκτισεν ὁ ὅσιος Εὐάρεστος ἐν τοῖς χρόνοις Μιχαὴλ τοῦ* 820-829
*Τραυλοῦ τοῦ Ἀμορραίου.*

**199** (129, *ροθ'*). *Ὁ δὲ ἅγιος Μάρκος πλησίον τοῦ* B 124
*Ταύρου ἐκκλησία ἦν μεγάλη ξυλότρουλος, κτισθεῖσα ὑπὸ*
*Θεοδοσίου τοῦ μεγάλου· καὶ κατενεχθεῖσαν Ῥωμανὸς δεσπό-* 379-395
*της ὁ γέρων ἀνήγειρεν αὐτήν.* 919-944

---

*Ἐπεὶ δ' ἐκείνη σοφωτάτη ἦν, μετ' αἰδοῦς πως ἀντέφησεν· 'ἀλλὰ καὶ διὰ γυναικὸς πηγάζει τὰ κρείττονα.' Ταῦτα ἀκούσας ὁ Θεόφιλος ταύτην μὲν εἴασε, Θεοδώρᾳ δὲ ὃ ἐπεφέρετο χρυσοῦν μῆλον δεδώκει. Ἡ οὖν Εἰκασία τῆς βασιλείας ἀποτυχοῦσα τὸ τῶν μοναζουσῶν ἐνδιδύσκεται σχῆμα, κανόνας πολλοὺς καὶ στιχηρὰ καὶ ἄλλα τινὰ ἀξιοθαύμαστα ποιήσασα.* Quae sumpta sunt ex Georg. Mon. p. 700 Mur.

---

1 *τῆς τε — ποιησάσης*] J, *ἥτις . . . ἐποίησε* $A_2$, *ἥτις . . . ποιήσασα* $A_1$ M, *ἥτις σοφωτάτη οὖσα . . . ἐποίησε καὶ ἐμελῴδησεν* B 2 *μιχ. τοῦ τραυλοῦ καὶ θεοφίλου τοῦ υἱοῦ αὐτοῦ* JA, nil nisi *Θεοφίλου τοῦ βασιλέως* B; *Μιχαὴλ καὶ Θεοφίλου τοῦ πατρὸς αὐτοῦ* DFM, *Θεοφίλου καὶ Μιχαὴλ τοῦ υἱοῦ αὐτοῦ* E 3 In fine addit *ἔζη ἐν αὐτῇ* DF, *ἔζη ἐν αὐτοῖς* M, *ὁποία τὰ εἰς τὴν πόρνην καὶ εἰς τὸ μύρον· αὐτῆς γάρ εἰσιν ἅπαντα ταῦτα* E **197.** A, JHB 4 *Τὰ σμαράγδου* H *λουτρῷ* AH 6 *διότι*] *καὶ ὁ* A, *ἐπεὶ* H, *διότι — ἐκεῖ* om. B **198.** ACM 7 *κουρουβίου* $A_1$, *κουκουρουβίου* $A_2$, cf. *Ἰωάννης ἐπιλεγόμενος Κοκκορόβιος* Theophan. p. 227, 10 de Boor **199.** ACM, JHB 11 *κτισθεῖσα — 13 αὐτήν* om. AC 12 *καὶ κατ. κτλ.*] *εἶτα κατενεχθεῖσα ἀνηγέρθη παρὰ Ῥωμανοῦ τοῦ Λακαπηνοῦ* H, *εἶτα ὑπὸ σεισμοῦ κατενεχθεῖσαν ἀνήγ. κτλ.* B *κατενεχθὲν* J

**200** (129, ροθʹ). *Ἀλλὰ καὶ Κωνωπίων ἐστοιχειώθη
καὶ ἵστατο ἐστηλωμένος ἐπάνω τῆς ἀψίδος τοῦ Ταύρου τῆς
δυτικῆς· χαλκοῦς δὲ ἦν ὁ κώνωψ καὶ μυῖα καὶ κόρις· καὶ*
867-886 *ἐξ αὐτῶν τῇ πόλει οὐκ ἐπεφοίτων. Ὁ δὲ Βασίλειος ὁ βα-
σιλεὺς ἔκλασεν αὐτόν.*

**201** (158, οηʹ). *Ἡ δὲ καλουμένη Νεκρά· τὰ σώματα*
527-565 *τῶν ἀναιρεθέντων ἐπὶ τοῦ μεγάλου Ἰουστινιανοῦ ἐτέθησαν
ἐκεῖ διὰ τὸ μὴ χωρεῖν ἀλλαχοῦ θάψαι αὐτά. Ἀπέφραξε
δὲ τὰ σκάλια ἀπὸ τοῦ Πρωτοθύρου μέχρι τοῦ Καμελαυκίου·
καὶ οὕτως ἐτίθουν τὰ νεκρὰ σώματα. [Ἐστὶ δὲ ἡ λεγο-
μένη Σάπρα.]*

**202** (156, οςʹ). *Ἡ δὲ στήλη ἡ ἱσταμένη εἰς τὴν
φιάλην τοῦ Ἱπποδρομίου εἰς τὸ στυράκιν ἡ χαλκῆ καὶ γυ-
ναικοειδὴς Εἰρήνης ἐστὶν τῆς Ἀθηναίας, ἣν ἀνήγειρεν*
780-797 *Κωνσταντῖνος ὁ υἱὸς αὐτῆς εἰς θεραπείαν αὐτῆς.*

---

**200.** ACM (CM coniungunt verba cum § 199), JHGB. Cf. III 24, unde Lamb. nunc locum interpolavit 1 *ἄλλος δὲ κωνωπίων* $A_1$ MG, *ἄλλος* (*-ως*) *δὲ κωνωπίωνα* JC, *ἀλλὰ καὶ κωνωπίων* $A_2$ H *ἐστυχιότυτο* (?) J, *ἐστοιχείωσε* C 3 *δυσικῆς* AM *χαλκὸς* J *καὶ μυῖα — 5 αὐτόν* om. C *μυία καὶ τὰ ἄλλα ζωύφια καὶ ἐξ αὐτῶν οὐκ ἐπεφοίτα τι τῇ πόλει* H, *ἡ μυῖα καὶ τὰ λοιπὰ ζωύφια καὶ ἄχρις οὗ ἵστατο, οὐκ ἐφοίτων τῇ πόλει μυῖαι ἢ ψύλλαι ἢ κώνωπες* G, *καὶ μυῖαι καὶ κώνωπες καὶ κόριδες οὐκ ἐπεφοίτων τῇ πόλει* $A_1$, *καὶ μυῖαι καὶ κόριδες* nil amplius $A_2$ *ἐπεφοίτουν* J 4 *ὁ δὲ βασιλεὺς Μιχαὴλ* B 5 *ἠφάνισεν αὐτὴν συντρίψας* H, *ἐξ οἰκείας ἀνοίας κατήγαγε καὶ ἠφάνισεν αὐτόν* G, *ἐτζάκισεν αὐτόν· ἦν δὲ τοῦτο ὅτι διὰ ταῦτα οὐκ ἐπεφοίτων τῇ πόλει οὔτε κόριδες οὔτε μυῖαι οὔτε ψύλλαι οὔτε φθεῖραι οὔτε κώνωπες* $A_2$ *αὐτό* J **201.** ACM, HB 6 *Ὁ τόπος ὃς καλεῖται νεκρά* B 7 *ἰουστ. ἐν τῷ ἱπποδρομίῳ ἐτέθησαν* C 8 *ἀπέφραξαν* H 9 *τοῦ πρωτοθύρου* $A_1$ DF, *τοῦ προθύρου* $A_2$, *τοῦ πρώτου θύρου* E, *τῆς πρώτης θύρας* H, *τῆς παραθύρου* B; cf. Const. Porph. caer. p. 334, 6 *καμελαυκίου* $A_1$, *καμελαύ* $A_2$ D, *καμελαύκου* FH, *καμαυλάκη* E, *καμαλαυκίου* M, *καμιλαυκίου* B. Est nomen triclinii, cf. Const. Porph. caer. p. 73, 10 et 573, 9 10 Quae uncis inclusi, in solo E exstant **202—206.** ACM, JHB 13 *φιάλην*] *κεφαλὴν* AC (sed in titulo *φιάλην* C) *τὸ* om. J *στυράκιον* $A_1$ F *καὶ*] *ἡ* J 14 *ἀνήγ.*] *ἀνιστόρησε* $A_2$

**203** (157, οζ'). *Τὰ δὲ κτίσματα τὰ εὐμεγεθέστατα* B 125
*τὰ εἰς τὸν ἅγιον Σέργιον οἶκος ἦν τοῦ μεγάλου Ἰουστινι-* 527-565
*ανοῦ ὄντος αὐτοῦ πατρικίου.*

**204** (93, ρκε'). *Τὰ Πατρικίας ἡ θεοτόκος ἡ οὖσα ὄπισθεν τῆς ἁγίας Σοφίας πρὸς ἀνατολάς· οἱ βασιλεῖς διερχόμενοι ἐπὶ προελεύσεως μετὰ τῶν δεσποινῶν, ὁπόταν ἤθελον ἀπελθεῖν εἰς τὴν ἁγίαν Σοφίαν, ἐν αὐτῷ τῷ τόπῳ ἵσταντο. Οἶκος δὲ ἦν κτισθεὶς παρὰ τοῦ μεγάλου Κωνσταντίνου. Αἱ δὲ πατρικίαι αἱ ζωσταὶ καὶ οἱ πατρίκιοι ἐκεῖσε προσήρχοντο καὶ ἤλλασσον τὸν βασιλέα καὶ τὴν βασίλισσαν μετὰ καὶ τῶν πραιποσίτων.*

**205** (97, ρλ'). *Τὰ δὲ Βασιλίδου οἶκος ἦν πατρικίου*
*Βασιλίδου καὶ κυαίστορος τοῦ μεγάλου Ἰουστινιανοῦ.* 527-565

**206** (67, ξζ'). *Αἱ δὲ πύλαι αἱ χαλκαῖ αἱ ἱστάμεναι*
*εἰς τὴν Τρικύμβαλον τοῦ Τζυκανιστηρίου παρὰ Βασιλείου* 867-886

---

**204.** H, cui B propinquus est, haec praebet: *Εἰς δὲ τὴν ὑπεραγίαν θεοτόκον τὰ Πατρ. γέγραπται, ὅτι, ὅτε ἤρχοντο οἱ βασιλεῖς μετὰ τῶν δεσποινῶν ἐπὶ προελ. εἰς τὴν ἁγίαν τοῦ θεοῦ λόγου Σοφίαν, ἐν αὐτῷ τῷ τόπῳ ἵσταντο· οἶκος γὰρ ἦν ἐκεῖσε μέγας κτισθεὶς παρὰ τοῦ μεγάλου Κωνστ.· καὶ οἱ μὲν πατρίκιοι καὶ πραιπόσιτοι ἐκεῖσε ἤλλασσον καὶ ἐζώννυον τὸν βασιλέα· ὁμοίως καὶ αἱ ζωσταὶ ἐζώννυον τὴν δέσποιναν.*

---

2 *σέργιον καὶ βάκχον* $A_2$ *οἶκοι* B 3 *ὄντος—πατρικίου* om. $A_1$ 5 *πρὸς ἀνατολὰς* om. ACHB *διερχόμενοι* J, *ἤρχοντο* AC 7 *ἐν αὐτῷ τῷ τόπῳ ἵσταντο* inserui ex H (sim. B), om. rell. 9 sqq. *Αἱ δὲ πατρ. — πραιποσίτων* C, in fine addunt *καὶ τῶν ζωστῶν* AM; *καὶ προήρχοντο αἵ τε ζωσταὶ καὶ οἱ πατρίκιοι καὶ οἱ πραιπόσιτοι καὶ ἐζώννυον τοὺς βασιλεῖς* B, *αἱ δὲ πατρικίαι ἐζοσταὶ καὶ οἱ πατρ. ἐκῆσαι προήρχοντο καὶ ἤλασαν τὸν βασιλέα καὶ τὴν βασίλεισσαν ὁμοίος ἐζοσταὶ ἵλασαν, οἱ δὲ πρεπόσιτοι τὸν βασιλέα* J 12 *βασιλ*$^{δ}$ $A_1$, *βασιλίδος* JC Post *Βασιλ.* inserit C *ὁ ἅγιος Νικόλαος* 13 *βασιλίδους* C 14 *αἱ πρότερον ἱστ.* nescio unde Lamb. 15 *εἰς τὸ τρ.* H, *εἰσ*$^{τ}$ *τρ.* $A_1$ *τζουκανιστηρίου* J

*τοῦ βασιλέως ἐπήρθησαν ἀπὸ τῶν ἐμβόλων τοῦ Φόρου ἐκ τὰ Χαλινάρια· ἐστάθησαν δὲ παρὰ τοῦ μεγάλου Κωνσταντίνου ἄντικρυς τοῦ Σινάτου· κτίσας δὲ τὴν Νέαν ὁ Βασίλειος ταύτας ἀνελάβετο.*

**207** (199, *σα'*). *Ἡ μονὴ τὰ Δαλμάτου ἐκτίσθη παρὰ Δαλμάτου πατρικίου, ἀνεψιοῦ τοῦ μεγάλου Κωνσταντίνου·*
698 *ἐξ οὗ καὶ Ἀψίμαρος ὁ Τιβέριος βασιλεύς, ὅτε ἀνῆλθε μετὰ χελανδίων καὶ ἐκράτησε τῆς βασιλείας, τὸν βασιλέα Λεόντιον περιορίσας ῥινοκοπηθέντα ἐν τῇ αὐτῇ μονῇ ἐφρούρει.*

B 126 **208** (250, *σνς'*). *Τὸν δὲ ἅγιον Γεώργιον τὸν ἐν*
610-638 *Καλχηδόνι Σέργιος ὁ πατριάρχης ἔκτισεν [ὁμοίως καὶ τὰ Μαρνακίου τὴν θεοτόκον]· ἐν ᾧ καὶ τὸ βέβηλον αὐτοῦ σῶμα ἐκεῖσε κεῖται. Ὁμοίως καὶ τὰ εὐκτήρια πάντα τῆς ἁγίας Σοφίας τὰ ἐν τοῖς κατηχουμένοις ἔκτισεν δοὺς ἐκεῖ σκεύη χρυσᾶ καὶ ἀργυρᾶ πολλὰ καὶ πορφύρας διαχρύσους ἐκ βύσσου καὶ κειμήλια εἰς πλῆθος.*

**209** (63, *ξγ'*). *Τὸν δὲ ἅγιον Στέφανον εἰς τὸ Σίγμα*
886-911 *πλησίον ὁ μέγας Κωνσταντῖνος ἀνήγειρεν. Ὁ δὲ Λέων ὁ*

---

**207.** l. 8. Cf. Georg. Mon. p. 732, 7 de Boor: (*Ἀψίμαρος*) *καὶ τὸν Λεόντιον χειρωσάμενος καὶ ῥινοτομήσας αὐτὸν ἐν τῇ μονῇ τῆς Δαλμάτου περιώρισεν.*

---

1 *ἐκ τα χαλιναρία* J$A_1$, *τῶν χαλιναρίων* C, *ἐκ τῶν χαλ.* $A_2$, om. HB  2 *ἐστάθησαν — 4 ἀνελ.*] nil nisi *καὶ ἔστησαν εἰς τὴν νέαν* H  4 *ταῦτα* J$A_1$  *ἀνελ.*] *ἐπῆρε καὶ ἀπήγαγε* C, *ἐπῆρε* $A_1$, *ἀφείλετο* B  **207.** ACM, HB  5 *ἡ μονὴ τοῦ δαλμάτου* H, *ἡ μονὴ τῶν δαλμάτου* B  6 *δαλματίου* bis $A_2$  *ἀνεψιοῦ τοῦ μ. Κ.* om. HB  8 *χελανδίων* C$A_2$B, *χελαντίων* $A_1$, *χελάνδου* H  *Λεόντιον* $A_1$DF, *ἰουστινιανὸν* HE, *λέοντα* rell.  **208. 209.** ACM, JHB  10 *Γεώργιον* om. J  *τὸν ἐν καλχ.* $A_1$M, *τὴν χαλκηδῶνα* J, *τὴν χαλκη*^δ' H, *τὰ χαλκίδου* B, *τὸν ἐν χαλκηδόνι* $A_2$C  11 *ἔκτισεν ὁ αἱρετικός* B  *ὁμοίως κτλ.*. exstat in $A_2$CM (*εἰς τὰ μαρτινακίου* E)  12 *ἐν ᾧ — 13 κεῖται* om. $A_1$  13 *Ὁμοίως — 16 πλῆθος* om. CMB  15 *σκεύη* om. J, *κειμήλια* H  *ἐκ βύσσου* om. J  18 *εἰς τὸ Σίγμα πλησίον*] *πλησίον τοῦ σῆμα* B  *ὁ δὲ βασ. Λ. ὁ φιλόσοφος* HB

*βασιλεὺς ἀνήγειρεν αὐτὴν μικράν, καὶ τὴν ὕλην πᾶσαν τῶν χρυσῶν ψηφίδων καὶ τῶν πολυποικίλων λίθων καὶ κιόνων ἀπέθετο εἰς τοὺς ἁγίους Ἀποστόλους καὶ ναὸν ἀνήγειρεν τοὺς ἁγίους Πάντας [διὰ τὴν τῆς γυναικὸς αὐτοῦ θαυματουργίαν καὶ ἁγιότητα, τῆς πρώτης λέγω Θεοφανοῦς τῆς ἁγίας καὶ θαυματουργοῦ βασιλίδος]. Ἐκεῖσε δὲ κεῖται ὁ ὅσιος Ἰσάκιος.*

**210.** *Τὸν ἅγιον Μητροφάνην ὁ μέγας Κωνσταντῖνος ἀνήγειρεν. Ἡ ἁγία Τριὰς ἡ οὖσα εἰς τὸ Ἐξακιόνιν, νῦν δὲ οἱ ἅγιοι Ἀπόστολοι ὀνομαζομένη, ἀνήγειρεν αὐτὴν ὁ μέγας Κωνσταντῖνος· σωμπτωθεῖσαν δὲ ὁ μέγας Ἰουστινι-* 527-565 *ανὸς ἀνήγειρεν.*

**211** (161, *πγ'*). *Ὅτι τὰ Ἴλλου ὁ Πρόδρομος πηγὴ τυγχάνει ἐκεῖσε· καὶ ἐφώλευεν δράκων παμμεγεθέστατος ἐκεῖσε· ἦν δὲ καὶ ταμεῖον βασιλικόν. Καὶ πολλοὺς ὁ δράκων ἤσθιεν· ὁ δὲ ἅγιος Ὑπάτιος ἐκεῖσε παραγενόμενος μετὰ τῆς ῥάβδου αὐτοῦ ἐχούσης κάτω ἧλον σιδηροῦν σφρα-* B 127 *γίσας καὶ κρούσας τὸν δράκοντα ἐξέψυξε· καὶ λαβὼν αὐτὸν μέσον τοῦ Φόρου προέθηκε νεκρὸν καὶ ἔκαυσεν αὐτόν. Καὶ διὰ τοῦτο ὠνομάζετο ὁ τόπος οὕτως, καὶ ἀπὸ Ἴλλου μαγίστρου τυραννήσαντος καὶ ἐκεῖ οἰκοῦντος.* 470

---

1 *ἐποίησε μικρὰν* C (*μικρὸν* F), *ἐποίησε μακρὰν* M, *ἐσμίκρυνε τοῦτον* B, om. H; nolui corrigere *αὐτὸν μικρόν* 2 *ἀψίδων* J *κίονας* $A_1$ C 3 *τοὺς ἁ. Ἀποστ.—ἀνήγ.* om. B 4 Quae uncis inclusi, in solo E exstant 6 *ἐκεῖσε κτλ.* post *ἀνήγειρεν* (l. 9) inserit $A_2$ 7 *ἰσαάκιος* $A_1$ H **210.** A, J, HB 11 *συμπτωθεὶς* $A_1$, *συμπτωθέντα* H; *συμπτωθεῖσαν* $A_2$; oblitteratum in J, *συμπτ. κτλ.* om. B **211—215.** ACM, JHB 14 *ἐτύγχανε* $A_1$ *ἐνεφώλευε* AC 15 *πολλοὺς ἀσκέπτως κατερχομένους* B 17 *ἔχουσαν* J *ἴλουν* J *ἥλους σιδηροῦς* AC 18 *ἐξέκοψεν* J, *ἀπέψυξε* $A_2$, *ἐφόνευσε* H, *ἐξέψυξε* $A_1$ C 20 *Καὶ διὰ τοῦτο κτλ.*] om. H, *ὀνομάζετε δὲ οὕτος* ////////// *μαγίστρου τοῦ τυραννήσαντος τοὺς οἰκοῦντας ἐκῆσαι* J *καὶ ἀπὸ κτλ.*] ἢ, *καθότι καὶ ἀνώτερον εἴπομεν* (III 33), *ἀπὸ Ἴλλου τοῦ μαγίστρου τοῦ τυραννήσαντος καὶ κατασχεθέντος καὶ ἐκτμηθέντος* B (Lamb. interpolavit locum)

**212** (128, ρξβ′). *Τὴν ἁγίαν Θεοφανὼ ἔξωθεν τῆς*
912-959 *παλαιᾶς κόγχης τῶν μνημοθεσίων, ἀνήγειρεν αὐτὴν Κωνσταντῖνος ὁ υἱὸς Λέοντος ὁ Πορφυρογέννητος· [ἥτις κατέκειτο εἰς τοὺς ἁγίους Ἀποστόλους, ἥτις μέχρι τῆς σήμερον ἀναπηγάζει κρουνοὺς θαυμάτων μεγίστων ἐν τῇ γυναικείᾳ μονῇ τῆς εἰς ὄνομα τιμωμένης τοῦ μεγάλου καὶ ἁγίου Κωνσταντίνου.]*

**213** (21, κα′). *Τὴν δὲ Χαλκῆν τὸν Σωτῆρα ἀνήγειρεν*
919-944 *Ῥωμανὸς ὁ γέρων ὑπὸ στυρακίων δύο μικρὸν πάνυ, ὥς ἐστιν δρώμενον τὸ θυσιαστήριον, ποιήσας καὶ δώδεκα κλη-*
969-976 *ρικούς. Ὁ δὲ Ἰωάννης ὁ Τζιμισκὴς ἐπλάτυνεν καὶ ἀνήγειρεν αὐτὸν καὶ καλλωπίσας ἐκ χρυσοῦ καὶ ἀργύρου πολλοῦ, ποιήσας καὶ κληρικοὺς ν′ καὶ ῥόγας ἀπὸ νομισμάτων λ′· τὰ δὲ ἱερὰ στέμματα καὶ σκῆπτρα καὶ δίσκους καὶ λυχνίας χρυσᾶς τε καὶ ἀργυρᾶς καὶ ἐσθῆτας χρυσᾶς καὶ ἄμφια βασιλικὰ ἰδιόκτητα αὐτοῦ ἐχαρίσατο καὶ ἀκίνητα κτήματα προσεκύρωσε πλεῖστα· κἀκεῖσε ἀπέθετο ἅπερ αὐτὸς ἀπὸ τοῦ ἰδίου ταξιδίου ἔφερεν, τήν τε τιμίαν σταύρωσιν, τὴν ἁγίαν εἰκόνα τῆς Βηρυτοῦ καὶ τὰ ἅγια σανδάλια τοῦ*

---

2 *τῶν μνημοθεσίων* J, *τοῦ μνημοθεσίου* C, *τὸ μνημοθέσιον* A, *τῶν μνημοθεσιῶν τῶν ἁγίων ἀποστόλων* H, (*τὴν εἰς τὰ μνήματα τῶν βασιλέων εἰς τοὺς ἁ. ἀποστ.* B) *Κωνστάντιος ὁ υἱὸς τοῦ μεγάλου κωνστ. ἀνήγειρεν, ἐκαλλώπισε δὲ κωνσταντῖνος ὁ πρῶτος πορφυρογ. κτλ.* B 3 *ἥτις — Κωνσταντίνου* in solo E exstant 8 *τὸν δὲ χριστὸν τὴν χαλκῆν* H 9 *ὁ γέρων ὁ λακαπηνός* B *ὑπὸ*] *ὑπὲρ* Lamb. *δύο* om. $A_2$C *μικρῶν* codd. praeter J et edd., *μικρὸν* scripsi ('tam parvum quam parvum videmus sanctuarium' sc. novae ecclesiae). Cf. Leo diacon. p. 128 10 *δρώμ.*] *φαινόμενον* AC *θυσιαστ. μικρὸν πάνυ* $A_2$, *θυσ. μικρὸν* $A_1$ *καὶ ποιήσας δέδοκεν κλιρικοὺς* J *δώδεκα*] *δύο* $A_1$C, *δέδωκεν* J 11 *τζιμισχῆς* $A_2$C 12 *αὐτὴν* J *αὐτὸν ὡς ὁρᾶται νυνί* H, sim. B 13 *ποιήσας δὲ κλ.* J *ν′*] *λς′* $A_1$C *καὶ ῥόγας ἀνὰ ν. ν′* om. H *ῥόγας*] *ῥόγας καὶ ἀννόνας* C *ἀνὰ νομισμάτων* AC 14 *ἱερὰ καὶ στ.* JH 16 *αὐτοῦ*] *ὄντα καὶ οὐ τῶν δημοσίων* addit E *ἐχρίσατο* J 18 *τοῦ* om. J *τὴν δὲ* J 19 *τῆς ἁγίας εἰκόνος* $A_2$C *τῆς Βηρυτοῦ*] *τῆς ἐν βηρυτῷ* ACH

*Χριστοῦ καὶ θεοῦ ἡμῶν ἐν ποικίλοις χρυσοῖς καὶ διαλίθοις κιβωρίοις. Καὶ τὸ ἑαυτοῦ μνῆμα ἐκεῖσε ἐποίησε καὶ ἐτέθη ἐκεῖ.*

**214** (154, ρπη'). *Τῶν δὲ Βλαχερνῶν τὸ ἅγιον λοῦμα* B 128 *ὁ νέος Βασίλειος ὁ εὐσχήμων καὶ καλοπράγμων καὶ συμ-* 976–1025 *παθής, ὁ υἱὸς βασιλέως Ῥωμανοῦ τοῦ Νέου, τοῦ πορφυρογεννήτου, παρέλυσεν καὶ ἀνήγειρεν αὐτὸ νεωστὶ καλλωπίσας κρεῖττον καὶ βέλτιον παρ' ὃ ἦν· καὶ ἐξ ἀργύρου πολλοῦ καὶ χρυσίου εἰκόνισεν καὶ κατεκόσμησεν αὐτό.*

**215** (258, σο'). *Κτίζων δὲ τὴν πόλιν ὁ ἅγιος Κωνσταντῖνος ὄντος τοῦ τόπου πετρώδους καὶ μέλλοντος αὐτὸν ἐξισοῦν πρὸς τὸ κτίσαι τούς τε ἐμβόλους καὶ τὸ ἐξάερον κόπτοντες οἱ λιθοξόοι καὶ λατόμοι τὰς κορυφὰς τῶν* B 129 *πετρῶν κατεκύλιον τοὺς λίθους τοὺς κειμένους ἔξω τῶν τειχῶν, οὓς μὲν ἀπὸ τῆς Βαρβάρας μέχρι τοῦ παλατίου καὶ τῶν Σοφιῶν καὶ τῶν Ἐλευθερίου μέχρι τῆς Χρυσείας· ἔσωθεν δὲ τῶν αὐτῶν λίθων ἔπηξε τὰ τείχη εἰς διαστήριξιν τοῦ τείχους, ὅπως ἡ κυμαινομένη θάλασσα εἰς τὰς πέτρας κρούουσα γαληνιᾷ.*

---

1 *ἐν ποικίλῳ χρυσῷ καὶ μαργάραις καὶ λίθοις κοσμήσας* H  2 *ἐποίησεν ὁλόχρυσον μετὰ χυμεύσεως* AC, quibus E insuper addit *καὶ ἐγκαύσεως χρυσοχικῆς* (sic) *ἐντέχνου ἄνωθεν τῆς ἔξωθεν φλοιᾶς* (scr. *φλιᾶς*)  3 *ἐκεῖ* om. J  5 *καὶ καλοπρ. καὶ συμπ.* om. AC, *συμπαθὴς* om. J  6 *τοῦ Νέου* om. $A_2$, *τοῦ καλουμένου παιδίου* interpolavit Lamb.  7 *καλλωπίσας κτλ.*] *καλλ. καὶ χρυσώσας προκριτώτερον καὶ βελτιώτερον* AC  8 *καὶ* ante *ἐξ* om. J  9 *εἰκόνισεν καὶ*] *καὶ εἰκόνων ἀξιοθεάτων* H

**215.** In J ex hac paragrapho perpauca legi possunt, ultima vox paginae est *κόπτοντες*; in HB § 215 post IV 35 ponitur  10 *Κτίζοντος δὲ κτλ.* H  11 *πετρ. σχεδὸν πάσης τῆς πόλεως μέλ//////* (reliqua obsoleta sunt) J  *μέλλοντες* H  12 *τὰ ἐξέαρα* C, *τὰ ξίαρα* B  16 *τοῦ Ἐλευθ.* A  *χρυσείας ἔρριπτον, οὓς δὲ εἰς τὸ ἐκεῖθεν μέρος, καὶ ἔσωθεν κτλ.* H  17 *ἔπηξαν* H  *διάστιξιν* $A_2$C, *διάστηξι* $A_1$, *ἵνα ὦσιν εἰς στηριγμὸν καὶ ἀσφάλειαν* H, *ἵνα φυλάττηται καὶ στερρὸν μένη* (sc. *τὸ παράλιον τεῖχος*) B, *διαστήριξιν* scripsi  18 *τοῦ τείχους*] *καὶ πῆξιν αὐτοῦ* add. C

# IV.

## Περὶ τῆς ἁγίας Σοφίας.

B 130-145 Paragraphi **1**—**29** (Τὴν δὲ μεγάλην ἐκκλησίαν — ἀλλὰ ψεύδονται) partim transscriptae, partim excerptae sunt ex Anonymi Narratione de S. Sophia edita in Fasciculo I p. 74,6 — 108,8. Ibidem in apparatu critico graviores variationes Codini (K = ABM) adscripsi. Cf. Praef. Fasc. I p. XI sq. Post § **29** sic pergit:

B 145, 6 **30.** Ἔχει δὲ ὁ ναὸς ἀφ' οὗ ἐκτίσθη χρόνους υνη' ἕως τῆς σήμερον. Πλησίον δὲ τοῦ ναοῦ ἔστησε τὴν στήλην αὐτοῦ εὐχαριστῶν τῷ θεῷ καὶ δεικνύων τοῖς πολίταις ὅτι ἐγώ εἰμι ὁ κτίτωρ.

**31.** Τὸν δὲ εἰρημένον μαΐστορα τῆς μεγάλης ἐκκλησίας τὸν Ἰγνάτιον, διότι ἠγαπᾶτο παρὰ πάντων διὰ τὰ θαυμαστὰ ἔργα ἃ ἐποίησε, φοβηθεὶς ὁ βασιλεύς, μή ποτε εὐφημισθῇ καὶ ἀναγορευθῇ ὑπὸ τῶν δύο δημοτικῶν μερῶν, μὴ θέλων τοῦτον ἀποκτεῖναι καθὼς πολλοὶ συνεβούλευον αὐτῷ, καὶ ἀθυμῶν συνήνεσαν αὐτῷ ἐκ δευτέρου, ἵνα κτιζο-

---

1 Narratio deest in JHG; de C v. prioris fasc. praef. p. XI et huius appendicem p. 305 Titulus: Περὶ τῆς ἁγίας σοφίας $A_2$, κτίσις τῆς ἁγίας σοφίας $A_1$, περὶ τῆς τοῦ θεοῦ μεγάλης ἐκκλησίας ἁγίας σοφίας M **30.** ABM 8 ἔχει—σήμερον om. B 10 εὐχαριστοῦσαν et δεικνύουσαν $A_2$ **31. 32.** AB 13 διότι κτλ.] διὰ τὸ ἀγαπᾶσθαι παρὰ πάντων ἕνεκεν τῶν θαυμαστῶν αὐτοῦ ἔργων ἃ ἐποίει B 15 φημισθῇ $A_2$ 16 θέλων τε $A_2$, θέλων δὲ B 17 καὶ ἀθ.] βλέποντες αὐτὸν ἀθυμοῦντα B

μένης παρ' αὐτοῦ τῆς στήλης τοῦ Αὐγουστίωνος ἐάσας αὐτὸν ἐκεῖσε ἄρωσι τὰς σκαλώσεις, ὅπως ὑπὸ τοῦ λιμοῦ τελευτήσῃ· ὃ καὶ ἐποίησε. Καὶ γνοὺς ὁ Ἰγνάτιος μετὰ τὸ τελειῶσαι καὶ στῆσαι τὴν ἔφιππον στήλην τοῦ βασιλέως ὅτι εἰάθη ἐκεῖσε καὶ ὀδυρόμενος ὀψίας ἤδη γενομένης εὗρεν ἐπιτήδευμα ἄριστον. Εὗρε δὲ καὶ σχοινίον λεπτάριον εἰς τὸ περσίκιον αὐτοῦ ἔχον ὀργυιὰς ε' καὶ τὴν μάχαιραν αὐτοῦ ἐκβαλὼν ἔκοψεν εἰς λεπτὰ τὸ ἱμάτιον αὐτοῦ καὶ τὸ ὑποκαμισοβράκιον καὶ τὸ σφικτούριον αὐτοῦ καὶ τὸ φακιόλιον καὶ συνέδησεν αὐτὰ καὶ ἔκλωσε καὶ ἐδοκίμασεν, εἰ B 146 φθάνουσιν ἕως κάτω. Εὑρὼν δὲ οὕτως ἐλθούσης τῆς γυναικὸς αὐτοῦ μετὰ κλαυθμοῦ πολλοῦ καὶ ὀδυρμοῦ ἐφώνησεν αὐτῇ κοιμωμένων πάντων τῶν τῆς πόλεως (νὺξ γὰρ ἦν βαθεῖα) ὅτι 'ἐγὼ μὲν ὧδε κατελείφθην ἀποθανεῖν, σὺ δὲ ὕπαγε καὶ κρυφίως ἀγόρασον παχὺ σχοινίον κατὰ τὸ μῆκος τοῦ κίονος καὶ ἄλειψον αὐτὸ ὑγρόπισσον καὶ πάλιν ἐλθὲ μεσούσης τῆς νυκτός.' Καὶ καταλαβοῦσα τῇ ἐπιούσῃ νυκτί, καὶ χαλάσας ἐκεῖνος ἅπερ εἶχεν, καὶ δήσασα ἡ γυνὴ τὸ σχοινίον ἔσυρεν ἐκεῖνος επάνω καὶ προσέδησεν εἰς τὸν πόδα τοῦ ἵππου καὶ κρατῶν αὐτὸ κατέβη ὑγιής. Ἐποίησε δὲ τοῦτο, ἵνα κολλᾶται τὸ σχοινίον ἐκ τοῦ ὑγροπίσσου εἰς τὰς χεῖρας αὐτοῦ, ὅπως μὴ συρεὶς ἀθρόως πεσὼν συντριβῇ

1 ἐάσει αὐτὸν ἐκ. καὶ ἄρ. B 2 ἄρωσι] ἦραν $A_1$ 5 ὅτι κτλ.] ἐαθέντος ἐκεῖσε καὶ ὀδυρομένου αὐτοῦ $A_1$ καὶ ὀδυρ.] ὠδύρετο B ὀψίας δὲ ἤδη B 6 εὗρε — 9 φακιόλιον καὶ] Τὸ λεπτὸν σχοινίον ὅπερ εἶχεν εἰς τὸ περσίκιον αὐτοῦ, τὸ ὡσεὶ ὀργυιῶν πεντήκοντα πέντε καὶ τὸ ἱμάτιον αὐτοῦ καὶ τὸ ὑποκαμισοβράκιον καὶ τὸ σφικτούριον καὶ τὸ φακεώλιον αὐτοῦ λαβὼν B 13 κοιμωμένης τῆς πόλεως πάσης $A_2$ 14 ἐγὼ μὲν om. $A_2$ σὺ δὲ] ἀλλ' $A_2$ 15 κρυφίως om. $A_1$ κατὰ — κίονος om. B 16 ὑγροπίσσιν $A_2$B, ὑγροπίσσῳ edd. 17 καταλαβούσης B 18 καὶ χαλ.] ἐχάλασεν $A_2$ συνδήσασα B 19 ἐπάνω om. $A_1$ 21 κόλληται $A_1$, κολλᾷ $A_2$B ὑγροπισσίου B 22 πεσὼν καὶ συντρ. B συντριβείη $A_2$

*καὶ ἵνα τὸ σχοινίον καυθήσεται ὑπὸ τοῦ πυρὸς μετὰ τὸ καταβῆναι αὐτόν. Καὶ οὕτως λαβὼν τήν τε γυναῖκα αὐτοῦ καὶ τοὺς παῖδας νυκτὸς κατέλαβε τὴν Ἀδριανούπολιν, μετασχηματισθεὶς μοναχὸς ἕως τρεῖς χρόνους λεγόντων πάντων ὅτι ἀπέθανεν ἐπάνω τοῦ κίονος. Μετὰ δὲ ταῦτα ἐλθὼν ἐν Κωνσταντινουπόλει ἔστη εἰς τὰ Λαύσου. Διερχομένου δὲ τότε τοῦ βασιλέως εἰς προέλευσιν τῶν ἁγίων Ἀποστόλων ὑπήντησεν αὐτῷ ἐκεῖσε αἰτῶν λόγον συμπαθείας τοῦ μὴ φονευθῆναι. Καὶ γνωρίσας τοῦτον ὁ βασιλεὺς ἐθαύμασε καὶ πᾶσα ἡ σύγκλητος αὐτοῦ. Προεβάλλετο δὲ ὁ βασιλεὺς ἄγνοιαν τοῦ γενομένου ἐπὶ τὸν Ἰγνάτιον καὶ πολλὰ δῶρα δοὺς αὐτῷ ἀπέλυσεν ἐν εἰρήνῃ εἰπών· ‘Ἰδέ, ὃν θέλει ὁ θεὸς ζῆν, χίλιοι οὐκ ἀποκτείνουσιν.’ Καὶ ἔκτοτε ἔζησεν ἐν*
B 147 *εἰρήνῃ πολλῇ. — Ἕως ὧδε τὸ πέρας τῶν κατὰ τὴν μεγάλην ἐκκλησίαν. —*

**32.** *Περὶ τοῦ ναοῦ τῶν ἁγίων Ἀποστόλων.* *Τοὺς δὲ ἁγίους Ἀποστόλους τοὺς μεγάλους, καθὼς προείρηται, εὗρε δρομικὴν ἐκκλησίαν ξυλότρουλον, κτισθεῖσαν παρὰ τοῦ μεγάλου Κωνσταντίνου καὶ Ἑλένης τῶν βασιλέων. Ἡ δὲ Θεοδώρα ἡ γυνὴ τοῦ μεγάλου Ἰουστινιανοῦ πολλὴν*

---

1 *καὶ ὅτι ἵνα καὶ τὸ σχ. ὑπὸ τοῦ πυρὸς μετὰ κτλ.* $A_2$, *καὶ ὅτι καῆναι ἔχει τὸ σχ. μετὰ τὸ αὐτὸν κατελθεῖν ὑπὸ πυρὸς* $A_1$ *μετὰ δὲ τὸ* B 2 *καὶ οὕτως λαβ.*] *λαβὼν τοίνυν* B *τε* om. $A_2$ 3 *ἀνδριανούπ.* $A_1$ 4 *μοναχὸς*] *κατὰ μοναχοὺς* B *ἕως* om. B *λεγ. πάντων*] *πάντων οἰομένων καὶ λεγόντων* B 5 *ὅτι ἐπὶ τοῦ κίονος ἐτελεύτησεν* $A_2$ post *ἐτελεύτησεν* add. *ὑπὸ τοῦ λιμοῦ* B *ἐλθὼν κτλ.*] *ἦλθεν ἐν τῇ Κ. καὶ ἦν διατρίβων ἐν αὐτῇ* B 6 *ἔστη εἰς τὰ Λ.*] nil nisi *ἦν* $A_2$, *ἔστη εἰς τ' ἀλαιμένον* cod. Vat. 1701 *δὲ* om. $A_1$, *καὶ διερχ. τοῦ β.* B 8 *δ' αὐτῶν* $A_1$ 9 *φοβηθῆναι* B 11 *τοῦ γεγονότος* B 13 *ζῆν* om. $A_1$ 14 sq. *ἕως ὧδε τὸ πέρας τοῦ λόγου τῶν κατὰ τὴν ἡμέραν τῆς οἰκοδομῆς τῆς μεγάλης καὶ περιωνύμου ἁγίας ἐκκλησίας τῇ* (sic) *ἐπ' ὀνόματι τῆς τοῦ θεοῦ σοφίας ὠκοδομηθείσης* (sic) Vat. 1701 16 *Περὶ — ἀποστόλων* om. $A_2$ 18 *δρομικὴν καὶ ξυλότρ.* $A_1$ *ἐκκλησίαν* om. A (*κτισθεῖσαν παρὰ τῶν ἁγίων θεοστέπτων Κ. κ. Ἑλ.* $A_2$) 20 *ἡ καὶ πολλὴν* B

σπουδὴν θεμένη διὰ τὸ διέρχεσθαι κάτωθεν τὸν ποταμὸν Λύκον, ἀνεγείρασα θεμελίους παμμεγέθεις καὶ λίθους μεγίστους ἔκτισε τὸν ναόν. Τὰ δὲ σκάριφα καὶ τὸ σχῆμα ἀπῆρε τοῦ ἁγίου Ἰωάννου τοῦ Θεολόγου ἀπὸ Ἐφέσου. Τὴν δὲ ὕλην ἅπασαν ἔλαβεν ἀπὸ τῆς ἁγίας Σοφίας μετὰ τὸ τελειωθῆναι αὐτὴν καὶ τὰ εὐκτήρια αὐτῆς· ἀφ' ὅτου γὰρ ἤρξατο κτίζεσθαι ἡ ἁγία Σοφία, μετὰ τέσσαρα ἔτη ἤρξατο καὶ αὐτὸς κτίζεσθαι ὁ ναός. Ἐλθόντος δὲ εἰς τὸ μουσειωθῆναι ἔλειψε τῇ δεσποίνῃ χρυσίου ποσότης. Καὶ ἀδημονούσης ἐπὶ τούτῳ τῆς Αὐγούστης κατ' ὄναρ ἐφάνησαν οἱ ἅγιοι ἀπόστολοι λέγοντες αὐτῇ· 'μὴ λυποῦ περὶ χαράγματος χρυσίου μηδὲ Ἰουστινιανῷ τῷ ἀνδρί σου ἐπιζητήσῃς νομίσματα·' ἀλλ' ἀπελθοῦσα ἔξω τῆς πόρτης Δεξιοκράτους εἰς τὸν αἰγιαλὸν εὑρήσεις δώδεκα κεράμια γέμοντα χρυσίου κεχωσμένα. Ἡ δὲ Αὐγούστα ἀποστείλασα εὗρεν αὐτὰ ἔχοντα ἓν ἕκαστον αὐτῶν ἐπιγραφὴν τὰ ὀνόματα τῶν ἁγίων ἀποστόλων. Καὶ λαβοῦσα ταῦτα ἐδόξασε τὸν θεόν, ἐξωδίασεν δὲ αὐτὰ εἰς τὸν ναόν. Καὶ πολλὰ κτήματα καὶ ἀναθήματα καὶ σκεύη χρυσᾶ καὶ ἀργυρᾶ προσεκύρωσε. Τελειώσασα δὲ τὸν ναὸν ἔμελλεν κρεμάσαι τὰς χαλκᾶς ἁλύσεις B 148 καὶ τὰς λυχνίας, ὅπως ἐνθρονιάσῃ καὶ ἐγκαινίσῃ αὐτόν. Γνοὺς δὲ ὁ βασιλεὺς Ἰουστινιανὸς ἐφθόνησεν, ἵνα μὴ προλάβῃ καὶ ἐγκαινισθῇ πρὸ τῆς ἁγίας Σοφίας, καὶ παρήγγειλε πανταχοῦ τῆς πόλεως, ἵνα μὴ ποιήσωσιν ἁλύσεις καὶ κρεμάσωσιν ἐκεῖσε. Ἡ δὲ βασίλισσα ἐποίησεν ἀπὸ μετάξης

---

2 τὸν Λύκον B  3 μεγίστους] καὶ μάζας addit $A_1$  σκάρυφνα $A_1$, σκάρυφα $A_2$  4 ἐπῆρε $A_1$  8 αὐτός] αὐτῇ $A_1$  ὁ ναός om. $A_1$  ἐλθόντος δὲ εἰς τὸ μουσ.] ἐλθούσης δὲ εἰς τὸ μουσιῶσαι $A_1$, ἐν δὲ τῷ καιρῷ τοῦ μουσιώματος B  10 ἐπὶ τοῦτο $A_2$, ἕνεκεν τούτου (post τῆς Αὐγ.) $A_1$  12 ἐπιζητ. νόμ.] ζητήσῃς τι $A_1$  13 ἔξωθεν τῆς πόλεως τῆς πόρτης B  15 κεχωρισμένα B  αὐγούστα om. $A_1$  16 ἕνα $A_1$, om. B  21 et 23 ἐγκαινιάσῃ et ἐγκαινιασθῇ $A_2$  25 ἀπὸ om. $A_1$

*πλεκτὰ σχοινία πίστει καὶ μόχθῳ καὶ κρεμάσασα τὰς πολυφώτους ἀργυρᾶς λυχνίας ἐνεκαίνισε καὶ ἐνεθρονίασε τὸν ναὸν προλαβοῦσα τὴν μεγάλην ἐκκλησίαν. Τὰ δὲ λείψανα τὰ κείμενα κάτωθεν τῆς ἁγίας τραπέζης τῶν ἁγίων Ἀποστόλων παρὰ Κωνσταντίου βασιλέως ἤχθησαν, υἱοῦ τοῦ μεγάλου βασιλέως Κωνσταντίνου, διὰ τοῦ ἁγίου μεγαλομάρτυρος Ἀρτεμίου. Τὸ δὲ βῆμα, καθὼς ἐστι μέσον, οὕτως καὶ γέγονε παρὰ τῆς Αὐγούστης Θεοδώρας. Τὸ δὲ μνημοθέσιον τῆς ἁγίας Θεοφανοῦς ὁ μέγας Κωνσταντῖνος ἐποίησε· τὸ δὲ ἔξωθεν μνημοθέσιον τῶν τε αἱρετικῶν καὶ ὀρθοδόξων ὁ μέγας Ἰουστινιανὸς ἐποίησε καὶ διὰ μουσείων ἐκαλλώπισεν αὐτό, καὶ ἐκεῖσε ἐτάφη· ὡσαύτως καὶ ἡ γυνὴ αὐτοῦ Θεοδώρα ἡ κτίσασα τοὺς ἁγίους Ἀποστόλους. Τὸ* 867-886 *δὲ μουσεῖον ἐκεῖνο καὶ τὰ μάρμαρα ἀπῆρε Βασίλειος ὁ βασιλεύς, ὅτε ᾠκοδόμησε τὴν Νέαν καὶ τὸν Φόρον.* —

B 128 **33** (75, *ρθ'*). *Ὁ δὲ ἅγιος Λάζαρος ἐκτίσθη παρὰ* 886-911 *Λέοντος υἱοῦ Βασιλείου· καὶ κτήματα πολλὰ ἐκεῖσε ἀπεχαρίσατο. Ἔφερε δὲ ἀπὸ τῆς Κύπρου καὶ τὰ ἅγια λείψανα τοῦ ἁγίου Λαζάρου καὶ ἀπὸ Βηθανίας τῆς ἁγίας Μαρίας τῆς μυροφόρου καὶ ἐκεῖσε ἀποτίθεται αὐτά.*

---

**33.** *Περὶ τοῦ ἁγίου Λαζάρου. Ὁ δὲ ἅγιος Λάζαρος ἐκτίσθη μὲν παρὰ τοῦ βασιλέως* (scribe *Βασιλείου*) *τοῦ Μακεδόνος, ὕστερον δὲ παρὰ Λέοντος τοῦ υἱοῦ αὐτοῦ ἐπλατύνθη ἀποχαρισαμένου ἐν τῷ τοιούτῳ ναῷ καὶ κτήματα πολλὰ εἰς εὐνούχων μονὴν ταύτην ἀποκαταστάσα* (scr. *ἀποκαταστήσαντος*). *Ἔφερε κτλ.* C. — *Περὶ τῆς μονῆς τοῦ ἁγίου Λαζάρου. Ἡ μονὴ τοῦ ἁ. Λαζάρου παρὰ Λέοντος τοῦ φιλοσόφου βασιλέως ἐκτίσθη, καὶ*

---

5 *παρὰ Κωνσταντίνου* $A_1$ 7 *ἐστι*] *ἦν* $B_1$ 8 *Αὐγούστης*] *αὐτῆς* $A_1$ *μνημόσυνον* B 13 post *ἀποστόλους* inserit *ἐκεῖσε κατετέθη ἐν λίθω ἱεραπολίτη* $A_2$ 14 *ἐπῆρε* $A_1$ 15 *καὶ τὴν εἰς τὸν Φόρον* Lamb., sed cf. III 29a, 162 Post *φόρον* addit *τέλος τῶν περὶ τῶν πατρίων τῆς πόλεως* B **33—35.** in codd. HB insertae sunt inter III 214 et 215 **33.** ACM, HGB 17 *ἀπεχαρίσατο*] *καὶ μοναχοὺς εὐνούχους τετύπωκεν* addit H (cf. C) 19 *βιθυνίας* H

**34.** *Ὅτι τοῦ Τζαούτζη ἡ μονὴ ἐν τοῖς χρόνοις τοῦ αὐτοῦ βασιλέως ἐκτίσθη παρὰ τῆς γυναικὸς Στυλιανοῦ βασιλεοπάτορος τοῦ Τζαούτζη· καὶ κτήματα πολλὰ ἐκεῖσε ἀπεχαρίσατο.*

**35** (205, σζ'). *Τοῦ δὲ Λιβὸς ἡ μονὴ ἐν τοῖς χρόνοις* 919-944
*Ῥωμανοῦ τοῦ γέροντος καὶ τοῦ πορφυρογεννήτου Κωνσταν-* 912-959
*τίνου υἱοῦ Λέοντος ἀνηγέρθη παρὰ πατρικίου τοῦ Λιβὸς τοῦ γεγονότος δρουγγαρίου τῶν πλωΐμων, ποιήσαντος ἐκεῖ καὶ ξενῶνα.*

---

*πολλὰ ἐν αὐτῇ προσεκύρωσεν. Ἠγάγετο δὲ καὶ τὰ λείψανα τοῦ ἁγίου Λαζάρου καὶ τῶν ἀδελφῶν αὐτοῦ ἀπὸ τοῦ ναοῦ τὰ Κουράτορος πλησίον τοῦ Ταύρου.* G **34.** *Ἡ μονὴ τοῦ Ζαούτζα ἡ* (sic) *ἐν τοῖς χρόνοις τοῦ αὐτοῦ Λέοντος ἐκτίσθη παρὰ Ζαούτζα μαγίστρου καὶ βασιλεωπατρός, οὕτινος τὴν θυγατέρα ἐμοίχευε Λέων ὁ σοφὸς Ζωὴν ὀνομαζομένην· καὶ κτήματα δὲ πολλὰ ὁ αὐτὸς Ζαούτζας ἐκεῖσε ἀπεχαρίσατο* H

---

**34.** ABH   2 *ἐκτίσθη παρὰ Τζ. μαγίστρου ὃς καὶ κτήματα πολλὰ ἐν αὐτῇ ἀφιέρωσεν.* B   **35.** ACM, HB   5 *Ἡ μονὴ τὰ λιβὸς* DE   7 *παρὰ κωνσταντίνου πατρικίου τοῦ Λιβός* $A_2$, *λιβὸς πατρικίου καὶ δρουγγαρίου κτλ.* HB   9 Subscripsit $A_2$: *ἐτελειώθησαν τὰ πάτρια τῆς θεοφρουρήτου κωνσταντινουπόλεως ὥρα δ' τῆς νυκτός.* $A_1$ addit narrationem de statua equestri Justiniani sumptam ex Zonara XIV 6 p. 63 C (v. Beiträge zur Textgeschichte der *Πάτρια* p. 8).

# Appendix.

## Recensiones topographicae.

### I. Ordo paragraphorum, quem sequitur recensio C, eiusque additamenta.

Ba(nduri p.)1 *Ἄρχει σὺν θεῷ ἁγίῳ τὰ πάτρια τῆς πόλεως.*

*Ὢ πῶς μετῆλθες τὰς κεκρυμμένας πάγας*
*καὶ πῶς σοφῶς ἤγαγες αὐτὰς εἰς φάος.*
*Εἰ μὴ γὰρ αὐτὸς ἐκ θεοῦ ἐπεσκέπου,*
*οὐκ ἂν καθεῖλες δυσμενῶν ὀφρῦν, μέδον.*
*Χωρεῖς κατ' ἐχθρῶν ἀρεταῖς ἐστεμμένος·*
*ἔχεις γὰρ αὐτὰς συμμαχούσας σοι πάλαι,*
*ὅπλον κραταιὸν ⟨γοργον⟩ειδὲς ἐν μάχαις,*
*φρόνησιν ἀνδρείαν τε καὶ σωφροσύνην,*
*δικαιοσύνην, συνεζευγμένας ταύτας.*
*Θεοῦ φυλάττων ἐντολάς, αὐτοκράτορ,*
*πραΰς, ταπεινὸς καὶ γαληνὸς τυγχάνεις,*
*σύμπασιν ἁπλοῖς σαυτὸν τοῖς μονοτρόποις*
*καὶ πλουτοποιεῖς δωρεαῖς ὑπερτάταις·*

---

